This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`



From the library of

CAPTAIN THOMAS J. J. SEE

Presented to Stanford by his son



7 Vols

T. J. J. See
Mare Island, Calif.

PLATONIS
DIALOGI
GRAECE ET LATINE

EX RECENSIONE

IMMANUELIS BEKKERI

PARTIS TERTIAE VOLUMEN SECUNDUM.

BEROLINI
IMPENSIS GE. REIMERI
LONDINI APUD I. BLACK ET FIL.
TH. BOOSEY ET F. H. BOTHE
OXONIAE APUD I. PARKER
1817.

RP

PA4279
A2
1816
V.3:2

ΤΙΜΑΙΟΣ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΚΡΙΤΙΑΣ, ΤΙΜΑΙΟΣ, ΕΡΜΟΚΡΑΤΗΣ.

SOCRATES, CRITIAS, TIMAEUS, HERMOCRATES.

Εἷς, δύο, τρεῖς· ὁ δὲ δὴ τέταρτος ἡμῖν, ὦ φίλε Τίμαιε, ποῦ, τῶν χθὲς μὲν δαιτυμόνων, τὰ νῦν δ' ἑστιατόρων; 17

ΤΙ. Ἀσθένειά τις αὐτῷ ξυνέπεσεν, ὦ Σώκρατες· οὐ γὰρ ἂν ἑκὼν τῆσδε ἀπελείπετο τῆς ξυνουσίας.

ΣΩ. Οὐκοῦν σὸν τῶνδέ τε ἔργον καὶ τὸ ὑπὲρ τοῦ ἀπόντος ἀναπληροῦν μέρος;

ΤΙ. Πάνυ μὲν οὖν, καὶ κατὰ δύναμίν γε οὐδὲν ἐλλείψομεν· οὐδὲ γὰρ ἂν εἴη δίκαιον χθὲς ὑπὸ σοῦ ξενισθέντας οἷς ἦν πρέπον ξενίοις μὴ οὐ προθύμως σὲ τοὺς λοιποὺς ἡμῶν ἀντεφεξιᾶν.

ΣΩ. Ἆρ' οὖν μέμνησθε ὅσα ἡμῖν καὶ περὶ ὧν ἐπέταξα εἰπεῖν;

ΤΙ. Τὰ μὲν μεμνήμεθα, ὅσα δὲ μή, σὺ παρὼν

Unus, duo, tres: quartus autem, o amice Timaee, ubinam est? ut, qui heri a me convivio accepti estis, hodie me vicissim accipiatis. *Ti.* Adversa valetudine laborat, o Socrates. non enim sponte ab hoc coetu et disputatione abstinuisset. *So.* Ergo tui, o Timaee, et istorum erit officii, quod quarti illius absentia deest, implere. *Ti.* Ita prorsus. quare nihil, quoad fieri poterit, praetermittemus. nam cum laute abs te hesterno epulo accepti fuerimus, nefas esset, si epulas tibi pro viribus similes libenter non redderemus. *So.* Num recordamini, quae vobis et quam multa tractanda proposui? *Ti.* Partim quidem tenemus memoria, partim

7 Vols

T. J. J. See
Mare Island, Calif.

PLATONIS
DIALOGI
GRAECE ET LATINE

EX RECENSIONE

IMMANUELIS BEKKERI

PARTIS TERTIAE VOLUMEN SECUNDUM.

BEROLINI
IMPENSIS GE. REIMERI
LONDINI APUD I. BLACK ET FIL.
TH. BOOSEY ET F. H. BOTHE
OXONIAE APUD I. PARKER
1817.

RP

PA4279
A2
1816
V.3:2

ΤΙΜΑΙΟΣ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ
ΣΩΚΡΑΤΗΣ, ΚΡΙΤΙΑΣ, ΤΙΜΑΙΟΣ,
ΕΡΜΟΚΡΑΤΗΣ.

SOCRATES, CRITIAS, TIMAEUS,
HERMOCRATES.

Εἷς, δύο, τρεῖς· ὁ δὲ δὴ τέταρτος ἡμῖν, ὦ φίλε Τίμαιε, ποῦ, τῶν χθὲς μὲν δαιτυμόνων, τὰ νῦν δ' ἑστιατόρων; 17

ΤΙ. Ἀσθένειά τις αὐτῷ ξυνέπεσεν, ὦ Σώκρατες· οὐ γὰρ ἂν ἑκὼν τῆσδε ἀπελείπετο τῆς ξυνουσίας.

ΣΩ. Οὐκοῦν σὸν τῶνδέ τε ἔργον καὶ τὸ ὑπὲρ τοῦ ἀπόντος ἀναπληροῦν μέρος;

ΤΙ. Πάνυ μὲν οὖν, καὶ κατὰ δύναμίν γε οὐδὲν ἐλλείψομεν· οὐδὲ γὰρ ἂν εἴη δίκαιον χθὲς ὑπὸ σοῦ ξενισθέντας οἷς ἦν πρέπον ξενίοις μὴ οὐ προθύμως σὲ τοὺς λοιποὺς ἡμῶν ἀντεφεξιᾶν.

ΣΩ. Ἆρ' οὖν μέμνησθε ὅσα ἡμῖν καὶ περὶ ὧν ἐπέταξα εἰπεῖν;

ΤΙ. Τὰ μὲν μεμνήμεθα, ὅσα δὲ μή, σὺ παρὼν

Unus, duo, tres: quartus autem, o amice Timaee, ubinam est? ut, qui heri a me convivio accepti estis, hodie me vicissim accipiatis. *Ti.* Adversa valetudine laborat, o Socrates. non enim sponte ab hoc coetu et disputatione abstinuisset. *So.* Ergo tui, o Timaee, et istorum erit officii, quod quarti illius absentia deest, implere. *Ti.* Ita prorsus. quare nihil, quoad fieri poterit, praetermittemus. nam cum laute abs te hesterno epulo accepti fuerimus, nefas esset, si epulas tibi pro viribus similes libenter non redderemus. *So.* Num recordamini, quae vobis et quam multa tractanda proposui? *Ti.* Partim quidem tenemus memoria, partim

ὑπομνήσεις. μᾶλλον δέ, εἰ μή τί σοι χαλεπόν, ἐξ ἀρχῆς διὰ βραχέων πάλιν ἐπάνελθε αὐτά, ἵνα βεβαιωθῇ μᾶλλον παρ' ἡμῖν.

ΣΩ. Ταῦτ' ἔσαι. χθές που τῶν ὑπ' ἐμοῦ ῥηθέντων λόγων περὶ πολιτείας ἦν τὸ κεφάλαιον, οἵα τε καὶ ἐξ οἵων ἀνδρῶν ἀρίστη κατεφαίνετ' ἄν μοι γενέσθαι.

ΤΙ. Καὶ μάλα γε ἡμῖν, ὦ Σώκρατες, ῥηθεῖσα πᾶσι κατὰ νοῦν.

ΣΩ. Ἆρ' οὖν οὐ τὸ τῶν γεωργῶν, ὅσαι τε ἄλλαι τέχναι, πρῶτον ἐν αὐτῇ χωρὶς διειλόμεθα ἀπὸ τοῦ γένους τοῦ τῶν προπολεμούντων; 10

ΤΙ. Ναί.

ΣΩ. Καὶ κατὰ φύσιν δὴ δόντες τὸ καθ' αὑτὸν ἑκάστῳ πρόσφορον ἓν μόνον ἐπιτήδευμα καὶ μίαν ἑκάστῳ τέχνην, τούτους οὓς πρὸ πάντων ἔδει πολεμεῖν εἴπομεν, ὡς ὥρα αὐτοὺς δέοι φύλακας εἶναι μόνον τῆς πόλεως, εἴ τέ τις ἔξωθεν ἢ καὶ τῶν ἔνδον ἴοι κακουργήσων, δικάζοντας μὲν πράως τοῖς ἀρχομένοις ὑπ' αὐτῶν ἅτε φύσει φίλοις οὖσι, χαλεπούς δὲ ἐν ταῖς μάχαις τοῖς ἐντυγχάνουσι τῶν ἐχθρῶν γιγνομένους. 18 20

ΤΙ. Παντάπασι μὲν οὖν.

ΣΩ. Φύσιν γὰρ οἶμαί τινα τῶν φυλάκων τῆς ψυχῆς ἐλέγομεν ἅμα μὲν θυμοειδῆ, ἅμα δὲ φιλόσοφον

vero tu, si exciderint, suggeres. immo vero, nisi molestum sit, breviter illa ab exordio repete, ut nobis iterum confirmentur. *So.* Faciam equidem. Summa disputationis hesternae erat res publica, qualis mihi et ex qualibus viris optima posse fieri videretur. *Ti.* Nobis certe omnibus valde probata sunt, o Socrates, quae dixisti. *So.* Principio agricolas ceterosque artifices a militibus separavimus. *Ti.* Certe, *So.* Cum vero cuique, quod pro naturae instinctu praecipue suum est, et singula tantum singulis artibus officia tribueremus; illis quoque, quos prae ceteris bella gerere oporteret, id unum dumtaxat, protegendae scilicet civitatis munus, iniunximus, et adversus externos hostes et adversus cives rei publicae eversores: ita ut erga subiectos, tanquam natura amicos, mites sint; contra hostes vero in proelio ferocissimi. *Ti.* Ita prorsus. *So.* Duplicem sane naturam in custodum animis esse debere tractavimus, et iracundam et philosophico ingenio praecipue accommodatam, ut recte in suos mansueti sint, in alienos vero feroces.

δεῖν εἶναι διαφερόντως, ἵνα πρὸς ἑκατέρους δύναιντο ὀρθῶς τρᾶοι καὶ γαλεποὶ γίγνεσθαι.

TI. Ναί.

ΣΩ. Τί δαὶ τροφήν; ἆρ' οὐ γυμναστικῇ μαθήμασί τε, ὅσα προσήκει τούτοις, ἐν ἅπασι τεθράφθαι;

TI. Πάνυ μὲν οὖν.

ΣΩ. Τοὺς δέ γε οὕτω τραφέντας ἐλέχθη που μήτε χρυσὸν μήτε ἄργυρον μήτε ἄλλο ποτὲ μηδὲν κτῆμα ἑαυτῶν ἴδιον νομίζειν δεῖν, ἀλλ' ὡς ἐπικούρους μισθὸν λαμβάνοντας τῆς φυλακῆς παρὰ τῶν σωζομένων ὑπ' αὐτῶν, ὅσος σώφροσι μέτριος, ἀναλίσκειν τε δὴ κοινῇ καὶ ξυνδιαιτωμένους μετ' ἀλλήλων ζῆν, ἐπιμέλειαν ἔχοντας ἀρετῆς διὰ παντός, τῶν ἄλλων ἐπιτηδευμάτων ἄγοντας σχολήν.

TI. Ἐλέχθη καὶ ταῦτα ταύτῃ.

ΣΩ. Καὶ μὲν δὴ καὶ περὶ γυναικῶν ἐπεμνήσθημεν, ὡς τὰς φύσεις τοῖς ἀνδράσι παραπλησίας εἴη ξυναρμοσέον καὶ τὰ ἐπιτηδεύματα πάντα κοινὰ κατά τε πόλεμον καὶ κατὰ τὴν ἄλλην δίαιταν δοτέον πάσαις.

TI. Ταύτῃ καὶ ταῦτα ἐλέγετο.

ΣΩ. Τί δὲ δὴ τὸ περὶ τῆς παιδοποιίας; ἢ τοῦτο μὲν διὰ τὴν ἀήθειαν τῶν λεχθέντων εὐμνημόνευτον, ὅτι κοινὰ τὰ τῶν γάμων καὶ τὰ τῶν παίδων πᾶσιν ἁπάντων

Ti. Procul dubio. *So.* Quid autem de educatione dicemus? nonne gymnicis exercitationibus et musica ceterisque decentibus disciplinis eos a nobis institutos fuisse? *Ti.* Valde quidem. *So.* Ita educatos homines neque aurum neque argentum neque aliud quicquam proprium aut habere aut putare statuimus; sed tanquam adiutores publicosque ministros sola mercede contentos esse, tanta ab his, quos tuentur, exhibita, quanta moderate viventibus sufficere videatur. stipendio praeterea publico in commune uti voluimus, et ad communem inter se victum impendere, ut ceteris posthabitis omnibus solius virtutis et custodiae curam habeant. *Ti.* Haec quoque ita abs te dicta fuerunt. *So.* Naturam praeterea mulierum non aliter quam virorum effingi praecepimus; studiaque omnia, tam belli quam pacis, mulieribus cum viris esse communia. *Ti.* Id quoque dictum. *So.* An tenetis memoria, quae de procreandis liberis diximus? forte vero ob rei ipsius novitatem firmiter tenuistis. communes quippe nuptias liberosque statuimus,

ἐτίθεμεν, μηχανωμένοις ὅπως μηδείς ποτε τὸ γεγενημένον αὐτῷ ἰδίᾳ γνώσοιτο, νομιοῦσι δὲ πάντες πάντας αὐτοὺς ὁμογενεῖς, ἀδελφὰς μὲν καὶ ἀδελφοὺς ὅσοι περ ἂν τῆς πρεπούσης ἐντὸς ἡλικίας γίγνωνται, τοὺς δ' ἔμπροσθεν καὶ ἄνωθεν γονέας τε καὶ γονέων προγόνους, τοὺς δὲ εἰς τὸ κάτωθεν ἐκγόνους παῖδάς τ' ἐκγόνων;

Ti. Ναί, καὶ ταῦτα εὐμνημόνευτα ἢ λίγεις.

So. Ὅπως δὲ δὴ κατὰ δύναμιν εὐθὺς γίγνοιντο ὥς ἄριστοι τὰς φύσεις, ἆρ' οὐ μεμνήμεθα ὡς τοὺς ἄρχοντας ἔφαμεν καὶ τὰς ἀρχούσας δεῖν εἰς τὴν τῶν γά- 10
μων σύνεξιν λάθρᾳ μηχανᾶσθαι κλήροις τισὶν ὅπως οἱ κακοὶ χωρὶς οἵ τ' ἀγαθοὶ ταῖς ὁμοίαις ἑκάτεροι ξυλλήξονται, καὶ μή τις αὐτοῖς ἔχθρα διὰ ταῦτα γίγνηται, τύχην ἡγουμένοις αἰτίαν τῆς ξυλλήξεως;

Ti. Μεμνήμεθα.

So. Καὶ μὴν ὅτι γε τὰ μὲν τῶν ἀγαθῶν θρε- 19
πτέον ἔφαμεν εἶναι, τὰ δὲ τῶν φαύλων εἰς τὴν ἄλλην λάθρᾳ διαδοτέον πόλιν; ἐπαυξανομένων δὲ σκοπουντας ἀεὶ τοὺς ἀξίους πάλιν ἀνάγειν δεῖν, τοὺς δὲ παρὰ σφίσιν ἀναξίους εἰς τὴν τῶν ἐπανιόντων χώραν 20
μεταλλάττειν;

Ti. Οὕτως.

So. Ἆρ' οὖν δὴ διειληλύθαμεν ἤδη, καθά περ

ut nemo natos suos discernat, sed omnes ab omnibus consanguinei existimentur, dum aequales ferme natu fratres sororesque vicissim se iudicant, maioribus vero patrum vel avorum reverentiam exhibent, erga minores autem tanquam filios et nepotes afficiuntur. *Ti.* Haec quoque memoratu facilia sunt. *So.* Ut autem quam optimi ab ipso initio pro viribus gignerentur, magistratus utriusque sexus nuptiis praeposuimus, qui clam sortibus quibusdam operam darent, ut pravi pravis, boni contra bonis mulieribus miscerentur, neque ulla ob hoc discordia oriretur, cum in congressu minus prospero quisque fortunam potius sit quam consilium principum culpaturus. *Ti.* Recordamur. *So.* Praeterea sanximus bonorum foetus in patria alendos esse, aliorum vero alios alio clam mittendos. adultos demum utrosque diligenter considerandos, ut, si qui inter relegatos bonae indolis sint, in patriam revocentur; si qui vero inter domesticos contra videantur affecti, similiter relegentur. *Ti.* Ita statutum est. *So.* Num satis

γθές, ὡς ἐν κεφαλαίοις πάλιν ἐπανελθεῖν; ἢ ποθοῦμεν ἔτι τι τῶν ῥηθέντων, ὦ φίλε Τίμαιε, ἀπολειπόμενον;

TI. Οὐδαμῶς, ἀλλ' αὐτὰ ταῦτ' ἦν τὰ λεχθέντα, ὦ Σώκρατες.

ΣΩ. Ἀκούοιτ' ἂν ἤδη τὰ μετὰ ταῦτα περὶ τῆς πολιτείας ἣν διήλθομεν, οἷόν τι πρὸς αὐτὴν πεπονθὼς τυγχάνω. προσέοικε δὲ δή τινί μοι τοιῷδε τὸ πάθος, οἷον εἴ τις ζῶα καλά που θεασάμενος, εἴτε ὑπὸ γραφῆς εἰργασμένα εἴτε καὶ ζῶντα ἀληθινῶς, ἡσυχίαν δὲ ἄγοντα, εἰς ἐπιθυμίαν ἀφίκοιτο θεάσασθαι κινούμενά τε αὐτὰ καί τι τῶν τοῖς σώμασι δοκούντων προσήκειν κατὰ τὴν ἀγωνίαν ἀθλοῦντα. ταὐτὸν καὶ ἐγὼ πέπονθα πρὸς τὴν πόλιν ἣν διήλθομεν· ἡδέως γὰρ ἄν του λόγῳ διεξιόντος ἀκούσαιμ' ἄν, ἄθλους οὓς πόλις ἀθλεῖ, τούτους αὐτὴν ἀγωνιζομένην πρὸς πόλεις ἄλλας, πρεπόντως εἴς τε πόλεμον ἀφικομένην καὶ ἐν τῷ πολεμεῖν τὰ προσήκοντα ἀποδιδοῦσαν τῇ παιδείᾳ καὶ τροφῇ κατά τε τὰς ἐν τοῖς ἔργοις πράξεις καὶ κατὰ τὰς ἐν τοῖς λόγοις διερμηνεύσεις πρὸς ἑκάσας τῶν πόλεων. ταῦτ' οὖν, ὦ Κριτία καὶ Ἑρμόκρατες, ἐμαυτοῦ μὲν αὐτὸς κατέγνωκα μή ποτ' ἂν δυνατὸς γενέσθαι τοὺς ἄνδρας καὶ τὴν πόλιν ἱκανῶς ἐγκωμιάσαι. καὶ τὸ μὲν ἐμὸν οὐδὲν θαυμαστόν· ἀλλὰ τὴν αὐτὴν δόξαν εἴληφα καὶ περὶ τῶν πάλαι

iam hesternam disputationem, quantum compendio licet, narravimus? an aliquid etiam a me praetermissum, o amice Timaee, recenseri desideras? *Ti.* Nihil sane. haec enim ferme sunt, quae tractaveras. *So.* Audite deinceps, quo pacto erga hanc, quam descripsimus, rem publicam sim affectus. comparatione plane vobis aperiam. quemadmodum si quis animalia eximiae pulchritudinis intuitus, seu picta, seu viva quidem sed torpentia, motus gestusque viventium et certamen aliquod eorum spectare desideret: sic ego nunc libenter aliquem narrantem audirem, quo pacto supra descripta civitas cum finitimis civitatibus decertaret, quidve tanta eius educatione disciplinaque dignum in bello vel pace, tam dicendo quam agendo, erga civitates singulas demonstraret. Equidem, o Critia et Hermocrates, mihi conscius sum, non posse me eam urbem virosque pro dignitate laudare. me quidem non posse nihil mirum; sed de

γεγονότων καὶ τῶν νῦν ὄντων ποιητῶν, οὗ τι τὸ ποιητικὸν ἀτιμάζων γένος, ἀλλὰ παντὶ δῆλον ὡς τὸ μιμητικὸν ἔθνος, οἷς ἂν ἐντραφῇ, ταῦτα μιμήσεται ῥᾷξα καὶ ἄριστα, τὸ δ' ἐκτὸς τῆς τροφῆς ἑκάστοις γιγνόμενον χαλεπὸν μὲν ἔργοις, ἔστι δὲ χαλεπώτερον λόγοις εὖ μιμεῖσθαι. τὸ δὲ τῶν σοφιστῶν γένος αὖ πολλῶν μὲν λόγων καὶ καλῶν ἄλλων μάλα ἔμπειρον ἥγημαι, φοβοῦμαι δὲ μή πως, ἅτε πλανητὸν ὂν κατὰ πόλεις οἰκήσεις τε ἰδίας οὐδαμῇ διῳκηκός, ἄσχολον ἅμα φιλοσόφων ἀνδρῶν ἢ καὶ πολιτικῶν, ὅσ' ἂν οἷά τε ἐν πολέμῳ καὶ μάχαις πράττοντες ἔργῳ καὶ λόγῳ προσομιλοῦντες ἑκάστοις πράττοιεν καὶ λέγοιεν. καταλέλειπται δὴ τὸ τῆς ὑμετέρας ἕξεως γένος, ἅμα ἀμφοτέρων φύσει καὶ τροφῇ μετέχον. Τίμαιός τε γὰρ ὅδε, εὐνομωτάτης ὢν πόλεως τῆς ἐν Ἰταλίᾳ Λοκρίδος, οὐσίᾳ καὶ γένει οὐδενὸς ὕστερος ὢν τῶν ἐκεῖ, τὰς μεγίστας μὲν ἀρχάς τε καὶ τιμὰς τῶν ἐν τῇ πόλει μετακεχείρισται, φιλοσοφίας δ' αὖ κατ' ἐμὴν δόξαν ἐπ' ἄκρον ἁπάσης ἐλήλυθε· Κριτίαν δέ που πάντες οἱ τῇδ' ἴσμεν οὐδενὸς ἰδιώτην ὄντα ὧν λέγομεν· τῆς δ' Ἑρμοκράτους αὖ πέρι φύσεως καὶ τροφῆς, πρὸς ἅπαντα ταῦτ' εἶναι ἱκανῆς πολλῶν μαρτυρούντων πιστευτέον.

veteribus quoque et huius seculi poëtis idem existimo: non quo poëticum genus contemnam, sed quod evidens unicuique sit, imitationis studiosos ea facile et optime imitari, in quibus fuerint educati; aliena vero longeque ab eorum educatione remota operibus quidem difficile, verbis etiam difficilius posse, prout convenit, aemulari. sophistas utique et dicendi et aliarum ferme praeclarissimarum artium peritos esse arbitror: sed quia multas quotidie civitates pererrant nec proprias sedes ullas habent, vereor ne coniectura quidem assequi nequeant, quam multa et qualia viri philosophi atque civiles, tam bello quam pace, erga singulos verbis et operibus agant. sola igitur vestra professio superest, tum natura tum disciplina philosophiae et rerum gerendarum studio pollens. Timaeus quidem iste ex Locris, quae urbs in Italia iustissime gubernatur, nobilitate et opibus praestantissimus, summis magistratibus et honoribus functus est, et ad summa totius philosophiae fastigia, ut opinor, ascendit. Critiam quoque scimus haec utraque consecutum. Hermocratis etiam naturam educationemque his omnibus, quae diximus, tractandis esse accommodatam, cum multis testimoniis moneamur, dubitare non licet. quapropter roganti-

διὸ καὶ χθὲς ἐγὼ διανοούμενος ὑμῶν δεομένων τὰ περὶ τῆς πολιτείας διελθεῖν προθύμως ἐχαριζόμην, εἰδὼς ὅτι τὸν ἐξῆς λόγον οὐδένες ἂν ὑμῶν ἐθελόντων ἱκανώτερον ἀποδοῖεν· εἰς γὰρ πόλεμον πρέποντα καταχήσαντες τὴν πόλιν ἅπασαν αὐτῇ τὰ προσήκοντα ἀποδοῖτ' ἂν μόνοι τῶν νῦν. εἰπὼν δὴ ταῦτα ἀνταπέταξα ὑμῖν ἃ καὶ νῦν λέγω. ξυνωμολογήσατ' οὖν κοινῇ σκεψάμενοι πρὸς ὑμᾶς αὐτοὺς εἰς νῦν ἀνταποδώσειν μοι τὰ τῶν λόγων ξένια, πάρειμί τε οὖν δὴ κεκοσμημένος ἐπ' αὐτὰ καὶ πάντων ἑτοιμότατος ὢν δέχεσθαι.

EP. Καὶ μὲν δή, καθά περ εἶπε Τίμαιος ὅδε, ὦ Σώκρατες, οὔτε ἐλλείψομεν προθυμίας οὐδὲν οὔτ' ἔχειν οὐδεμία πρόφασις ἡμῖν τοῦ μὴ δρᾶν ταῦτα, ὥστε καὶ χθὲς εὐθὺς ἐνθένδε, ἐπειδὴ παρὰ Κριτίαν πρὸς τὸν ξενῶνα, οὗ καὶ καταλύομεν, ἀφικόμεθα, καὶ ἔτι πρότερον καθ' ὁδὸν αὖ ταῦτα ἐσκοποῦμεν. ὁ δ' οὖν ἡμῖν λόγον εἰσηγήσατο ἐκ παλαιᾶς ἀκοῆς· ὃν καὶ νῦν λέγε, ὦ Κριτία, τῷδε, ἵνα ξυνδοκιμάσῃ πρὸς τὴν ἐπίταξιν εἴτ' ἐπιτήδειος εἴτ' ἀνεπιτήδειός ἐσιν.

KP. Ταῦτα χρὴ δρᾶν, εἰ καὶ τῷ τρίτῳ κοινωνῷ Τιμαίῳ ξυνδοκεῖ.

bus vobis heri de re publica disputari, libentissime parui, cum cogitarem, quod deinde instituto operi superforet, a nemine commodius quam a vobis, modo velitis, posse tractari. cum enim civitatem ad bellum idoneam constitueritis, soli omnium vos, quae eam decent, vicissim omnia tribuetis. cum vero in superioribus, quae mihi iniuncta fuerant, perfecissem: quae modo retuli, vobis tractanda commisi, vos autem communi consensu imperatum munus mutuo mihi parandi nunc sermonum convivii recepistis. ego igitur adsum ad promissas epulas paratissimus. *Her.* Nos quoque omnes, o Socrates, ut pollicitus est modo Timaeus, quod iubes, pro viribus exsequemur: praesertim cum nulla excusandi sit ratio, quo minus id facere debeamus. nam praeterito die, cum, disputatione peracta, mox ad hospitium, quo apud Critiam suscepti sumus, rediremus, et inter eundum primo et domi rursus de his rebus verba fecimus. hic igitur nobis veterem narravit historiam: quam velim, o Critia, Socrati modo recenseas, ut, cum audiverit, iudicet, nunquid ad eam rem, quam nos exsequi iussit, conducere videatur. *Cri.* Faciundum est, si ita Timaeo quoque videtur, tertio

ΤΙ. Δοκεῖ μήν.

ΚΡ. Ἄκουε δή, ὦ Σώκρατες, λόγου μάλα μὲν ἀτόπου, παντάπασί γε μὴν ἀληθοῦς, ὡς ὁ τῶν ἑπτὰ σοφώτατος Σόλων ποτ' ἔφη. ἦν μὲν οὖν οἰκεῖος καὶ σφόδρα φίλος ἡμῖν Δρωπίδου τοῦ προπάππου, καθά περ λέγει πολλαχοῦ καὶ αὐτὸς ἐν τῇ ποιήσει· πρὸς δὲ Κριτίαν τὸν ἡμέτερον πάππον εἶπεν, ὡς ἀπεμνημόνευεν αὖ πρὸς ἡμᾶς ὁ γέρων, ὅτι μεγάλα καὶ θαυμαστὰ τῇδ' εἴη παλαιὰ ἔργα τῆς πόλεως ὑπὸ χρόνου καὶ φθορᾶς ἀνθρώ-
21 *πων ἠφανισμένα, πάντων δὲ ἓν μέγιστον, οὗ νῦν ἐπι-* 10
μνησθεῖσι πρέπον ἂν ἡμῖν εἴη σοί τε ἀποδοῦναι χάριν καὶ τὴν θεὸν ἅμα ἐν τῇ πανηγύρει δικαίως τε καὶ ἀληθῶς οἷόν περ ὑμνοῦντας ἐγκωμιάζειν.

ΣΩ. Εὖ λέγεις. ἀλλὰ δὴ ποῖον ἔργον τοῦτο Κριτίας οὐ λεγόμενον μέν, ὡς δὲ πραχθὲν ὄντως ὑπὸ τῇδε τῆς πόλεως ἀρχαῖον διηγεῖτο κατὰ τὴν Σόλωνος ἀκοήν;

ΚΡ. Ἐγὼ φράσω παλαιὸν ἀκηκοὼς λόγον οὐ νέου ἀνδρός. ἦν μὲν γὰρ δὴ τότε Κριτίας, ὡς ἔφη, σχεδὸν ἐγγὺς ἤδη τῶν ἐνενήκοντα ἐτῶν, ἐγὼ δέ πη μάλιστα δε- 20
κάτης· ἡ δὲ Κουρεῶτις ἡμῖν οὖσα ἐτύγχανεν Ἀπατουρίων. τὸ δὴ τῆς ἑορτῆς σύνηθες ἐκάστοτε καὶ τότε ξυνέβη

disputationis huius participi. *Ti.* Videtur sane, *Cri.* Audi, Socrates, miram quidem, sed plenam veritatis historiam, quam Solon septem sapientum sapientissimus recensebat. erat enim domesticus admodum amicusque Dropidis proavi nostri, quod in suis carminibus ipsemet saepe testatur. avo autem nostro Critiae, ut ipse nobis senex postea referebat, quandoque narravit res gestas huius urbis memorabiles, diuturnitate temporis hominumque interitu obliteratas. unum vero prae ceteris facinus insigne recensuit, quod vobis nunc narrandum censeo, ut et tibi morem geramus et Deam, cui hodierna pompa dicata est, hac narratione quasi quodam hymnonorum cantu, ut par est, honoremus. *So.* Recte loqueris. sed quid istud tandem est, quod Critias, non quasi verbis descriptum, sed quasi ab hac civitate quondam gestum, ex Solonis narratione vobis aperuit? *Cri.* Referam priscam mihi puero traditam ab avo historiam. cum ageret Critias annos, ut ipse dicebat, circiter nonaginta, ego vero decem, celebrareturque solemnis ille dies, in quo ad cantum carminum pueri convocabantur, congregati sumus et nos una cum proximis notisque pueris, nobisque a parentibus

τοῖς παισίν· ἆθλα γὰρ ἡμῖν οἱ πατέρες ἔθεσαν ῥαψῳδίας, πολλῶν μὲν οὖν δὴ καὶ πολλὰ ἐλέχθη ποιητῶν ποιήματα, ἅτε δὲ νέα κατ' ἐκεῖνον τὸν χρόνον ὄντα τὰ Σόλωνος πολλοὶ τῶν παίδων ᾄσαμεν. εἶπεν οὖν δή τις τῶν φρατόρων, εἴτε δὴ δοκοῦν αὐτῷ τότε εἴτε καὶ χάριν τινὰ τῷ Κριτίᾳ φέρων, δοκεῖν οἱ τά τε ἄλλα σοφώτατον γεγονέναι Σόλωνα καὶ κατὰ τὴν ποίησιν αὖ τῶν ποιητῶν πάντων ἐλευθεριώτατον. ὁ δὴ γέρων, σφόδρα γὰρ οὖν μέμνημαι, μάλα τε ἥσθη καὶ διαμειδιάσας εἶπεν Εἴ γε, ὦ Ἀμύνανδρε, μὴ παρέργῳ τῇ ποιήσει κατεχρήσατο, ἀλλ' ἐσπουδάκει καθά περ ἄλλοι, τόν τε λόγον ὃν ἀπ' Αἰγύπτου δεῦρο ἠνέγκατο ἀπετέλεσε, καὶ μὴ διὰ τὰς στάσεις ὑπὸ κακῶν τε ἄλλων, ὅσα εὗρεν ἐνθάδε ἥκων, ἠναγκάσθη καταμελῆσαι, κατά γ' ἐμὴν δόξαν οὔτε Ἡσίοδος οὔτε Ὅμηρος οὔτε ἄλλος οὐδεὶς ποιητὴς εὐδοκιμώτερος ἐγένετο ἄν ποτε αὐτοῦ. Τίς δ' ἦν ὁ λόγος, ἦ δ' ὅς, ὦ Κριτία; Ἦ περὶ μεγίστης, ἔφη, καὶ ὀνομαστοτάτης πασῶν δικαιότατ' ἂν πράξεως οὔσης, ἣν ἥδε ἡ πόλις ἔπραξε μέν, διὰ δὲ χρόνον καὶ φθορὰν τῶν ἐργασαμένων οὐ διήρκεσε δεῦρο ὁ λόγος. Λέγε ἐξ ἀρχῆς, ἦ δ' ὅς, τί τε καὶ πῶς καὶ παρὰ τίνων ὡς ἀληθῆ

carminum canendorum certamen est iniunctum. ubi multorum poëtarum carmina non pauca memoriter pronuntiata sunt, et Solonis versus a plurimis puerorum, utpote novitatem poëmatis admirantibus, decantati. tum contribulis quidam, seu quod ita iudicaret, sive quod Critiae blandiri vellet, videri sibi inquit cum in ceteris sapientissimum fuisse Solonem, tum in carminibus poëtarum omnium generosissimum. his verbis, ut recte memini, valde laetatus est senex, atque ita ridens inquit: Si Solon, o Aminander, non tantum relaxandi animi gratia, sed dedita opera serioque, sicut alii, poësim esset secutus, vel historiam, quam ab Aegypto reversus instituerat, absolvisset, a qua quidem seditionibus ceterisque civitatis fluctibus deturbatus medio in cursu destitit: nec Homero Hesiodoque nec alio quoquam poëtarum, ut opinor, inferior exstitisset. Ad haec ille: Qua de re, o Critia, tractare Solon instituit? *So.* De maximis, inquit, rebus ab hac civitate quondam gestis, quarum memoria apud nos temporis diuturnitate et interitu hominum exstincta est. Dic, quaeso, inquit, o Critia, quid illud opus, et quomodo actum, et a quibus habitum, tan-

διακηκοὼς ἔλεγεν ὁ Σόλων. Ἔξι τις κατ' Αἴγυπτον, ἦ δ' ὅς, ἐν τῷ Δέλτα, περὶ ὃ κατὰ κορυφὴν σχίζεται τὸ τοῦ Νείλου ῥεῦμα, Σαϊτικὸς ἐπικαλούμενος νομός, τούτου δὲ τοῦ νομοῦ μεγίστη πόλις Σάϊς, ὅθεν δὴ καὶ Ἄμασις ἦν ὁ βασιλεύς· οἷς τῆς πόλεως θεὸς ἀρχηγός τίς ἐστιν, Αἰγυπτιστὶ μὲν τοὔνομα Νηίθ, Ἑλληνιστὶ δέ, ὡς ὁ ἐκείνων λόγος, Ἀθηνᾶ· μάλα δὲ φιλαθήναιοι καί τινα τρόπον οἰκεῖοι τῶνδ' εἶναί φασιν. οἱ δὴ Σόλων ἔφη πορευθεὶς σφόδρα τε γενέσθαι παρ' αὐτοῖς ἔντιμος, καὶ δὴ καὶ τὰ παλαιὰ ἀνερωτῶν τοὺς μάλιστα περὶ ταῦτα τῶν ἱερέων ἐμπείρους σχεδὸν οὔτε αὐτὸν οὔτε ἄλλον Ἕλληνα οὐδένα οὐδὲν ὡς ἔπος εἰπεῖν εἰδότα περὶ τῶν τοιούτων ἀνευρεῖν. καί ποτε προαγαγεῖν βουληθεὶς αὐτοὺς περὶ τῶν ἀρχαίων εἰς λόγους, τῶν τῇδε τὰ ἀρχαιότατα λέγειν ἐπιχειρεῖν, περὶ Φορωνέως τε τοῦ πρώτου λεχθέντος καὶ Νιόβης, καὶ μετὰ τὸν κατακλυσμὸν αὖ περὶ Δευκαλίωνος καὶ Πύῤῥας ὡς διεγένοντο μυθολογεῖν, καὶ τοὺς ἐξ αὐτῶν γενεαλογεῖν, καὶ τὰ τῶν ἐτῶν ὅσα ἦν οἷς ἔλεγε πειρᾶσθαι διαμνημονεύων τοὺς χρόνους ἀριθμεῖν· καί τινα εἰπεῖν τῶν ἱερέων εὖ μάλα παλαιόν, Ὦ Σόλων, Σόλων, Ἕλληνες ἀεὶ παῖδές ἐστε, γέρων δὲ Ἕλλην οὐκ ἔστιν. Ἀκού-

quam verum Solon narrabat. *Cri.* Est, inquit, Aegypti regio Delta, cuius e vertice scinduntur Nili fluenta. eius campi Saitica pascua nominantur. in quibus maxima civitas est, quam Saim vocant: unde Amasis fuit rex. urbis eius fundatrix Dea fuit, quam Aegyptii Neithem, Graeci Athenam nominant. ipsi porro homines Atheniensium amici sunt, eisque genere quodam coniunctos esse se praedicant. quo Solon profectum se honorifice acceptum fuisse referebat. et cum de vetustatis memoria ab illis sacerdotibus, qui in hac re ceterorum peritissimi erant, quaesisset, expertum se esse dicebat neque se ipsum neque alium Graecorum quenquam cognitionem antiquitatis ullam habere. quandoque vero coram sacerdotibus, ut eos ad sua narranda provocaret, de antiquissimis illis Athenarum historiis verba fecisse, Phoroneo primo et Niobe, postque inundationem mundi de Pyrrha et Deucalione eorumque posteritate, et de temporibus, quibus singula contigerunt. tunc ex sacerdotibus quendam grandem natu dixisse: O Solon, Solon, Graeci pueri semper estis, nec quisquam e Graecia senex. Cur istud diceret, percontante Solone, respondisse sacerdotem: Quia

σας οὖν, Πῶς τι τοῦτο λέγεις; φάναι. Νέοι ἐστέ, εἰπεῖν, τὰς ψυχὰς πάντες· οὐδεμίαν γὰρ ἐν αὐταῖς ἔχετε δι' ἀρχαίαν ἀκοὴν παλαιὰν δόξαν οὐδὲ μάθημα χρόνῳ πολιὸν οὐδέν. τὸ δὲ τούτων αἴτιον τόδε. πολλαὶ καὶ κατὰ πολλὰ φθοραὶ γεγόνασιν ἀνθρώπων καὶ ἔσονται, πυρὶ μὲν καὶ ὕδατι μέγισαι, μυρίοις δὲ ἄλλοις ἕτεραι βραχύτεραι. τὸ γὰρ οὖν καὶ παρ' ὑμῖν λεγόμενον, ὡς ποτε Φαέθων Ἡλίου παῖς τὸ τοῦ πατρὸς ἅρμα ζεύξας διὰ τὸ μὴ δυνατὸς εἶναι κατὰ τὴν τοῦ πατρὸς ὁδὸν ἐλαύνειν τά τ' ἐπὶ γῆς ξυνέκαυσε καὶ αὐτὸς κεραυνωθεὶς διεφθάρη, τοῦτο μύθου μὲν σχῆμα ἔχον λέγεται, τὸ δ' ἀληθές ἐστι τῶν περὶ γῆν καὶ κατ' οὐρανὸν ἰόντων παράλλαξις καὶ διὰ μακρῶν χρόνων γινομένη τῶν ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. τότε οὖν ὅσοι κατ' ὄρη καὶ ἐν ὑψηλοῖς τόποις καὶ ἐν ξηροῖς οἰκοῦσι, μᾶλλον διόλλυνται τῶν ποταμοῖς καὶ θαλάττῃ προσοικούντων· ἡμῖν δὲ ὁ Νεῖλος εἰς τε τἆλλα σωτὴρ καὶ τότε ἐκ ταύτης τῆς ἀπορίας σώζει λυόμενος. ὅταν δ' αὖ οἱ θεοὶ τὴν γῆν ὕδασι καθαίροντες κατακλύζωσιν, οἱ μὲν ἐν τοῖς ὄρεσι διασώζονται βουκόλοι νομεῖς τε, οἱ δ' ἐν ταῖς παρ' ὑμῖν πόλεσιν εἰς τὴν θάλατταν ὑπὸ τῶν ποταμῶν φέρονται· κατὰ δὲ τήνδε τὴν χώραν οὔτε τότε

invenis semper vobis est animus, in quo nulla est ex vetustatis commemoratione prisca opinio, nulla cana scientia. quod ideo vobis contigit, quia multa et varia hominum exitia fuerunt eruntque. maxima quidem aut ignis conflagratione aut aquae inundationibus provenire necesse est, minora vero aliis quibuslibet calamitatibus fieri. nam quod apud vos fertur, Phaëthontem quondam Solis filium currus ascendisse paternos, nec patris aurigatione servata exussisse terrena, ipsumque flammis coelestibus conflagrasse, quamvis fabulosum videatur, verum quodammodo esse putandum est. fit enim longo temporum intervallo coelestis circuitus permutatio quaedam, quam inflammationis vastitas necessario sequitur. tunc hi, qui edita et arida incolunt loca, magis pereunt quam mari fluviisque vicini. nobis porro Nilus cum in plerisque rebus salutaris est, tum huiusmodi a nobis arcet exitium, quando vero Dii aquarum colluvione terrae sordes diluunt, pastores ovium atque bubulci, qui iuga montium habitant, periculum illud evadunt: vestrae autem civitates, in planitie sitae, impetu fluminum ad maria rapiuntur. sed in hac nostra regione neque

οὔτε ἄλλοτε ἄνωθεν ἐπὶ τὰς ἀρούρας ὕδωρ ἐπιῤῥεῖ, τὸ δ' ἐναντίον κάτωθεν ἐπανιέναι πέφυκεν. ὅθεν καὶ δι' ἃς αἰτίας τἀνθάδε σωζόμενα λέγεται παλαιότατα. τὸ δὲ ἀληθές, ἐν πᾶσι τοῖς τόποις ὅπου μὴ χειμὼν ἐξαίσιος ἢ καῦμα ἀπείργει, πλέον, τοτὲ δὲ ἔλαττον ἀεὶ γένος ἐστὶν ἀνθρώπων· ὅσα δὲ ἢ παρ' ὑμῖν ἢ τῇδε ἢ καὶ κατ' ἄλλον τόπον ὧν ἀκοῇ ἴσμεν, εἴ πού τι καλὸν ἢ μέγα γέγονεν ἢ καί τινα διαφορὰν ἄλλην ἔχον, πάντα γεγραμμένα ἐκ παλαιοῦ τῇδ' ἐστὶν ἐν τοῖς ἱεροῖς καὶ σεσωσμένα. τὰ δὲ παρ' ὑμῖν καὶ τοῖς ἄλλοις ἄρτι κατεσκευασμένα ἑκάστοτε τυγχάνει γράμμασι καὶ ἅπασιν ὁπόσων πόλεις δέονται, καὶ πάλιν δι' εἰωθότων ἐτῶν ὥς περ νόσημα ἥκει φερόμενον αὐτοῖς ῥεῦμα οὐράνιον καὶ τοὺς ἀγραμμάτους τε καὶ ἀμούσους ἔλιπεν ὑμῶν, ὥστε πάλιν ἐξ ἀρχῆς οἷον νέοι γίγνεσθε, οὐδὲν εἰδότες οὔτε τῶν τῇδε οὔτε τῶν παρ' ὑμῖν, ὅσα ἦν ἐν τοῖς παλαιοῖς χρόνοις. τὰ γοῦν νῦν δὴ γενεαλογηθέντα, ὦ Σόλων, περὶ τῶν παρ' ὑμῖν ἃ διῆλθες, παίδων βραχύ τι διαφέρει μύθων, οἳ πρῶτον μὲν ἕνα γῆς κατακλυσμὸν μέμνησθε πολλῶν ἔμπροσθεν γεγονότων, ἔτι δὲ τὸ κάλλιστον καὶ ἄριστον γένος ἐπ' ἀνθρώπους ἐν

tunc neque alias unquam aqua in agros superne descendit: contra vero sursum e terrae visceribus scaturit. quamobrem antiquissimarum rerum apud nos monumenta servantur. proinde, ubicunque nec imbrium tempestas nimia nec incendium ingens contingit, licet alias pauciores, alias plures, semper tamen homines sunt. quaecunque vero a nostris sive a vestris sive aliis nationibus gesta sunt memoratu digna, modo ad aures nostrorum pervenerint, nostris in templis descripta servantur. apud vos quidem et alias gentes res gestae nuper literis monumentisque traduntur; sed certis temporum curriculis illuvies immissa coelitus omnia populatur. ideo, qui succedunt, et literis et Musis orbati sunt. quo fit, ut quasi iuvenes iterum sitis et rudes, praeteritarum rerum omnium prorsus ignari. nam et ea ipsa, quae modo ex vestris historiis recensebas, a fabulis puerilibus, o Solon, parum distant, primo, quod unius tantum inundationis memineritis, cum multae praecesserint: deinde quod genus maiorum vestrorum in regione vestra clarissimum et optimum ignoretis, ex quo tu et Athenienses

τῇ χώρᾳ παρ' ὑμῖν οὐκ ἴσε γεγονός, ἐξ ὧν σύ τε καὶ πᾶσα ἡ πόλις ἔστι τὰ νῦν ὑμῶν περιλειφθέντος ποτὲ σπέρματος βραχέος, ἀλλ' ὑμᾶς λέληθε διὰ τὸ τοὺς περιγενομένους ἐπὶ πολλὰς γενεὰς γράμμασι τελευτᾶν ἀφώνους. ἦν γὰρ δή ποτε, ὦ Σόλων, ὑπὲρ τὴν μεγίστην φθορὰν ὕδασιν ἡ νῦν Ἀθηναίων οὖσα πόλις ἀρίστη πρός τε τὸν πόλεμον καὶ κατὰ πάντα εὐνομωτάτη διαφερόντως· ἧς κάλλιστα ἔργα καὶ πολιτεῖαι γενέσθαι λέγονται κάλλισταί πασῶν, ὁπόσων ὑπὸ τὸν οὐρανὸν ἡμεῖς ἀκοὴν παρεδεξάμεθα. Ἀκούσας οὖν ὁ Σόλων ἔφη θαυμάσαι καὶ πᾶσαν προθυμίαν σχεῖν, δεόμενος τῶν ἱερέων πάντα δι' ἀκριβείας οἱ τὰ περὶ τῶν πάλαι πολιτῶν ἐξῆς διελθεῖν. τὸν οὖν ἱερέα φάναι Φθόνος οὐδείς, ὦ Σόλων, ἀλλὰ σοῦ τε ἕνεκα ἐρῶ καὶ τῆς πόλεως ὑμῶν, μάλιστα δὲ τῆς θεοῦ χάριν, ἣ τήν τε ὑμετέραν καὶ τήνδ' ἔλαχε καὶ ἔθρεψε καὶ ἐπαίδευσε, προτέραν μὲν τὴν παρ' ὑμῖν ἔτεσι χιλίοις, ἐκ Γῆς τε καὶ Ἡφαίστου τὸ σπέρμα παραλαβοῦσα ὑμῶν, τήνδε δὲ ὑστέραν. τῆς δὲ ἐνθαδὶ διακοσμήσεως παρ' ἡμῖν ἐν τοῖς ἱεροῖς γράμμασιν ὀκτακισχιλίων ἐτῶν ἀριθμὸς γέγραπται. περὶ δὴ τῶν ἐνακισχίλια γεγονότων ἔτη πολιτῶν σοι δηλώσω διὰ βραχέων νόμους τε καὶ τῶν ἔργων αὐτοῖς ὃ κάλλιστον ἐπράχθη· τὸ δ' ἀκριβὲς περὶ

ceteri nati estis, exiguo semine quondam publicae cladi superstite. quod propterea vos latuit, quia superstites illi eorumque posteri literarum usu multis seculis caruerunt. fuit enim ante exitialem illam terrae illuvionem, o Solon, Atheniensium civitas tam belli quam pacis officiis praestantissima: eiusque opera legesque omnibus, quorum memoria ad nos pervenit, excelluerunt. Tunc admiratum Solonem obnixe sacerdotes obsecravisse ait, ut omnia diligenter priscorum civium opera revelarent. Atque illi sic a sacerdote quodam fuisse responsum: Nulla hoc invidia prohibet, Solon. dicam equidem libenter, tui et civitatis vestrae gratia: maxime vero gratia Deae, quae et vestram illam et hanc nostram condidit, educavit, instituit; priorem vestram annis mille, ex Terra et Vulcano accipiens semina: posterioris autem huius nostrae urbis res octo annorum millibus gestae in sacris literis continentur. illorum ergo civium, qui in hoc novem millium annorum tempore ante nos fuerunt, instituta et praeclara facinora breviter, Solon, in praesentia tibi perstringam. deinceps vero, cum plus dabitur

24 πάντων ἐφεξῆς εἰσαῦθις κατὰ σχολήν, αὐτὰ τὰ γράμματα λαβόντες, διέξιμεν. τοὺς μὲν οὖν νόμους σκόπει πρὸς τοὺς τῇδε· πολλὰ γὰρ παραδείγματα τῶν τότε παρ' ὑμῖν ὄντων ἐνθάδε νῦν ἀνευρήσεις, πρῶτον μὲν τὸ τῶν ἱερέων γένος ἀπὸ τῶν ἄλλων χωρὶς ἀφωρισμένον, μετὰ δὲ τοῦτο τὸ τῶν δημιουργῶν, ὅτι καθ' αὑτὸ ἕκαστον ἄλλῳ δὲ οὐκ ἐπιμιγνύμενον δημιουργεῖ, τό τε τῶν νομέων καὶ τὸ τῶν θηρευτῶν τό τε τῶν γεωργῶν. καὶ δὴ καὶ τὸ μάχιμον γένος ἤσθησαί που τῇδε ἀπὸ πάντων τῶν γενῶν κεχωρισμένον, οἷς οὐδὲν ἄλλο πλὴν 1
τὰ περὶ τὸν πόλεμον ὑπὸ τοῦ νόμου προσετάχθη μέλειν. ἔτι δὲ ἡ τῆς ὁπλίσεως αὐτῶν σχέσις ἀσπίδων καὶ δοράτων, οἷς ἡμεῖς πρῶτοι τῶν περὶ τὴν Ἀσίαν ὡπλίσμεθα, τῆς θεοῦ, καθά περ ἐν ἐκείνοις τοῖς τόποις, παρ' ὑμῖν πρώτοις ἐνδειξαμένης. τὸ δ' αὖ περὶ τῆς φρονήσεως, ὁρᾷς που τὸν νόμον τῇδε ὅσην ἐπιμέλειαν ἐποιήσατο εὐθὺς κατ' ἀρχὰς περί τε τὸν κόσμον ἅπαντα, μέχρι μαντικῆς καὶ ἰατρικῆς πρὸς ὑγίειαν, ἐκ τούτων θείων ὄντων εἰς τὰ ἀνθρώπινα ἀνευρών, ὅσα τε ἄλλα τούτοις ἕπεται μαθήματα, πάντα κτησάμενος. 2
ταύτην οὖν δὴ τότε ξύμπασαν τὴν διακόσμησιν καὶ σύνταξιν ἡ θεὸς προτέρους ὑμᾶς διακοσμήσασα κατῴ-

otii, accepto historiarum libro latius exponemus. Ac primum leges illorum considera, quo pacto cum his nostris conveniant. multa enim hic similia illis reperies. principio, quod sacerdotes separati ab omni turba vitam agunt: deinde varia opificum genera ita inter se discreta sunt, ut suum quisque agat, promiscue vero nullus. similiter pastorum, venatorum, agricolarum inter se distincta sunt opera. milites quoque hic, ut nosti, ab aliis omnibus segregati, bellica duntaxat tractare a lege iubentur. armatura etiam, ut clipeorum iaculorumque usus, apud utrosque persimilis. his primi nos in Asia usi sumus, et Dea, ut illis in locis, sic nobis primis haec tradidit. prudentiae quoque et modestiae magna, sicut vides, nostris legibus ab initio cura fuit; divinationis insuper et medicinae: et sanitas nobis per haec divinitus procurata. demum quaecunque ad haec attinent disciplinae, diligenter institutae a lege reperiuntur. Huiusmodi institutione et ordine priorem vestram urbem Dea a primordiis exornavit, cum in urbe condenda

ωσεν, ἐκλεξαμένη τὸν τόπον ἐν ᾧ γεγένησθε, τὴν εὐκρασίαν τῶν ὡρῶν ἐν αὐτῷ κατιδοῦσα, ὅτι φρονιμωτάτους ἄνδρας οἴσοι. ἄτ' οὖν φιλοπόλεμός τε καὶ φιλόσοφος ἡ θεὸς οὖσα τὸν προσφερεςάτους αὐτῇ μέλλοντα οἴσειν τόπον ἄνδρας, τοῦτον ἐκλεξαμένη πρῶτον κατῴκισεν. ᾠκεῖτε δὴ οὖν νόμοις τε τοιούτοις χρώμενοι καὶ ἔτι μᾶλλον εὐνομούμενοι πάσῃ τε πάντας ἀνθρώπους ὑπερβεβηκότες ἀρετῇ, καθά περ εἰκὸς γεννήματα καὶ παιδεύματα θεῶν ὄντας. πολλὰ μὲν οὖν ὑμῶν καὶ μεγάλα ἔργα τῆς πόλεως τῇδε γεγραμμένα θαυμάζεται, πάντων μὴν ἓν ὑπερέχει μεγέθει καὶ ἀρετῇ· λέγει γὰρ τὰ γεγραμμένα, ὅσην ἡ πόλις ὑμῶν ἔπαυσέ ποτε δύναμιν ὕβρει πορευομένην ἅμα ἐπὶ πᾶσαν Εὐρώπην καὶ Ἀσίαν, ἔξωθεν ὁρμηθεῖσαν ἐκ τοῦ Ἀτλαντικοῦ πελάγους. τότε γὰρ πορεύσιμον ἦν τὸ ἐκεῖ πέλαγος· νῆσον γὰρ πρὸ τοῦ στόματος εἶχεν, ὃ καλεῖτε, ὥς φατε ὑμεῖς, Ἡρακλέους στήλας· ἡ δὲ νῆσος ἅμα Λιβύης ἦν καὶ Ἀσίας μείζων, ἐξ ἧς ἐπιβατὸν ἐπὶ τὰς ἄλλας νήσους τοῖς τότ' ἐγίγνετο πορευομένοις, ἐκ δὲ τῶν νήσων ἐπὶ τὴν κατιοντικρὺ πᾶσαν ἤπειρον τὴν περὶ τὸν ἀληθινὸν ἐκεῖνον πόντον. τάδε μὲν γάρ, ὅσα ἐντὸς τοῦ στόματος οὗ λέγομεν, φαίνεται λιμὴν στενόν τινα ἔχων εἴσπλουν· ἐκεῖνο δὲ πέλαγος ὄντως ἤ τε πε-

eam regionem elegisset, quae ob aëris temperiem prudentissima ingenia procrearet. utpote enim bellicosa et sapiens Dea regionem eligendam censuit talem, quae esset sui similes homines editura. his itaque legibus, vel etiam honestioribus institutionibus formati veteres Athenienses, omni virtutum genere ceteris omnibus excelluerunt, ut decebat eos, qui Diis geniti eruditique essent. multa quidem et mirabilia vestrae civitatis opera in monumentis nostris leguntur, sed unum magnitudine et virtute praecipuum facinus. traditur enim vestra civitas restitisse olim innumeris hostium copiis, quae ex Atlantico mari profectae prope iam cunctam Europam Asiamque obsederant. tunc enim erat fretum illud navigabile, habens in ore et quasi vestibulo eius insulam, quas Herculis columnas cognominatis: fertque insula illa Libya simul et Asia maior fuisse; per quam ad alias proximas insulas patebat aditus, atque ex insulis ad omnem continentem e conspectu iacentem, vero mari vicinam. sed intra os ipsum portus angusto sinu fuisse traditur. pelagus illud verum mare, terra quoque illa

ριέχουσα αὐτὸ γῆ παντελῶς ἀληθῶς ὀρθότατ' ἂν λέγοιτο ἤπειρος. ἐν δὲ δὴ τῇ Ἀτλαντίδι νήσῳ ταύτῃ μεγάλη συνέζη καὶ θαυμαστὴ δύναμις βασιλέων, κρατοῦσα μὲν ἁπάσης τῆς νήσου, πολλῶν δὲ ἄλλων νήσων καὶ μερῶν τῆς ἠπείρου· πρὸς δὲ τούτοις ἔτι τῶν ἐντὸς τῇδε Λιβύης μὲν ἦρχον μέχρι πρὸς Αἴγυπτον, τῆς δὲ Εὐρώπης μέχρι Τυρρηνίας. αὕτη δὴ πᾶσα ξυναθροισθεῖσα εἰς ἓν ἡ δύναμις τόν τε παρ' ὑμῖν καὶ τὸν παρ' ἡμῖν καὶ τὸν ἐντὸς τοῦ στόματος πάντα τόπον μιᾷ ποτ' ἐπεχείρησεν ὁρμῇ δουλοῦσθαι. τότε οὖν ὑμῶν, ὦ Σόλων, τῆς πό- 10
λεως ἡ δύναμις εἰς ἅπαντας ἀνθρώπους διαφανὴς ἀρετῇ τε καὶ ῥώμῃ ἐγένετο· πάντων γὰρ προστᾶσα εὐψυχίᾳ καὶ τέχναις ὅσαι κατὰ πόλεμον, τὰ μὲν τῶν Ἑλλήνων ἡγουμένη, τὰ δ' αὐτὴ μονωθεῖσα ἐξ ἀνάγκης τῶν ἄλλων ἀποστάντων, ἐπὶ τοὺς ἐσχάτους ἀφικομένη κινδύνους, κρατήσασα μὲν τῶν ἐπιόντων τρόπαια ἀνέστησε, τοὺς δὲ μὴ πω δεδουλωμένους διεκώλυσε δουλωθῆναι, τοὺς δ' ἄλλους, ὅσοι κατοικοῦμεν ἐντὸς ὅρων Ἡρακλείων, ἀφθόνως ἅπαντας ἠλευθέρωσεν. ὑστέρῳ δὲ χρόνῳ σεισμῶν ἐξαισίων καὶ κατακλυσμῶν γενομένων, μιᾶς 20
ἡμέρας καὶ νυκτὸς χαλεπῆς ἐλθούσης, τό τε παρ' ὑμῶν μάχιμον πᾶν ἀθρόον ἔδυ κατὰ γῆς, ἥ τε Ἀτλαντὶς νῆσος ὡσαύτως κατὰ τῆς θαλάττης δῦσα ἠφανίσθη· διὸ

vere erat continens. in hac Atlantide insula maxima et admirabilis potentia exstitit regum, qui toti insulae illi multisque aliis et maximae terrae continentis parti, praeterea et his, quae penes nos sunt, dominabantur: siquidem tertiae mundi parti, quae Libya dicitur, usque ad Aegyptum imperaverunt; Europae vero usque ad Tyrrhenum mare. horum vis omnis una collecta nostram, o Solon, vestramque regionem, et quicquid intra columnas Herculis continebatur, invasit. tunc vestrae civitatis virtus in omnes gentes enituit. quae cum omnes magnanimitate bellicisque artibus antecelleret, partim una cum aliis Graecis, partim sola, ceteris deserentibus, extrema discrimina subiit hostesque expugnavit, amicis servata vel reddita libertate. post haec ingenti terrae motu iugique diei unius et noctis illuvione factum est, ut terra dehiscens vestros illos una omnes bellicosos homines absorberet, et Atlantis insula sub vasto gurgite mergeretur. quam

καὶ νῦν ἄπορον καὶ ἀδιερεύνητον γέγονε τοὐκεῖ πέλαγος, πηλοῦ κάρτα βαθέος ἐμποδὼν ὄντος, ὃν ἡ νῆσος ἰζομένη παρέσχετο.

Τὰ μὲν δὴ ῥηθέντα, ὦ Σώκρατες, ὑπὸ τοῦ παλαιοῦ Κριτίου κατ' ἀκοὴν τὴν Σόλωνος, ὡς συντόμως εἰπεῖν, ἀκήκοας· λέγοντος δὲ δὴ χθὲς σοῦ περὶ πολιτείας τε καὶ τῶν ἀνδρῶν οὓς ἔλεγες, ἐθαύμαζον ἀναμιμνησκόμενος αὐτὰ ἃ νῦν λέγω, κατανοῶν ὡς θαιμονίως ἔκ τινος τύχης οὐκ ἄπο σκοποῦ ξυνηνέχθης τὰ πολλὰ οἷς Σόλων εἶπεν. οὐ μὴν ἐβουλήθην παραχρῆμα εἰπεῖν· διὰ χρόνου γὰρ οὐχ ἱκανῶς ἐμεμνήμην. ἐνενόησα οὖν ὅτι χρεὼν εἴη με πρὸς ἐμαυτὸν πρῶτον ἱκανῶς πάντα ἀναλαβόντα λέγειν οὕτως. ὅθεν ταχὺ ξυνωμολόγησά σοι ταπιταχθέντα χθές, ἡγούμενος, ὃ περ ἐν ἅπασι τοῖς τοιοῖσδε μέγιστον ἔργον, λόγον τινὰ πρέποντα τοῖς βουλήμασιν ὑποθέσθαι, τούτου μετρίως ἡμᾶς εὐπορήσειν. οὕτω δή, καθά περ ὅδ' εἶπε, χθές τε εὐθὺς ἐνθένδε ἀπιὼν πρὸς τοὑσδε ἀνέφερον αὐτὰ ἀναμιμνησκόμενος, ἀπελθών τε σχεδόν τι ἅπαντα ἐπισκοπῶν τῆς νυκτὸς ἀνέλαβον. ὡς δή τοι, τὸ λεγόμενον, τὰ παίδων μαθήματα θαυμασὸν ἔχει τι μνημεῖον! ἐγὼ γὰρ ἃ μὲν χθὲς ἤκουσα, οὐκ ἂν οἷδ' εἰ ὁτῳοῦν ἅπαντα ἐν μνήμῃ πάλιν λαβεῖν· ταῦτα δὲ ἃ πάμπολυν χρόνον διακή-

ob causam innavigabile pelagus illud propter absorptae insulae limum relictum fuit. Haec, o Socrates, eorum, quae Critias maior a Solone accepta narrabat, summa est. sed dum praeterito die de re publica civibusque suis dissererem, subiit mihi quaedam ex recordatione admiratio, cogitanti videlicet divina quadam sorte factum esse, ut simillima quaedam haud ab re Solonis historiae traderes. ob eam vero causam nihil tunc protuli, quoniam ex diuturna negligentia non satis reminiscebar. satius igitur ipse censui, ut, priusquam referre vobis inciperem, mecum ipse repeterem. ideo vero statim imperio tuo consensi, quia confidebam, ut in rebus huiusmodi maxime decet, aliquid me, quod propositae rei congrueret, reperturum. ita heri, ut iste ait, post discessum protinus his, prout tunc recordabar, recensui. a nocturnis deinde vigiliis paene omnia recuperavi. profecto, quae in pueritia discimus, diutius firmiusque, ut fertur, meminisse solemus. atque haud scio, an quae heri audivi, referre nunc omnia memoriter possim: quae vero

ποα, παντάπασι θαυμάσαιμ' ἂν εἴ τί με αὐτῶν διαπέφευγεν. ἦν μὲν οὖν μετὰ πολλῆς ἡδονῆς καὶ παιδικῆς τότε ἀκουόμενα, καὶ τοῦ πρεσβύτου προθύμως με διδάσκοντος, ἅτ' ἐμοῦ πολλάκις ἐπανερωτῶντος, ὥστε οἷον ἐγκαύματα ἀνεκπλύτου γραφῆς ἔμμονά μοι γέγονε. καὶ δὴ καὶ τοῖσδε εὐθὺς ἔλεγον ἕωθεν αὐτὰ ταῦτα, ἵνα εὐποροίεν λόγων μετ' ἐμοῦ. νῦν οὖν, οὗ περ ἕνεκα πάντα εἴρηται, λέγειν εἰμὶ ἕτοιμος, ὦ Σώκρατες, μὴ μόνον ἐν κεφαλαίοις ἀλλ' ὡς περ ἤκουσα καθ' ἕκαζον. τοὺς δὲ πολίτας καὶ τὴν πόλιν ἣν χθὲς ἡμῖν ὡς ἐν μύθῳ διήεισθα σύ, μετενεγκόντες ἐπὶ τἀληθὲς δεῦρο θήσομεν ὡς ἐκείνην τήνδε οὖσαν, καὶ τοὺς πολίτας οὓς διενοοῦ φήσομεν ἐκείνους τοὺς ἀληθινοὺς εἶναι προγόνους ἡμῶν οὓς ἔλεγεν ὁ ἱερεύς· πάντως ἁρμόσουσι, καὶ οὐκ ἀπασόμεθα λέγοντες αὐτοὺς εἶναι τοὺς ἐν τῷ τότε ὄντας χρόνῳ. κοινῇ δὲ διαλαμβάνοντες ἅπαντες πειρασόμεθα τὸ πρέπον εἰς δύναμιν οἷς ἐπέταξας ἀποδοῦναι. σκοπεῖν οὖν δὴ χρή, ὦ Σώκρατες, εἰ κατὰ νοῦν ὁ λόγος ἡμῖν οὗτος, ἢ τινα ἔτ' ἄλλον ἀντ' αὐτοῦ ζητητέον.

ΣΩ. Καὶ τίν' ἄν, ὦ Κριτία, μᾶλλον ἀντὶ τού-

puer accepi, mirabor equidem, si quid eorum e memoria mihi exciderit. ea quippe cum voluptate et ioco audiebam, cum et senex ille libenter me doceret, et ego ab illo sedulo sciscitarer. quapropter quasi quaedam literarum inustae indelebiliter notae ea mihi omnia infixa memoriae permanserunt. atque his etiam ante solis ortum ipsa narravi, ut una mecum essent ad hanc orationem paratiores. Verum ut ad id, quo haec omnia spectant, me conferam, paratus sum, o Socrates, non modo summatim, sed sigillatim, sicut audivi, omnia enarrare. civitatem utique et cives, quos quasi per fabulam hesterna disputatione finxisti, rem veram esse ponemus. civitatem quidem illam Atheniensem hanc urbem esse; cives quoque, quos ipse excogitabas, nostros illos maiores, a sacerdote narratos, fuisse censebimus. nempe omnino haec congruent; neque ab re fuerit, si cives tuos revera priscos illos exstitisse dixerimus. quare communiter rem ipsam inter nos partientes, conabimur omnes muneri abs te nobis imposito pro viribus satisfacere. sed vide, o Socrates, nunquid sermonem hunc probemus, an alium exigamus. *So.* At enim quem, o Critia, sermonem magis quam

του μεταλάβοιμεν, ὃς τῇ τε παρούσῃ τῆς θεοῦ θυσίᾳ διὰ τὴν οἰκειότητα ἂν πρέποι μάλιστα, τό τε μὴ πλασθέντα μῦθον ἀλλ' ἀληθινὸν λόγον εἶναι πάμμεγά που. πῶς γὰρ καὶ πόθεν ἄλλους ἀνευρήσομεν ἀφέμενοι τούτων; οὐκ ἔστιν, ἀλλ' ἀγαθῇ τύχῃ χρὴ λέγειν μὲν ὑμᾶς, ἐμὲ δὲ ἀντὶ τῶν χθὲς λόγων νῦν ἡσυχίαν ἄγοντα ἀντακούειν.

KP. Σκόπει δὴ τὴν τῶν ξενίων σοι διάθεσιν, ὦ 27
Σώκρατες, ἣ διάθεμεν. ἔδοξε γὰρ ἡμῖν Τίμαιον μέν, ἅτε ὄντα ἀστρονομικώτατον ἡμῶν καὶ περὶ φύσεως τοῦ παντὸς εἰδέναι μάλιστα ἔργον πεποιημένον, πρῶτον λέγειν ἀρχόμενον ἀπὸ τῆς τοῦ κόσμου γενέσεως, τελευτᾶν δὲ εἰς ἀνθρώπων φύσιν· ἐμὲ δὲ μετὰ τοῦτον, ὡς παρὰ μὲν τούτου δεδεγμένον ἀνθρώπους τῷ λόγῳ γεγονότας, παρὰ σοῦ δὲ πεπαιδευμένους διαφερόντως αὐτῶν τινάς, κατὰ δὲ τὸν Σόλωνος λόγον τε καὶ νόμον εἰσαγαγόντα αὐτοὺς ὡς εἰς δικασὰς ἡμᾶς ποιῆσαι πολίτας τῆς πόλεως τῇσδε ὡς ὄντας τοὺς τότε Ἀθηναίους, οὓς ἐμήνυσεν ἀφανεῖς ὄντας ἡ τῶν ἱερῶν γραμμάτων φήμη, τὰ λοιπὰ δὲ ὡς περὶ πολιτῶν καὶ Ἀθηναίων ὄντων ἤδη ποιεῖσθαι τοὺς λόγους.

ΣΩ. Τελέως τε καὶ λαμπρῶς ἔοικα ἀνταπολήψε-

istum probabimus, qui praesentibus Deae sacris propter propinquitatem quandam mirifice congruit? maximum vero illud est, non fictam a nobis fabulam, sed veram historiam recenseri. quonam igitur pacto et unde, hac spreta, disputationem aliam exordiemur? certe non licet: ideo bonis fortunae auspiciis oportet iam tam vos disserere, quam me pro hesterna narratione hodie silentio vos audire. *Cri.* Considera, Socrates, an commode mutuum tibi convivium disposuerimus. visum nobis est, ut Timaeus, tanquam in astronomia nostrorum omnium peritissimus, maximeque in rerum natura cognoscenda versatus, primus edisserat, ita ut a mundi generatione exordiens usque ad generis humani naturam deveniat, atque ego deinde, suscipiens homines a Timaeo quidem genitos, a Critia vero ut plurimum institutos, secundum Solonis sermonem legemque in iudicium vestrum adducam, civitatisque istius cives efficiam eos, qui prisci illi Athenienses fuerunt, quos iam exstinctos sacrae Aegyptiorum literae in lucem e tenebris eruerunt, adeo ut de illis deinceps tanquam de veteribus Atheniensibus verba fiant. *So.* Copiosam et splendidam disputationis mensam appa-

σθαι τὴν τῶν λόγων ἐξ·ασιν. Σὸν οὖν ἔργον λέγειν ἂν εἴη, ὦ Τίμαιε, τὸ μετὰ τοῦτο, ὡς ἔοικεν, ἐπικαλέσαντα κατὰ νόμον θεούς.

TI. Ἀλλ', ὦ Σώκρατες, τοῦτό γε δὴ πάντες ὅσοι καὶ κατὰ βραχὺ σωφροσύνης μετέχουσιν, ἐπὶ παντὸς ὁρμῇ καὶ σμικροῦ καὶ μεγάλου πράγματος θεὸν ἀεί που καλοῦσιν· ἡμᾶς δὲ τοὺς περὶ τοῦ παντὸς λόγους ποιεῖσθαί πῃ μέλλοντας, ἢ γίγονεν ἢ καὶ ἀγενές ἐστιν, εἰ μὴ παντάπασι παραλλάττομεν, ἀνάγκη θεούς τε καὶ θεὰς ἐπικαλουμένους εὔχεσθαι πάντα κατὰ νοῦν ἐκείνοις μὲν μάλιστα, ἑπομένως δὲ ἡμῖν εἰπεῖν. καὶ τὰ μὲν περὶ θεῶν ταύτῃ παρακεκλήσθω· τὸ δ' ἡμέτερον παρακλητέον, ἢ ῥᾷστ' ἂν ὑμεῖς μὲν μάθοιτε, ἐγὼ δὲ ἢ διανοοῦμαι μάλιστ' ἂν περὶ τῶν προκειμένων ἐνδείξαίμην.

Ἔστιν οὖν δὴ κατ' ἐμὴν δόξαν πρῶτον διαιρετέον τάδε. τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τί τὸ γιγνόμενον μὲν ἀεί, ὂν δὲ οὐδέποτε; τὸ μὲν δὴ νοήσει
28 μετὰ λόγου περιληπτὸν ἀεὶ κατὰ ταὐτὰ ὄν, τὸ δ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστὸν γιγνόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν. πᾶν δὲ αὖ τὸ γιγνόμενον ὑπ' αἰτίου τινὸς ἐξ ἀνάγκης γίγνεσθαι·

ravisse mihi videris, tua ergo interest, o Timaee, invocatis secundum legem Diis, disputationem iam exordiri. *Ti.* Probe consulis; Socrates. nam cum omnes, qui mentis quoquo modo compotes sunt, in operis cuiuslibet vel magni vel parvi principio invocare Deum soleant: quanto nos aequius est, de Universo, sive genitum sit sive ingenitum, disputaturos, nisi forte desipimus, invocare divinam opem? Ergo Deos omnes Deasque precamur, in primis quidem, ut ea dicantur a nobis, quae illis placeant: deinde, ut nobis ipsi constemus. quantum ad Deos attinet, sic a nobis oratum sit: sed quod ad nos spectat, poscendum est, ut et vos facile assequamini, et ego secundum mentis propositum rem ipsam, qua de agitur, transigam. Principio ita mihi distinguendum esse videtur, quid sit, quod semper est carens generatione; quid vero, quod gignitur quidem, neque est unquam. illud intellectu per rationis indaginem percipi potest, cum semper sit idem; hoc opinione per irrationalem sensum attingi, cum gignatur et intereat neque vere unquam sit. quicquid autem gignitur, ex aliqua causa necessario gignitur; sine causa vero oriri quicquam im-

παντὶ γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν σχεῖν. ὅτου μὲν οὖν ἂν ὁ δημιουργὸς πρὸς τὸ κατὰ ταὐτὰ ἔχον βλέπων ἀεί, τοιούτῳ τινὶ προσχρώμενος παραδείγματι, τὴν ἰδέαν αὐτοῦ καὶ δύναμιν ἀπεργάζηται, καλὸν ἐξ ἀνάγκης οὕτως ἀποτελεῖσθαι πᾶν· οὗ δ' ἂν εἰς τὸ γεγονός, γεννητῷ παραδείγματι προσχρώμενος, οὐ καλόν. ὁ δὴ πᾶς οὐρανὸς ἢ κόσμος ἢ καὶ ἄλλο ὅ τι ποτε ὀνομαζόμενος μάλιστ' ἂν δέχοιτο, τοῦθ' ἡμῖν ὠνομάσθω —, σκεπτέον δ' οὖν περὶ αὐτοῦ πρῶτον, ὅ περ ὑπόκειται περὶ παντὸς ἐν ἀρχῇ δεῖν σκοπεῖν, πότερον ἦν ἀεί, γενέσεως ἀρχὴν ἔχων οὐδεμίαν, ἢ γέγονεν, ἀπ' ἀρχῆς τινὸς ἀρξάμενος. γέγονεν· ὁρατὸς γὰρ ἁπτός τέ ἐστι καὶ σῶμα ἔχων, πάντα δὲ τὰ τοιαῦτα αἰσθητά, τὰ δὲ αἰσθητά, δόξῃ περιληπτὰ μετὰ αἰσθήσεως, γιγνόμενα καὶ γεννητὰ ἐφάνη. τῷ δ' αὖ γενομένῳ φαμὲν ὑπ' αἰτίου τινὸς ἀνάγκην εἶναι γενέσθαι. τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν· τόδε δ' οὖν πάλιν ἐπισκεπτέον περὶ αὐτοῦ, πρὸς πότερον τῶν παραδειγμάτων ὁ τεκταινόμενος αὐτὸν ἀπεργάζετο, πότερον πρὸς τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχον ἢ πρὸς

possibile est. quando igitur opifex in operis alicuius constructione ad id, quod eodem modo se habet semper, aspicit, et huiusmodi quodam usus exemplo ideam vimque in opus educit, pulchrum fieri tunc opus omne necessarium est: quando vero ad id, quod factum est, respicit, minime pulchrum. universum igitur hoc coelum sive mundum, sive quo alio vocabulo gaudet, cognominemus, de quo primum consideremus, quod in quaestione de universo ante omnia investigari debet, utrumne semper fuerit, sine ullo generationis principio; an genitum sit, ab aliquo principio sumens exordium. idque profecto cernitur tangiturque et corpus habet. omnia vero huiusmodi sensus movent. quae sensus movent, opinione per sensum percipiuntur. haec vero talia esse constat, ut gignantur et genita sint. quicquid autem gignitur, ab aliqua causa necessario gigni asseruimus. opificem quidem et patrem mundi invenire difficile: et cum iam inveneris, praedicare eloqui vulgo impossibile est. rursus considerandum est, utrum mundi faber sit imitatus exemplar: idne, quod idem semper et simile est, an id, quod

29 τὸ γεγονός. εἰ μὲν δὴ καλός ἐστιν ὅδε ὁ κόσμος ὅ τε δημιουργὸς ἀγαθός, δῆλον ὡς πρὸς τὸ ἀΐδιον ἔβλεπεν· εἰ δέ, ὃ μηδ' εἰπεῖν τινὶ θέμις, πρὸς τὸ γεγονός. παντὶ δὴ σαφὲς ὅτι πρὸς τὸ ἀΐδιον· ὁ μὲν γὰρ κάλλιστος τῶν γεγονότων, ὁ δ' ἄριστος τῶν αἰτίων. οὕτω δὴ γεγενημένος πρὸς τὸ λόγῳ καὶ φρονήσει περιληπτὸν καὶ κατὰ ταὐτὰ ἔχον δεδημιούργηται. τούτων δὲ ὑπαρχόντων αὖ πᾶσα ἀνάγκη τόνδε τὸν κόσμον εἰκόνα τινὸς εἶναι. μέγιστον δὴ παντὸς ἄρξασθαι κατὰ φύσιν ἀρχήν· ὧδε οὖν περί τε εἰκόνος καὶ περὶ τοῦ παραδείγματος αὐτῆς διοριστέον, ὡς ἄρα τοὺς λόγους, ὧν πέρ εἰσιν ἐξηγητέοι, τούτων αὐτῶν καὶ ξυγγενεῖς ὄντας. τοῦ μὲν οὖν μονίμου καὶ βεβαίου καὶ μετὰ νοῦ καταφανοῦς μονίμους καὶ ἀμεταπτώτους, καθ' ὅσον τε ἀνελέγκτοις προσήκει λόγοις εἶναι καὶ ἀκινήτοις, τούτου δεῖ μηδὲν ἐλλείπειν· τοὺς δὲ τοῦ πρὸς μὲν ἐκεῖνο ἀπεικασθέντος, ὄντος δὲ εἰκόνος εἰκότας ἀνὰ λόγον τε ἐκείνων ὄντας· ὅ τι περ πρὸς γένεσιν οὐσία, τοῦτο πρὸς πίστιν ἀλήθεια. ἐὰν οὖν, ὦ Σώκρατες, πολλὰ πολλῶν εἰπόντων περὶ θεῶν καὶ τῆς τοῦ παντὸς γενέσεως μὴ δυνατοὶ γιγνώμεθα πάντῃ πάντως αὐτοὺς αὐτοῖς ὁμο-

genitum fuerit. atqui si pulcher est hic mundus et opifex mundi bonus, sempiternum certe exemplum maluit imitari: sin secus, quod ne dictu quidem fas est, generatum exemplar est pro aeterno secutus. cum vero et mundus omnium genitorum pulcherrimus sit et eius auctor causarum omnium optimus, dubium non est, quin sempiternum sit secutus exemplum. sic igitur generatus, ad id est effectus, quod ratione et sapientia sola comprehendi potest et immutabile permanet. ex quo efficitur, ut necesse sit hunc mundum alicuius simulacrum esse. rationem vero originis naturaliter explicare difficillimum est. ideo de simulacro et exemplo sic distinguamus. Rationes utique cum iis rebus, quas exprimunt, cognationem quandam habere videntur. ergo cum de re firma et stabili et mente comprehendenda disseritur, stabiles similiter immutabilesque et, quam maxime fieri potest, inexpugnabiles rationes esse oportet. cum vero de ipsius rei firmae stabilisque simulacro disputatur, verisimiles rationes sufficiunt, quae ita se ad superiores habeant rationes, ut simulacrum ad exemplum. nempe quod est ad generationem essentia, id ad fidem est veritas. cum ergo, o Socrates, multa de Diis mundique generatione a multis dicta sint, ne mireris, obsecro, si

λογουμένους λόγους καὶ ἀπηκριβωμένους ἀποδοῦναι, μὴ θαυμάσῃς, ἀλλ' ἐὰν ἄρα μηδενὸς ἧττον παρεχώμεθα εἰκότας, ἀγαπᾶν χρή, μεμνημένον ὡς ὁ λέγων ἐγὼ ὑμεῖς τε οἱ κριταὶ φύσιν ἀνθρωπίνην ἔχομεν, ὥστε περὶ τούτων τὸν εἰκότα μῦθον ἀποδεχομένους πρέπει τούτου μηδὲν ἔτι πέρα ζητεῖν.

ΣΩ. Ἄριστα, ὦ Τίμαιε, παντάπασί τε ὡς κελεύεις ἀποδεκτέον. τὸ μὲν οὖν προοίμιον θαυμασίως ἀπεδεξάμεθά σου, τὸν δὲ δὴ νόμον ἡμῖν ἐφεξῆς πέραινε.

ΤΙ. Λέγωμεν δὴ δι' ἣν τινα αἰτίαν γένεσιν καὶ τὸ πᾶν τόδε ὁ ξυνιστὰς ξυνέστησεν. ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος· τούτου δ' ἐκτὸς ὢν πάντα ὅτι μάλιστα γενέσθαι ἐβουλήθη παραπλήσια ἑαυτῷ. ταύτην δὴ γενέσεως καὶ κόσμου μάλιστ' ἂν τις ἀρχὴν κυριωτάτην παρ' ἀνδρῶν φρονίμων ἀποδεχόμενος ὀρθότατα ἀποδέχοιτ' ἄν. βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατὸν παραλαβὼν οὐχ ἡσυχίαν ἄγον ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας, ἡγησάμενος ἐκεῖνο τούτου πάντως ἄμεινον. θέμις δὲ

rationes de iis probatissimas exactissimasque afferre non possim. satis enim factum putare debebis, si non minus probabiles, quam quivis alius, rationes attulerim. aequum est meminisse, et me, qui dissera m, et vos, qui iudicabitis, homines esse: ut, si probabilia dicentur, nihil ulterius requiratis. *So.* Scite loqueris, o Timaee. quare nos, ut iubes, agendum putamus. exordium quidem hoc orationis mirifice approbavimus. sed age, deinceps disputationem perage. *Ti.* Dicamus igitur, quam ob causam ille rerum auctor generationem et hoc universum constituit. bonus erat. bonus autem nulla unquam aliqua de re invidia tangitur. ergo cum livor ab eo alienissimus esset, omnia sibi, quantum fieri poterant, simillima fieri voluit. si quis hanc gignendi mundi causam praecipuam a prudentibus viris acceperit, rectissime profecto accipiet. itaque cum vellet Deus bona omnia fore, nihil vero, quoad natura pateretur, malum: quicquid erat, quod in cernendi sensum cadere posset, assumpsit, non tranquillum et quietum, sed temere agitatum et fluitans, idque ex inordinata iactatione redegit in ordinem; hoc enim iudicabat esse praestantius. fas autem neque erat

οὔτ' ἦν οὔτ' ἔστι τῷ ἀρίστῳ δρᾶν ἄλλο πλὴν τὸ κάλλιστον· λογισάμενος οὖν εὗρισκεν ἐκ τῶν κατὰ φύσιν ὁρατῶν οὐδὲν ἀνόητον τοῦ νοῦν ἔχοντος ὅλον ὅλου κάλλιον ἔσεσθαί ποτ' ἔργον, νοῦν δ' αὖ χωρὶς ψυχῆς ἀδύνατον παραγενέσθαι τῳ. διὰ δὴ τὸν λογισμὸν τόνδε νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι ξυνιστὰς τὸ πᾶν ξυνετεκταίνετο, ὅπως ὅτι κάλλιστον εἴη κατὰ φύσιν ἄριστόν τε ἔργον ἀπειργασμένος. οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα δεῖ λέγειν τόνδε τὸν κόσμιον ζῶον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γενέσθαι πρόνοιαν.

Τούτου δ' ὑπάρχοντος αὖ τὰ τούτοις ἑφεξῆς ἡμῖν λεκτέον, τίνι τῶν ζώων αὐτὸν εἰς ὁμοιότητα ὁ ξυνεστὰς ξυνέστησε. τῶν μὲν οὖν ἐν μέρους εἴδει πεφυκότων μηδενὶ καταξιώσωμεν· ἀτελεῖ γὰρ ἐοικὸς οὐδέν ποτ' ἂν γένοιτο καλόν· οὗ δ' ἔστι τἆλλα ζῶα καθ' ἓν καὶ κατὰ γένη μόρια, τούτῳ πάντων ὁμοιότατον αὐτὸν εἶναι τιθῶμεν. τὰ γὰρ δὴ νοητὰ ζῶα πάντα ἐκεῖνο ἐν ἑαυτῷ περιλαβὸν ἔχει, καθά περ ὅδε ὁ κόσμος ἡμᾶς ὅσα τε ἄλλα θρέμματα ξυνέστηκεν ὁρατά. τῷ γὰρ τῶν νοουμένων καλλίστῳ καὶ κατὰ πάντα τελέῳ μάλιστ' αὐτὸν ὁ

neque est, quicquam nisi pulcherrimum facere eum, qui est optimus. cum igitur excogitasset, invenit nihil eorum, quae secundum naturam aspectui subiecta sunt, si expers intelligentiae sit, intelligente alio totum toto pulchrius unquam fore; intellectum vero alicui sine anima dari non posse. hac ratione mentem quidem animae, animam vero corpori dedit, totumque ita mundum constituit, ut pulcherrimum natura opus optimumque foret. quocirca, sicut ratio nobis haec probabilis persuadet, dicendum est hunc mundum animal esse, idque intelligens, revera divina providentia constitutum. hoc posito, quod sequitur, videamus, ad cuius animalis similitudinem Deus mundum constituit. uni cuidam propriaeque animalium speciei similem fecisse ne arbitremur. nam si imperfecto animali similis esset factus, pulcher certe non esset. immo vero illius animalis cum simillimum esse ducamus, cuius animalia cetera, et singulatim et generatim, partes sunt. illud siquidem viventia omnia, quae sola mente percipiuntur, in se ipso complectitur: quemadmodum mundus hic nos et cetera, quae cernuntur, animalia continet. volens itaque Deus omnium, quae intelligi possent, pulcherrimo et undique absoluto mundum hunc simillimum

θεὸς ὁμοιῶσαι βουληθεὶς ζῷον ἓν ὁρατόν, πάντ' ὅσα αὐτοῦ κατὰ φύσιν ξυγγενῆ ζῶα ἐντὸς ἔχον ἑαυτοῦ, ξυνέστησε. Πότερον οὖν ὀρθῶς ἕνα οὐρανὸν προειρήκαμεν, ἢ πολλοὺς καὶ ἀπείρους λέγειν ἦν ὀρθότερον; ἕνα, εἴ περ κατὰ τὸ παράδειγμα δεδημιουργημένος ἔξαι. τὸ γὰρ περιέχον πάντα ὁπόσα νοητὰ ζῷα, μεθ' ἑτέρου δεύτερον οὐκ ἄν ποτ' εἴη· πάλιν γὰρ ἂν ἕτερον εἶναι τὸ περὶ ἐκείνω δέοι ζῷον, οὗ μέρος ἂν εἴτην ἐκείνω, καὶ οὐκ ἂν ἔτι ἐκείνοιν ἀλλ' ἐκείνῳ τῷ περιέχοντι τόδ' ἂν ἀφωμοιωμένον λέγοιτο ὀρθότερον. ἵνα οὖν τόδε κατὰ τὴν μόνωσιν ὅμοιον ᾖ τῷ παντελεῖ ζώῳ, διὰ ταῦτα οὔτε δύο οὔτ' ἀπείρους ἐποίησεν ὁ ποιῶν κόσμους, ἀλλ' εἷς ὅδε μονογενὴς οὐρανὸς γεγονὼς ἔστι τε καὶ ἔτ' ἔσται. Σωματοειδὲς δὲ δὴ καὶ ὁρατὸν ἁπτόν τε δεῖ τὸ γενόμενον εἶναι. χωρισθὲν δὲ πυρὸς οὐδὲν ἂν ποτε ὁρατὸν γένοιτο, οὐδὲ ἁπτὸν ἄνευ τινὸς στερεοῦ, στερεὸν δὲ οὐκ ἄνευ γῆς· ὅθεν ἐκ πυρὸς καὶ γῆς τὸ τοῦ παντὸς ἀρχόμενος ξυνιστάναι σῶμα ὁ θεὸς ἐποίει. δύο δὲ μόνω καλῶς ξυνίστασθαι τρίτου χωρὶς οὐ δυνατόν· δεσμὸν γὰρ ἐν μέσῳ δεῖ τινὰ ἀμφοῖν ξυναγωγὸν γίγνεσθαι. δεσμῶν δὲ κάλλιστος ὃς ἂν

reddere, animal unum ipsum effecit, aspectui subiectum, animalia cuncta naturae suae convenientia intra suum limitem continens. Proinde rectene mundum unum diximus? an rectius plures innumerabilesve dici oportuit? Unum profecto: si modo ad unius similitudinem sit formatus. quod enim viventia omnia, quaecunque intelliguntur, continet, socium alterum habere non potest. alioquin aliud animal, quod haec duo contineat, essè oporteret, cuius duo haec partes sint: nec illorum, sed tertii huius, mundus hic simulacrum rectius diceretur. ut igitur hic mundus esset animali absoluto simillimus, ex eo, quod solus atque unus esset, iccirco neque duo neque innumerabiles procreati sunt, sed unus mundus unigenitusque factus est et erit. Quoniam vero corporeus spectabilisque et tractabilis erat futurus, ac sine igni videri nihil potest, nihilque sine solido tangi, et solidum absque terra nihil: ideo in operis huius exordio Deus ignem primo terramque creavit. sed duo sola absque tertio quodam commode cohaerere non possunt, mediumque aliquod vinculum utrorumque desiderant. vinculorum vero id est aptissimum atque pulcherrimum, quod ex se

αὐτὸν καὶ τὰ ξυνδούμενα ὅτι μάλιστα ἓν ποιῇ. τοῦτο δὲ πεφυκὲν ἀναλογία κάλλιστα ἀποτελεῖν· ὁπόταν γὰρ ἀριθμῶν τριῶν εἴτε ὄγκων εἴτε δυνάμεων ὠντινωνοῦν ᾖ τὸ μέσον, ὅ τί περ τὸ πρῶτον πρὸς αὐτό, τοῦτο αὐτὸ πρὸς τὸ ἔσχατον, καὶ πάλιν αὖθις ὅ τι τὸ ἔσχατον πρὸς τὸ μέσον, τοῦτο τὸ μέσον πρὸς τὸ πρῶτον, τότε τὸ μέσον μὲν πρῶτον καὶ ἔσχατον γιγνόμενον, τὰ δὲ ἔσχατον καὶ τὸ πρῶτον αὖ μέσα ἀμφότερα, πάνθ' οὕτως ἐξ ἀνάγκης ταὐτὰ εἶναι ξυμβήσεται, ταὐτὰ δὲ γενόμενα ἀλλήλοις ἓν πάντα ἔσται. εἰ μὲν οὖν ἐπίπεδον μέν, βάθος δὲ μηδὲν ἔχον ἔδει γίγνεσθαι τὸ τοῦ παντὸς σῶμα, μία μεσότης ἂν ἐξήρκει τά τε μεθ' αὑτῆς ξυνδεῖν καὶ ἑαυτήν· νῦν δέ — στερεοειδῆ γὰρ αὐτὸν προσῆκεν εἶναι, τὰ δὲ στερεὰ μία μὲν οὐδέποτε, δύο δὲ ἀεὶ μεσότητες ξυναρμόττουσιν· οὕτω δὴ πυρός τε καὶ γῆς ὕδωρ ἀέρα τε ὁ θεὸς ἐν μέσῳ θείς, καὶ πρὸς ἄλληλα καθ' ὅσον ἦν δυνατὸν ἀνὰ τὸν αὐτὸν λόγον ἀπεργασάμενος, ὅ τί περ πῦρ πρὸς ἀέρα, τοῦτο ἀέρα πρὸς ὕδωρ, καὶ ὅ τι ἀὴρ πρὸς ὕδωρ, τοῦτο ὕδωρ πρὸς γῆν, ξυνέδησε καὶ ξυνεστήσατο οὐρανὸν ὁρατὸν καὶ ἁπτόν. καὶ διὰ ταῦτα ἔκ τε δὴ τούτων τοιούτων καὶ τὸν ἀριθμὸν τεττάρων τὸ τοῦ κόσμου σῶμα ἐγεννήθη

at ex iis, quae astringit, quam maxime unum efficit. hoc maxime proportio ratioque alternae comparationis assequitur. quando enim in tribus numeris aut molibus aut viribus medium ita se habet ad postremum, ut primum ad medium; vicissimque ut postremum cum medio, ita medium cum primo congruit: tunc, quod medium est, et primum fit et postremum; postremum quoque et primum media fiunt. ita necessitas cogit, ut omnia, quae sic devincta fuerint, eadem inter se sint. eadem vero cum facta sint, efficitur, ut omnia sint unum. quod si universi corpus latitudinem habere debuisset, nullam vero profunditatem, unum sane, tum ad se ipsum tum ad extrema vincienda, interiectum medium suffecisset. sed cum soliditatem mundus requireret, solida vero non uno, sed duobus semper mediis copulentur: inter ignem et terram Deus aërem aquamque locavit, eaque ita inter se invicem, quoad fieri poterat, comparavit, ut, quemadmodum ignis ad aërem, ita aër ad aquam, ut aër ad aquam, sic aqua ad terram congrue conferatur. qua ex coniunctione ita constitutus est mundus, ut aspici tangique possit. propterea ex

δι' ἀναλογίας ὁμολογῆσαν, φιλίαν τε ἔσχεν ἐκ τούτων, ὥστ' εἰς ταὐτὸν αὑτῷ ξυνελθὸν ἄλυτον ὑπό του ἄλλου πλὴν ὑπὸ τοῦ ξυνδήσαντος γενέσθαι. Τῶν δὲ δὴ τεττάρων ἓν ὅλον ἕκαστον εἴληφεν ἡ τοῦ κόσμου ξύστασις· ἐκ γὰρ πυρὸς παντὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς ξυνέστησεν αὐτὸν ὁ ξυνιστάς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολιπών, τάδε διανοηθείς, πρῶτον μὲν ἵνα ὅλον ὅτι μάλιστα ζῷον τέλεον ἐκ τελέων τῶν μερῶν εἴη, πρὸς δὲ τούτοις ἕν, ἄτε οὐχ ὑπολελειμμένων ἐξ ὧν ἄλλο τοιοῦτον γένοιτ' ἄν, ἔτι δὲ ἵνα ἀγήρων καὶ ἄνοσον ᾖ, κατανοῶν ὡς ἃ ξυνίστησι τὰ σώματα, ψυχρὰ καὶ θερμὰ καὶ πάνθ' ὅσα δυνάμεις ἰσχυρὰς ἔχει, περιιστάμενα ἔξωθεν καὶ προσπίπτοντα ἀκαίρως λύει καὶ νόσους γῆράς τε ἐπάγοντα φθίνειν ποιεῖ. διὰ δὴ τὴν αἰτίαν καὶ τὸν λογισμὸν τόνδε ἓν ὅλον ὅλων ἐξ ἁπάντων τέλεον καὶ ἀγήρων καὶ ἄνοσον αὐτὸν ἐτεκτήνατο. Σχῆμα δὲ ἔδωκεν αὐτῷ τὸ πρέπον καὶ τὸ ξυγγενές. τῷ δὲ τὰ πάντ' ἐν αὑτῷ ζῶα περιέχειν μέλλοντι ζῴῳ πρέπον ἂν εἴη σχῆμα τὸ περιειληφὸς ἐν αὑτῷ πάντα ὁπόσα σχήματα. διὸ καὶ σφαιροειδές, ἐκ μέσου πάντῃ

huiusmodi rebus numero quatuor mundi corpus conflatum est; ea connexum comparatione, qua dixi. ex quo se ipsum amicitia concordi complectitur, atque ita apte cohaeret, ut nequeat dissolvi ullo modo, nisi ab eodem, a quo est colligatum. quatuor igitur earum rerum quamlibet integram mundus accepit. ex omni quippe igni, aëre, terra ipsius faber ita ipsum composuit, ut nullam cuiusquam istorum partem aut vim extra relinqueret. idque ea ratione fecit, primum quidem, ut totum hoc animal quam maxime perfectum ex perfectis partibus esset: deinde, ut esset unum, cum nihil extra relictum fuerit, ex quo alterum generetur: postremo, ne quis ipsum morbus aut senectus attingeret. videbat enim eam esse naturam corporis, ut importuna caloris vel frigoris aliarumque rerum nimis vehementium accessione laedatur, et in morbos seniumque impulsum deficiat. quam ob causam rationemque unum totum ex omnibus totis et perfectis perfectum, morbi et senectutis expertem, Deus mundum constituit. cui et figuram maxime congruam et decoram dedit. animal quippe hoc, quod intra suum ambitum erat animalia omnia contenturum, eam figuram praecipue requirebat, in qua figurae omnes continerentur. quapropter

πρὸς τὰς τελευτὰς ἴσον ἀπέχον, κυκλοτερὲς αὐτὸ ἐτορνεύσατο, πάντων τελεώτατον ὁμοιότατόν τε αὐτὸ ἑαυτῷ σχημάτων, νομίσας μυρίῳ κάλλιον ὅμοιον ἀνομοίου. Λεῖον δὲ δὴ κύκλῳ πᾶν ἔξωθεν αὐτὸ ἀπηκριβοῦτο, πολλῶν χάριν. ὀμμάτων τε γὰρ ἐπεδεῖτο οὐδέν, ὁρατὸν γὰρ οὐδὲν ὑπελείπετο ἔξωθεν, οὐδ' ἀκοῆς, οὐδὲ γὰρ ἀκουστόν· πνεῦμά τε οὐκ ἦν περιεστὸς δεόμενον ἀναπνοῆς. οὐδ' αὖ τινὸς ἐπιδεὲς ἦν ὀργάνου σχεῖν, ᾧ τὴν μὲν εἰς ἑαυτὸ τροφὴν δέξοιτο, τὴν δὲ πρότερον ἐξικμασμένην ἀποπέμψοι πάλιν· ἀπῆει τε γὰρ οὐδὲν οὐδὲ προσῆειν αὐτῷ ποθέν· οὐδὲ γὰρ ἦν. αὐτὸ γὰρ ἑαυτῷ τροφὴν τὴν ἑαυτοῦ φθίσιν παρέχον καὶ πάντα ἐν ἑαυτῷ καὶ ὑφ' ἑαυτοῦ πάσχον καὶ δρῶν ἐκ τέχνης γέγονεν· ἠγήσατο γὰρ αὐτὸ ὁ ξυντιθεὶς αὔταρκες ὂν ἄμεινον ἔσεσθαι μᾶλλον ἢ προσδεὲς ἄλλων. χειρῶν δέ, αἷς οὔτε λαβεῖν οὔτε αὖ τινὰ ἀμύνασθαι χρεία τις ἦν, μάτην οὐκ ᾠήθετο δεῖν αὐτῷ προσάπτειν· οὐδὲ ποδῶν οὐδὲ ὅλως
54 τῆς περὶ τὴν βάσιν ὑπηρεσίας. κίνησιν γὰρ ἀπένειμεν αὐτῷ τὴν τοῦ σώματος οἰκείαν, τῶν ἑπτὰ τὴν περὶ νοῦν καὶ φρόνησιν μάλιστα οὖσαν. διὸ δὴ κατὰ ταὐτὰ

sphaericum fecit, in quo omnis extremitas paribus a medio radiis attingitur: quae quidem figura omnium perfectissima sibique ipsi simillima iudicatur. putabat enim simile dissimili multo pulchrius esse. Laevem praeterea hunc globum extrinsecus undique expolivit. nec immerito summa eum aequalitate tornavit. nec enim oculis indigebat, quia nihil extra, quod cerni posset, relictum erat: nec auribus, cum nihil superesset foris, quod audiretur. nec erant aëre circumfusa externa mundi, ut respirationem requireret: nec membris quidem talibus opus erat, per quae nova alimenta susciperet aut decocti cibi excrementa emitteret. nulla decessio fieri poterat, nulla accessio: nec enim erat, aut quo aut unde talia fierent. ipsum enim se consumptione et senio sui ipsius alit. ita nempe divina arte fabricatus est mundus, ut omnia in se ipso et a se ipso patiatur et agat. ratus enim est ille auctor mundum, si sibi ipse sufficiat, praestantiorem fore quam si aliorum amminiculis egeat. nec ei manus necessarias esse duxit, quia neque capiendum quicquam erat neque repellendum. nec pedibus aut aliis ad progressum statumve membris opus erat. motum enim illi congruum suo corpori tribuit, qui ex septem motibus unus ad mentem maxime et intelligentiam pertinet. ideoque cum illum per ea-

ἐν τῷ αὐτῷ καὶ ἐκ ἑαυτῷ περιαγαγὼν αὐτὸ ἐποίησε κύκλῳ κινεῖσθαι στρεφόμενον, τὰς δὲ ἓξ ἁπάσας κινήσεις ἀφεῖλε καὶ ἀπλανὲς ἀπεργάσατο ἐκείνων. ἐπὶ δὲ τὴν περίοδον ταύτην ἅτ' οὐδὲν ποδῶν δέον ἀσκελὲς καὶ ἄπουν αὐτὸ ἐγέννησεν.

Οὗτος δὴ πᾶς ὄντος ἀεὶ λογισμὸς θεοῦ περὶ τὸν ποτὲ ἐσόμενον θεὸν λογισθεὶς λεῖον καὶ ὁμαλὸν πανταχῇ τε ἐκ μέσου ἴσον καὶ ὅλον καὶ τέλεον ἐκ τελέων σωμάτων σῶμα ἐποίησε. ψυχὴν δὲ εἰς τὸ μέσον αὐτοῦ θεὶς διὰ παντός τε ἔτεινε καὶ ἔτι ἔξωθεν τὸ σῶμα αὐτῇ περιεκάλυψε ταύτῃ, καὶ κύκλῳ δὴ κύκλον στρεφόμενον οὐρανὸν ἕνα μόνον ἔρημον κατέσησε, δι' ἀρετὴν δὲ αὐτὸν αὑτῷ δυνάμενον ξυγγίγνεσθαι καὶ οὐδενὸς ἑτέρου προσδεόμενον, γνώριμον δὲ καὶ φίλον ἱκανῶς αὐτὸν αὑτῷ. διὰ πάντα δὴ ταῦτα εὐδαίμονα θεὸν αὐτὸν ἐγεννήσατο.

Τὴν δὲ δὴ ψυχὴν οὐχ ὡς νῦν ὑστέραν ἐπιχειροῦμεν λέγειν, οὕτως ἐμηχανήσατο καὶ ὁ θεὸς νεωτέραν· οὐ γὰρ ἂν ἄρχεσθαι πρεσβύτερον ὑπὸ νεωτέρου ξυνέρξας εἴασεν· ἀλλά πως ἡμεῖς πολὺ μετέχοντες τοῦ προστυχόντος τε καὶ εἰκῇ ταύτῃ πῃ καὶ λέγομεν, ὁ δὲ καὶ

dem et in eodem et in se ipso circumduxisset, effecit ut circulari conversione moveretur. sex autem reliquos motus separavit ab eo, et ab eorum errore et pervagatione penitus liberavit. ad hanc igitur conversionem, quae pedibus non egebat, crura pedesque non dedit. Cum haec igitur Deus ille, qui semper est, de aliquando futuro Deo cogitaret, laevem eum effecit aequalemque, et a medio ad summum undique parem, corpusque ex corporibus totis et perfectis totum atque perfectum. animam autem in eius medio collocavit perque totum tetendit; atque ea corpus ipsum etiam extrinsecus circumtexit, mundumque hunc unum et solum solitariumque et circularem volvi in circulum statuit, qui propter virtutem secum ipse facile cohaerere possit, nullius alterius indigens, satisque ipse sibi notus atque amicus. itaque omnibus his de causis mundum opifex eius beatum Deum effecit: sed animam haud ita, ut modo dicere coepimus, tum denique, cum corpus ei effecisset, procreavit. neque enim qui haec coniunxit, parere iuniori antiquius permisset. sed nos multa, utpote fortunae participes, inconsiderate et temere loquimur: ille vero tam generatione quam vir-

γενέσει καὶ ἀρετῇ προτέραν καὶ πρεσβυτέραν ψυχὴν σώματος, ὡς δεσπότιν καὶ ἄρξουσαν ἀρξομένου, ξυνεσήσατο ἐκ τῶνδέ τε καὶ τοιῶδε τρόπῳ. τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας καὶ τῆς αὖ περὶ τὰ σώματα γιγνομένης μεριστῆς, τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ ξυνεκεράσατο οὐσίας εἶδος, τῆς τε ταὐτοῦ φύσεως αὖ πέρι καὶ τῆς θατέρου, καὶ κατὰ ταῦτα ξυνέσησεν ἐν μέσῳ τοῦ τε ἀμεροῦς αὐτῶν καὶ τοῦ κατὰ τὰ σώματα μεριστοῦ. καὶ τρία λαβὼν αὐτὰ ὄντα συνεκεράσατο εἰς μίαν πάντα ἰδέαν, τὴν θατέρου φύσιν δύσμικτον οὖσαν εἰς ταὐτὸν ξυναρμόττων βίᾳ. μιγνὺς δὲ μετὰ τῆς οὐσίας καὶ ἐκ τριῶν ποιησάμενος ἓν πάλιν ὅλον τοῦτο μοίρας ὅσας προσῆκε διένειμεν, ἑκάστην δὲ ἔκ τε ταὐτοῦ καὶ θατέρου καὶ τῆς οὐσίας μεμιγμένην. ἤρχετο δὲ διαιρεῖν ὧδε. μίαν ἀφεῖλε τὸ πρῶτον ἀπὸ παντὸς μοῖραν, μετὰ δὲ ταύτην ἀφῄρει διπλασίαν ταύτης, τὴν δ' αὖ τρίτην ἡμιολίαν μὲν τῆς δευτέρας, τριπλασίαν δὲ τῆς πρώτης, τετάρτην δὲ τῆς δευτέρας διπλῆν, πέμπτην δὲ τριπλῆν τῆς τρίτης, τὴν δ' ἕκτην τῆς πρώτης ὀκταπλασίαν, ἑβδόμην δὲ ἑπτακαιεικοσαπλασίαν τῆς πρώτης. μετὰ δὲ ταῦτα ξυνεπληροῦτο τά

tute priorem antiquioremque animam corpore constituit, utpote quae obedienti corpori esset imperatura; ex his videlicet atque hoc pacto. Ex ea substantia, quae individua et semper eadem similisque est, et ex ea rursus, quae circa corpora dividua fit, tertiam substantiae speciem commiscuit mediam, quae rursus esset naturae ipsius eiusdem et naturae ipsius alterius particeps, eamque per haec mediam constituit inter individuam substantiam et eam, quae circa corpus dividitur. ea cum tria sumpsisset, in unam speciem omnia temperavit: ubi naturam eius, quod alterum diversumque vocamus, commixtioni repugnantem, cum eo, quod idem dicitur, vi quadam conciliavit. postquam vero duo illa cum substantia commiscuit et ex tribus unum fecit, rursus id totum in ea, quae decuit, membra partitus est, quorum quodlibet ex tribus, eodem, altero substantiaque constaret. fuit autem talis illa partitio: unam principio accepit ex universo portionem: secundam autem primae partis duplam: deinde tertiam, quae secundae sexquialtera esset, primae tripla: postea quartam secundae duplam: quintam deinceps tertiae triplam: sextam primae octuplam: postremo septimam, quae partibus sex et viginti primam

τε διπλάσια καὶ τριπλάσια διαζήματα, μοίρας ἔτι ἐκεῖ- 36
θεν ἀποτέμνων καὶ τιθεὶς εἰς τὸ μεταξὺ τούτων, ὥστε
ἐν ἑκάστῳ διαζήματι δύο εἶναι μεσότητας, τὴν μὲν ταὐ-
τῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχουσαν καὶ ὑπερεχο-
μένην, τὴν δ' ἴσῳ μὲν κατ' ἀριθμὸν ὑπερέχουσαν, ἴσῳ
δὲ ὑπερεχομένην. ἡμιολίων δὲ διαζάσεων καὶ ἐπιτρίτων
καὶ ἐπογδόων γενομένων ἐκ τούτων τῶν δεσμῶν ἐν ταῖς
πρόσθε διαζάσεσι, τῷ τοῦ ἐπογδόου διαζήματι τὰ ἐπί-
τριτα πάντα ξυνεπληροῦτο, λείπων αὐτῶν ἑκάστου μό-
ριον, τῆς τοῦ μορίου ταύτης διαζάσεως λειφθείσης ἀρι-
θμοῦ πρὸς ἀριθμὸν ἐχούσης τοὺς ὅρους ἓξ καὶ πεν-
τήκοντα καὶ διακοσίων πρὸς τρία καὶ τετταράκοντα καὶ
διακόσια. καὶ δὴ τὸ μιχθὲν ἐξ οὗ ταῦτα κατέτεμνεν,
οὕτως ἤδη πᾶν κατανηλώκει. ταύτην οὖν τὴν ξύγασιν
πᾶσαν διπλῆν κατὰ μῆκος σχίσας, μέσην πρὸς μέσην
ἑκατέραν ἀλλήλαις οἷον χῖ προσβαλὼν κατέκαμψεν εἰς
κύκλον, ξυνάψας αὐταῖς τε καὶ ἀλλήλαις ἐν τῷ κατα-
ντικρὺ τῆς προσβολῆς, καὶ τῇ κατὰ ταὐτὰ καὶ ἐν ταὐτῷ
περιαγομένῃ κινήσει περιξ αὐτὰς ἔλαβε, καὶ τὸν μὲν
ἔξω, τὸν δ' ἐντὸς ἐποιεῖτο τῶν κύκλων. τὴν μὲν οὖν

excederet. post haec dupla et tripla intervalla replevit, partes rursus ex toto desecans: quas intervallis ita locavit, ut bina essent in singulis media sive, ut ita dixerim, medietates: quarum una eadem parte excedit alterum extremorum, eadem ab altero superatur; altera medietas pari numero extremum unum superat, pari superatur ab altero. cum vero sexquialtera intervalla, sexquitertia et sexquioctava sumpsisset: ex his nexibus in primis spatiis, sexquioctavo intervallo sexquitertia omnia explebat, particula singulorum relicta. huius autem particulae intervallo assumpto, ea inde habebatur numeri ad numerum in terminis comparatio, quae est inter ducentos quinquaginta sex et ducentos quadraginta tres. iam vero commixtum illud, unde ista secernebat, totum huiusmodi partium sectione consumptum erat. tunc seriem hanc universam in longum secuit, et ex una duas fecit, mediamque mediae in speciem chi, Graecae literae, accommodavit: deinde in orbem torsit, quoad ita coirent inter se capita, ut lineae ipsae et secum et inter se invicem e regione intersectionis ipsius coniungerentur: atque eo motu, qui in eodem et similiter semper revolvitur, undique est eas circumplexus: et circulorum alterum exteriorem, interiorem alterum fecit. exteriorem quidem lationem eiusdem naturae, interiorem

ἔξω φορὰν ἐπεφήμισεν εἶναι τῆς ταὐτοῦ φύσεως, τὴν δ' ἐντὸς τῆς θατέρου. τὴν μὲν δὴ ταὐτοῦ κατὰ πλευρὰν ἐπὶ δεξιὰ περιήγαγε, τὴν δὲ θατέρου κατὰ διάμετρον ἐπ' ἀριστερά. κράτος δ' ἔδωκε τῇ ταὐτοῦ καὶ ὁμοίου περιφορᾷ· μίαν γὰρ αὐτὴν ἄσχιστον εἴασε, τὴν δ' ἐντὸς σχίσας ἑξαχῇ ἑπτὰ κύκλους ἀνίσους κατὰ τὴν τοῦ διπλασίου καὶ τριπλασίου διάστασιν ἑκάστην, οὐσῶν ἑκατέρων τριῶν, κατὰ τἀναντία μὲν ἀλλήλοις προσέταξεν ἰέναι τοὺς κύκλους, τάχει δὲ τρεῖς μὲν ὁμοίως, τοὺς δὲ τέτταρας ἀλλήλοις καὶ τοῖς τρισὶν ἀνομοίως, ἐν λόγῳ δὲ φερομένους.

Ἐπεὶ δὲ κατὰ νοῦν τῷ ξυνιστάντι πᾶσα ἡ τῆς ψυχῆς ξύστασις ἐγεγέννητο, μετὰ τοῦτο πᾶν τὸ σωματοειδὲς ἐντὸς αὐτῆς ἐτεκταίνετο καὶ μέσον μέσῃ ξυναγαγὼν προσήρμοττεν. ἡ δ' ἐκ μέσου πρὸς τὸν ἔσχατον οὐρανὸν πάντῃ διαπλακεῖσα κύκλῳ τε αὐτὸν ἔξωθεν περικαλύψασα, αὐτή τε ἐν αὑτῇ στρεφομένη, θείαν ἀρχὴν ἤρξατο ἀπαύστου καὶ ἔμφρονος βίου πρὸς τὸν ξύμπαντα χρόνον. καὶ τὸ μὲν δὴ σῶμα ὁρατὸν οὐρανοῦ γέγονεν, 37 αὐτὴ δὲ ἀόρατος μέν, λογισμοῦ δὲ μετέχουσα καὶ ἁρμονίας ψυχὴ τῶν νοητῶν ἀεί τε ὄντων, ὑπὸ τοῦ ἀρί-

vero alterius nominavit. atque illam, quae erat ipsius eiusdem natura cognata, in latus ad dexteram partem; eam vero, quae alterius, per diametrum ad laevam flexit: sed principatum dedit eiusdem ipsius similisque agitationi. eam namque solam indivisam reliquit. interiorem vero cum sexies divisisset, septemque orbes inaequales dupli et tripli intervallis effecisset, singula, cum tria sint utriusque, contrariis inter se cursibus orbes peragere iussit: et ex septem interioribus tres quidem pari celeritate, quatuor vero et ad se et ad reliquos tres celeritate quidem impari, debita tamen ratione converti. Postquam igitur secundum creatoris illius mentem tota animae constitutio absoluta fuit, mox omne corporeum intra ipsam effinxit, mediumque mediae accommodans apto modulamine copulavit. at illa a medio per omne usque ad coeli extrema se porrigens, eique extrinsecus circumfusa, seque in se ipsa convertens, ita sempiternae sapientisque vitae in universum tempus divinum dedit exordium. et corpus quidem coeli spectabile factum est; anima vero oculorum effugit obtuitum, rationis et modulaminis compos, ab auctore suo, omnium quae semper sunt et sub in-

ξον ἀρίξη γενομένη τῶν γεννηθέντων. ὅτε οὖν ἐκ τῆς ταὐτοῦ καὶ τῆς θατέρου φύσεως ἔκ τε οὐσίας τριῶν τούτων συγκραθεῖσα μοιρῶν, καὶ ἀνὰ λόγον μερισθεῖσα καὶ ξυνδεθεῖσα, αὐτή τε ἀνακυκλουμένη πρὸς αὐτήν, ὅταν οὐσίαν σκεδαζὴν ἔγοντός τινος ἐφάπτηται καὶ ὅταν ἀμέριζον, λέγει κινουμένη διὰ πάσης ἑαυτῆς, ὅτῳ τ' ἄν τι ταὐτὸν ᾖ καὶ ὅτου ἂν ἕτερον, πρὸς ὅ τί τε μάλιζα καὶ ὅπῃ καὶ ὅπως καὶ ὁπότε ξυμβαίνει κατὰ τὰ γιγνόμενά τε πρὸς ἕκαζον ἕκαζα εἶναι καὶ πάσχειν καὶ πρὸς τὰ κατὰ ταὐτὰ ἔχοντα ἀεί. λόγος δὲ ὁ κατὰ ταὐτὸν ἀληθὴς γιγνόμενος, περί τε θάτερον ὢν καὶ περὶ τὸ ταὐτόν, ἐν τῷ κινουμένῳ ὑφ' αὐτοῦ φερόμενος ἄνευ φθόγγου καὶ ἠχῆς, ὅταν μὲν περὶ τὸ αἰσθητὸν γίγνηται καὶ ὁ τοῦ θατέρου κύκλος ὀρθὸς ὢν εἰς πᾶσαν αὐτοῦ τὴν ψυχὴν διαγγείλῃ, δόξαι καὶ πίζεις γίγνονται βέβαιοι καὶ ἀληθεῖς· ὅταν δὲ αὖ περὶ τὸ λογιζικὸν ᾖ καὶ ὁ τοῦ ταὐτοῦ κύκλος εὔτροχος ὢν αὐτὰ μηνύσῃ, νοῦς ἐπιζήμη τε ἐξ ἀνάγκης ἀποτελεῖται. τούτῳ δὲ ἐν ᾧ τῶν ὄντων ἐγγίγνεσθον, ἄν ποτέ τις αὐτὸ ἄλλο πλὴν ψυχὴν εἴπῃ, πῶν μᾶλλον ἢ τἀληθὲς ἐρεῖ.

telligentiam cadunt optimo, ipsa quoque optima omnium, quae genita sunt, effecta. quoniam igitur ex tribus partibus, eodem scilicet et altero et essentia, conflata est, ratione proportionis distincta atque compacta, nec non in se ipsam orbe reflectitur: quotiens aliquid attingit, quod essentiam dividuam habet et quod individuam, in se ipsam omnino conversa, quid sit utrumque, discernit, et cui quid idem sit, a quo alterum et diversum, ad quid quaeque, et ubi, quomodo, et quando esse huiusmodi aliquid vel pati contingat, tam in his quae gignuntur, quam in illis quae semper sunt eadem. ratio porro ad ipsum, quod idem est, vergens atque veridica, tam circa alterum quam circa idem versata, et sine sono strepituque omni in eo, quod se ipso movetur, revoluta, quando ad sensibile aliquid se convertit, si tunc etiam alterius diversaeque naturae circulus recte per omnem ipsius animam rem ipsam nuntiet, opiniones fideique assensiones firmas verasquae producit, quando rursus circa rationale se versat, et ipsius, quod idem est, circulus se apte revolvens rem denuntiat, intellectus necessario scientiaque perficitur. haec quisquis in alio quam in anima fieri dixerit, a vero penitus aberrabit. Cum igitur

Ὡς δὲ κινηθὲν αὐτὸ καὶ ζῶν ἐνενόησε τῶν ἀϊδίων θεῶν γεγονὸς ἄγαλμα ὁ γεννήσας πατήρ, ἠγάσθη τε καὶ εὐφρανθεὶς ἔτι δὴ μᾶλλον ὅμοιον πρὸς τὸ παράδειγμα ἐπενόησεν ἀπεργάσασθαι. καθά περ οὖν αὐτὸ τυγχάνει ζῶον ἀΐδιον, καὶ τόδε τὸ πᾶν οὕτως εἰς δύναμιν ἐπεχείρησε τοιοῦτον ἀποτελεῖν. ἡ μὲν οὖν τοῦ ζώου φύσις ἐτύγχανεν οὖσα αἰώνιος. καὶ τοῦτο μὲν δὴ τῷ γεννητῷ παντελῶς προσάπτειν οὐκ ἦν δυνατόν· εἰκὼ δ' ἐπινοεῖ κινητόν τινα αἰῶνος ποιῆσαι, καὶ διακοσμῶν ἅμα οὐρανὸν ποιεῖ μένοντος αἰῶνος ἐν ἑνὶ κατ' ἀριθμὸν ἰοῦσαν αἰώνιον εἰκόνα, τοῦτον ὃν δὴ χρόνον ὠνομάκαμεν. ἡμέρας γὰρ καὶ νύκτας καὶ μῆνας καὶ ἐνιαυτοὺς οὐκ ὄντας πρὶν οὐρανὸν γενέσθαι, τότε ἅμα ἐκείνῳ ξυνιζαμένῳ τὴν γένεσιν αὐτῶν μηχανᾶται. ταῦτα δὲ πάντα μέρη χρόνου, καὶ τό τ' ἦν τό τ' ἔσται, χρόνου γεγονότα εἴδη, ᾧ δὴ φέροντες λανθάνομεν ἐπὶ τὴν ἀΐδιον οὐσίαν οὐκ 38 ὀρθῶς. λέγομεν γὰρ δὴ ὡς ἦν ἔστι τε καὶ ἔσται, τῇ δὲ τὸ ἔστι μόνον κατὰ τὸν ἀληθῆ λόγον προσήκει, τὸ δὲ ἦν τό τ' ἔσται περὶ τὴν ἐν χρόνῳ γένεσιν ἰοῦσαν πρέπει λέγεσθαι· κινήσεις γάρ ἐστον, τὸ δὲ ἀεὶ κατὰ ταὐτὰ ἔχον ἀκινήτως οὔτε πρεσβύτερον οὔτε νεώτερον προσήκει γί-

hoc a se factum sempiternorum Deorum simulacrum moveri et vivere pater ille, qui genuit, animadverteret, delectatus est opere, et hac ductus laetitia opus suum multo etiam magis primo illi exemplari simile reddere cogitavit. itaque quemadmodum illud sempiternum animal est, ita universum hoc pro viribus tale facere statuit. illius quidem animalis aeterna natura est: quod genito operi congruere omnino non potest. iccirco imaginem aevi mobilem effingere decrevit: ac dum coelum exornaret, fecit aeternitatis in unitate manentis aeternam quandam in numero fluentem imaginem, quam nos tempus vocamus. dies porro et noctes et menses et annos, qui ante coelum non erant, tunc nascente mundo nasci iussit: quae omnia temporis partes sunt. atqui erat et erit, quae nati temporis species sunt, non recte aeternae substantiae assignamus. dicimus enim de illa, est, erat et erit. sed illi re vera solum esse competit. fuisse vero et fore deinceps ad generationem tempore procedentem referre debemus. motus enim quidam duo illa sunt. aeterna autem substantia cum eadem semper et immobilis perseveret, neque senior se ipsa fit unquam neque iunior, neque

γνεσθαι διὰ χρόνου οὐδὲ γενέσθαι ποτὲ οὐδὲ γεγονέναι νῦν οὐδ' εἰσαῦθις ἔσεσθαι, τὸ παράπαν τε οὐδὲν ὅσα γένεσις τοῖς ἐν αἰσθήσει φερομένοις προσῆψεν, ἀλλὰ χρόνου ταῦτα αἰῶνά τε μιμουμένου καὶ κατ' ἀριθμὸν κυκλουμένου γέγονεν εἴδη. καὶ πρὸς τούτοις ἔτι τὰ τοιάδε, τό τε γεγονὸς εἶναι γεγονὸς καὶ τὸ γιγνόμενον εἶναι γιγνόμενον, ἔτι δὲ τὸ γενησόμενον εἶναι γενησόμενον καὶ τὸ μὴ ὂν μὴ ὂν εἶναι, ὧν οὐδὲν ἀκριβὲς λέγομεν. περὶ μὲν οὖν τούτων τάχ' ἂν οὐκ εἴη καιρὸς πρέπων ἐν τῷ παρόντι διακριβολογεῖσθαι, χρόνος δ' οὖν μετ' οὐρανοῦ γέγονεν, ἵνα ἅμα γεννηθέντες ἅμα καὶ λυθῶσιν, ἄν ποτε λύσις τις αὐτῶν γίγνηται, καὶ κατὰ τὸ παράδειγμα τῆς αἰωνίας φύσεως, ἵν' ὡς ὁμοιότατος αὐτῷ κατὰ δύναμιν ᾖ· τὸ μὲν γὰρ δὴ παράδειγμα πάντα αἰῶνά ἐστιν ὄν, ὁ δ' οὖ διὰ τέλους τὸν ἅπαντα χρόνον γεγονώς τε καὶ ὢν καὶ ἐσόμενος. ἐξ οὖν λόγου καὶ διανοίας θεοῦ τοιαύτης πρὸς χρόνου γένεσιν, ἵνα γεννηθῇ χρόνος, ἥλιος καὶ σελήνη καὶ πέντε ἄλλα ἄστρα, ἐπίκλην ἔχοντα πλανητά, εἰς διορισμὸν καὶ φυλακὴν ἀριθμῶν χρόνου γέγονε. σώματα δὲ αὐτῶν ἑκάστων ποιήσας ὁ θεὸς ἔθηκεν εἰς τὰς περιφορὰς ἃς ἡ θατέρου περίοδος ἦειν, ἑπτὰ οὔσας ὄντα ἑπτά, σελήνην

fuit hactenus, neque erit in posterum, neque recipit eorum quicquam, quibus res corporeae mobilesque ex ipsa generationis conditione subiiciuntur. nempe haec omnia temporis imitantis aevum seque numero revolventis species sunt. saepe etiam dicimus, quod factum est, esse factum: quod fit, in generatione esse: quod fiet, esse faciendum: et quod non est, non esse. quorum nihil recte et exacta ratione dicimus. sed exquisitam de iis discussionem praesens disputatio non requirit. tempus vero una cum coelo factum est, ut una orta una etiam dissolvantur, si qua his dissolutio unquam contigerit: et ad exemplar aeternae naturae ideo factum est, ut mundus hic illi praestantiori, quoad potest, simillimus sit. ille enim mundus, huius exemplar, omne per aevum est: hic vero perpetuo per omne tempus fuit fitque solus et erit. hac ratione consilioque Dei, tempus creare volentis, sol et luna et aliae quinque stellae, quae vocantur erraticae, factae sunt, quo temporis numerus distinguatur atque observetur. cum vero stellarum huiusmodi corpora septem fecisset Deus, septem orbibus, qui alterius ipsius diversaeque naturae circuitu volvuntur, adhibuit. lunam in primo

μὲν εἰς τὸν περὶ γῆν πρῶτον, ἥλιον δ' εἰς τὸν δεύτερον ὑπὲρ γῆς, ἑωσφόρον δὲ καὶ τὸν ἱερὸν Ἑρμοῦ λεγόμενον εἰς τοὺς τάχει μὲν ἰσόδρομον ἡλίῳ κύκλον ἰόντας, τὴν δ' ἐναντίαν εἰληχότας αὐτῷ δύναμιν· ὅθεν καταλαμβάνουσί τε καὶ καταλαμβάνονται κατὰ ταὐτὰ ὑπ' ἀλλήλων ἥλιός τε καὶ ὁ τοῦ Ἑρμοῦ καὶ ἑωσφόρος. τὰ δ' ἄλλα οἱ δὴ καὶ δι' ἃς αἰτίας ἱδρύσατο, εἴ τις ἐπεξίοι πάσας, ὁ λόγος πάρεργος ὢν πλέον ἂν ἔργον ὧν ἕνεκα λέγεται παράσχοι. ταῦτα μὲν οὖν ἴσως τάχ' ἂν κατὰ σχολὴν ὕστερον τῆς ἀξίας τύχοι διηγήσεως· ἐπειδὴ δὲ οὖν εἰς τὴν ἑαυτῷ πρέπουσαν ἕκαστον ἀφίκετο φορὰν τῶν ὅσα ἔδει ξυναπεργάζεσθαι χρόνον, δεσμοῖς τε ἐμψύχοις σώματα δεθέντα ζῷα ἐγεννήθη τό τε προσ-
39 ταχθὲν ἔμαθε, κατὰ δὴ τὴν θατέρου φορὰν πλαγίαν οὖσαν διὰ τῆς ταὐτοῦ φορᾶς ἰούσης τε καὶ κρατουμένης, τὸ μὲν μείζω αὐτῶν, τὸ δὲ ἐλάττω κύκλον ἰόν, θᾶττον μὲν τὰ τὸν ἐλάττω, τὰ δὲ τὸν μείζω βραδύτερον περιήειν. τῇ δὴ ταὐτοῦ φορᾷ τὰ τάχιστα περιόντα ὑπὸ τῶν βραδύτερον ἰόντων ἐφαίνετο καταλαμβάνοντα καταλαμβάνεσθαι. πάντας γὰρ τοὺς κύκλους αὐτῶν στρέφουσα ἕλικα, διὰ τὸ δίχῃ κατὰ τὰ ἐναντία ἅμα προϊ-

supra terram circuitu posuit: in secundo solem: Luciferi deinde globum et Mercurii sacrum, ut dicitur, orbem circulis affixit soli velocitate aequalibus, potentia vero illi contrariis. quo fit, ut apprehendant se invicem et a se vicissim apprehendantur similiter hae stellae, Sol, Lucifer et Mercurius. ceterarum stellarum ordines progressusque et rationes si quis omnino percurrere velit, plus erit opere ipso, quod operis gratia sumetur. haec enim forte a nobis pro dignitate rei alias, si dabitur otium, tractabuntur. postquam vero singula, quae ad seriem temporis pertinebant, convenientem sibi progressum sortita sunt, corporaque nexibus compacta vitalibus animalia evaserunt, praescriptum tenorem et institutum ordinem tenuerunt: ut videlicet secundum alterius diversaeque naturae obliquam agitationem eiusdem ipsius agitationi subiectam, orbes illi partim ampliorem, partim angustiorem circulum peragant: et quae minorem, velocius; quae maiorem, tardius revolvantur. secundum vero ipsam eiusdem naturae lationem, quae velocissime percurrunt, comprehendentia a tardioribus comprehendi videntur. omnes quidem eorum circulos superna illa vertigo varia circuitione

ἑναι, τὸ βραδύτατα ἀπιὸν ἀφ' αὑτῆς οὔσης ταχίστης ἐγγύτατα ἀπέφαινεν. ἵνα δὲ εἴη μέτρον ἐναργές τι πρὸς ἄλληλα βραδυτῆτι καὶ τάχει καὶ τὰ περὶ τὰς ὀκτὼ φορὰς πορεύοιτο, φῶς ὁ θεὸς ἀνῆψεν ἐν τῇ πρὸς γῆν δευτέρᾳ τῶν περιόδων, ὃ δὴ νῦν κεκλήκαμεν ἥλιον, ἵνα ὅτι μάλιστα εἰς ἅπαντα φαίνοι τὸν οὐρανὸν μετάσχοι τε ἀριθμοῦ τὰ ζῶα, ὅσοις ἦν προσῆκον, μαθόντα παρὰ τῆς ταὐτοῦ καὶ ὁμοίου περιφορᾶς. νυξ μὲν οὖν ἡμέρα τε γέγονεν οὕτω καὶ διὰ ταῦτα, ἡ τῆς μιᾶς καὶ φρονιμωτάτης κυκλήσεως περίοδος· μεις δὲ ἐπειδὰν σελήνη περιελθοῦσα τὸν ἑαυτῆς κύκλον ἥλιον ἐπικαταλάβῃ, ἐνιαυτὸς δὲ ὁπόταν ἥλιος τὸν ἑαυτοῦ περιέλθῃ κύκλον. τῶν δ' ἄλλων τὰς περιόδους οὐκ ἐννενοηκότες ἄνθρωποι, πλὴν ὀλίγοι τῶν πολλῶν, οὔτε ὀνομάζουσιν οὔτε πρὸς ἄλληλα ξυμμετροῦνται σκοποῦντες ἀριθμοῖς, ὥστε ὡς ἔπος εἰπεῖν οὐκ ἴσασι χρόνον ὄντα τὰς τούτων πλάνας, πλήθει μὲν ἀμηχάνῳ χρωμένας, πεποικιλμένας δὲ θαυμαστῶς. ἔστι δ' ὅμως οὐδὲν ἧττον κατανοῆσαι δυνατὸν ὡς ὅ γε τέλεος ἀριθμὸς χρόνου τὸν τέλεον ἐνιαυτὸν πληροῖ τότε, ὅταν ἁπασῶν τῶν ὀκτὼ περιόδων τὰ πρὸς ἄλληλα ξυμπεραν-

revolvens, propterea quod isti duobus simul contrariis motibus agitantur, id, quod tardissime ab ipsa, quae velocissima est, recedit, proximum declaravit. ut autem esset quaedam velocitatis illorum tarditatisque mensura certissima, omnimque octo motuum perspicua esset chorea: accendit lucem clarissimam Deus in secundo a terra circulo, quam modo Solem vocamus, cuius splendore coelum omne illustraretur, et animantes omnes, quaecunque natura numeri capaces sunt, ipsius participes efficerentur, usum numerandi discentes ab illo eiusdem similisque naturae circuitu. hinc quoque noctis dieique varietas orta est. propter haec etiam unius sapientissimique circuitus revolutio. mensis vero proventus, quando luna lustrato circulo suo solem consecuta est: anni, ubi sol suum peragravit orbem. ceterorum autem siderum ambitus ignorantes homines, praeter admodum paucos, neque nomine certo illos appellant, neque numeris inter se distinctis commetiuntur. itaque, ut ita dixerim, nesciunt horum pervagationes id ipsum esse, quod rite dicitur tempus, multitudine infinita et varietate mirabili praeditas. est tamen intellectu facile, quod perfectus numerus temporis perfectum tunc demum compleat annum, cum octo ambitus, confectis suis cursibus, quos orbis ille semper idem si-

θέντα τάχη σχῇ κεφαλὴν τῷ τοῦ ταὐτοῦ καὶ ὁμοίως ἰόντος ἀναμετρηθέντα κύκλῳ. κατὰ ταῦτα δὴ καὶ τούτων ἕνεκα ἐγεννήθη τῶν ἄϛρων ὅσα δι' οὐρανοῦ πορευόμενα ἔσχε τροπάς, ἵνα τόδ' ὡς ὁμοιότατον ᾖ τῷ τελέῳ καὶ νοητῷ ζώῳ πρὸς τὴν τῆς διαιωνίας μίμησιν φύσεως.

Καὶ τὰ μὲν ἄλλα ἤδη μέχρι χρόνου γενέσεως ἀπείργαϛο εἰς ὁμοιότητα ᾧ περ ἀπεικάζετο, τῷ δὲ μήπω τὰ πάντα ζῶα ἐντὸς αὑτοῦ γεγενημένα περιειληφέναι, ταύτῃ ἔτι εἶχεν ἀνομοίως. τοῦτο δὴ τὸ κατάλοιπον ἀπειργάζετο αὐτοῦ πρὸς τὴν τοῦ παραδείγματος ἀποτυπούμενος φύσιν. ᾗ περ οὖν νοῦς ἐνούσας ἰδέας τῷ ὃ ἔϛι ζῶον, οἷαί τε ἔνεισι καὶ ὅσαι, καθορᾷ, τοιαύτας καὶ τοσαύτας διενοήθη δεῖν καὶ τόδε σχεῖν. εἰσὶ δὲ τέτταρες, μία μὲν οὐράνιον θεῶν γένος, ἄλλη δὲ πτηνὸν καὶ ἀεροπόρον, τρίτη δὲ ἔνυδρον εἶδος, πεζὸν δὲ καὶ χερσαῖον τέταρτον. τοῦ μὲν οὖν θείου τὴν πλείϛην ἰδέαν ἐκ πυρὸς ἀπήρξατο, ὅπως ὅτι λαμπρότατον ἰδεῖν τε κάλλιϛον εἴη, τῷ δὲ παντὶ προϛεικάζων εὔκυκλον ἐποίει, τίθησί τε εἰς τὴν τοῦ κρατίϛου φρόνησιν ἐκείνῳ ξυνεπόμενον, νείμας περὶ πάντα κύκλῳ τὸν οὐρανόν, κόσμον ἀληθι-

militerque procedens metitur, ad idem se caput retulerint. has ob causas nata sunt ea astra, quae per coelum meantia conversiones habent, ut hoc omne animal, quod videmus, esset perfectissimo animali illi, quod mente perspicitur, harmoniae imitatione simillimum. Iam vero cetera usque ad temporis ortum ad imaginem propositi exemplaris effinxerat. sed quia mundus hic nondum animalia omnia intra suum ambitum continebat, ex ea parte deficiebat ad illud exemplar imaginis huius similitudo. hoc igitur, quod deerat, superni illius exemplo Deus explebat. quot igitur et quales mens ideas in eo, quod est animal, inspicit: totidem et tales hoc mundo contineri oportere excogitavit. sunt autem quatuor. una quidem Deorum coelestium genus continet, alia volatile et aërivagum, tertia aquae liquoribus accommodatum, quarta terrenorum animantium genus. divini quidem animalis speciem ex igni maxima ex parte componebat, ut splendidissimum esset visuque pulcherrimum. cumque illud universi figurae simile vellet fore, rotundum fecit; posuitque in ipsius optimi sapientia, atque illud sequi iussit; circumque omne coelum distribuit, ut verus illi ubi-

νὸν αὐτῷ πεποικιλμένον εἶναι καθ' ὅλον. κινήσεις δὲ δύο προσῆψεν ἑκάστῳ, τὴν μὲν ἐν ταὐτῷ κατὰ ταὐτὰ περὶ τῶν αὐτῶν ἀεὶ τὰ αὐτὰ ἑαυτῷ διανοουμένῳ, τὴν δὲ εἰς τὸ πρόσθεν ὑπὸ τῆς ταὐτοῦ καὶ ὁμοίου περιφορᾶς κρατουμένῳ· τὰς δὲ πέντε κινήσεις ἀκίνητον καὶ ἐσός, ἵν' ὅτι μάλιστα αὐτῶν ἕκαστον γένοιτο ὡς ἄριστον. ἐξ ἧς δὴ τῆς αἰτίας γέγονεν ὅσ' ἀπλανῆ τῶν ἄστρων ζῶα θεῖα ὄντα καὶ ἀίδια καὶ κατὰ ταὐτὰ ἐν ταὐτῷ στρεφόμενα ἀεὶ μένει· τὰ δὲ τρεπόμενα καὶ πλάνην τοιαύτην ἴσχοντα, καθά περ ἐν τοῖς πρόσθεν ἐρρήθη, κατ' ἐκεῖνα γένονε. γῆν δὲ τροφὸν μὲν ἡμετέραν, εἱλλομένην δὲ περὶ τὸν διὰ παντὸς πόλον τεταμένον φύλακα καὶ δημιουργὸν νυκτός τε καὶ ἡμέρας ἐμηχανήσατο, πρώτην καὶ πρεσβυτάτην θεῶν ὅσοι ἐντὸς οὐρανοῦ γεγόνασι. χορείας δὲ τούτων αὐτῶν καὶ παραβολὰς ἀλλήλων, καὶ περὶ τὰς τῶν κύκλων πρὸς ἑαυτοὺς ἐπανακυκλήσεις καὶ προσχωρήσεις, ἔν τε ταῖς ξυνάψεσιν ὁποῖοι τῶν θεῶν κατ' ἀλλήλους γιγνόμενοι καὶ ὅσοι καταντικρύ, μεθ' οὕς τινάς τε ἐπίπροσθεν ἀλλήλοις ἡμῖν τε κατὰ χρόνους οὕς τινας ἕκαστοι κατακαλύπτονται καὶ πάλιν ἀναφαινόμενοι φόβους καὶ σημεῖα τῶν μετὰ

que ex hac varietate ornatus accederet. dedit autem divinis duo genera motus: alterum, quo in eodem semper et similiter volverentur, cum de eisdem semper secum ipsis eadem cogitent: alterum, quo in anteriorem partem ab eiusdem ipsius similisque vertigine ducerentur. reliquos autem quinque motus ab iis esse voluit alienos, ut unumquodque illorum, quoad fieri potest, optimum esset. qua ex causa facta sunt astra illa erroris expertia, quae divina animalia sunt: propterea quae in eodem semper circuitu perseverant. quae vero vaga sunt et mutabili ratione labuntur, ita deinceps, ut supra diximus, disposita sunt. terram autem, altricem nostram, circa polum per universum extensum alligatam, dici noctisque effectricem et custodem esse voluit, nec non primam antiquissimamque Deorum omnium, qui intra coelum sunt geniti. horum vero Deorum choreas, et inter ipsos concursiones, circulorumque ipsorum revolutiones varias et accessus, quales praeterea fiant coniuncti sibi invicem vel oppositi, sive ante inter se sive retro, quidve ex illorum serie nobis proveniat, quibus temporibus et quo pacto delitescant singuli vel emergant, quidve portendant, quando

ταῦτα γενησομένων τοῖς δυναμένοις λογίζεσθαι πέμπουσι, τὸ λέγειν ἄνευ διόψεως τούτων αὖ τῶν μιμημάτων μάταιος ἂν εἴη πόνος, ἀλλὰ ταῦτά τε ἱκανῶς ἡμῖν ταύτῃ καὶ τὰ περὶ θεῶν ὁρατῶν καὶ γεννητῶν εἰρημένα φύσεως ἐχέτω τέλος.

Περὶ δὲ τῶν ἄλλων δαιμόνων εἰπεῖν καὶ γνῶναι τὴν γένεσιν μείζον ἢ καθ' ἡμᾶς, πειστέον δὲ τοῖς εἰρηκόσιν ἔμπροσθεν, ἐκγόνοις μὲν θεῶν οὖσιν, ὡς ἔφασαν, σαφῶς δέ που τούς γε αὑτῶν προγόνους εἰδόσιν· ἀδύνατον οὖν θεῶν παισὶν ἀπιστεῖν, καί περ ἄνευ τε εἰκότων καὶ ἀναγκαίων ἀποδείξεων λέγουσιν, ἀλλ' ὡς οἰκεῖα φάσκουσιν ἀπαγγέλλειν ἑπομένους τῷ νόμῳ πιστευτέον. οὕτως οὖν κατ' ἐκείνους ἡμῖν ἡ γένεσις περὶ τούτων τῶν θεῶν ἐχέτω καὶ λεγέσθω. Γῆς τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανός τε καὶ Τηθὺς ἐγενέσθην, τούτων δὲ Φόρκυς Κρόνος τε καὶ Ῥέα καὶ ὅσοι μετὰ τούτων, ἐκ δὲ Κρόνου καὶ Ῥέας Ζεὺς Ἥρα τε καὶ πάντες ὅσους ἴσμεν πάντας ἀδελφοὺς λεγομένους αὐτῶν, ἔτι τε τούτων ἄλλους ἐκγόνους.

Ἐπεὶ δ' οὖν πάντες ὅσοι τε περιπολοῦσι φανερῶς καὶ ὅσοι φαίνονται καθ' ὅσον ἂν ἐθέλωσι θεοὶ γένεσιν

orientes hominibus harum rerum peritis timorem incutiunt, haec, inquam, omnia absque diligenti simulacrorum ipsorum inspectione explicare velle inanis est labor. sed de his satis: et iam, quae de natura Deorum illorum, qui tales geniti sunt, ut cernantur, dicenda erant, finem habeant. Ceterorum vero, qui daemones appellantur, et cognoscere et enuntiare ortum maius est opus, quam ferre nostrum valeat ingenium. priscis itaque viris hac in re credendum est, qui Diis geniti, ut ipsi dicebant, parentes suos optime noverant. impossibile sane Deorum filiis fidem non habere, licet nec necessariis nec verisimilibus rationibus eorum oratio confirmetur. verum quia de domesticis rebus loqui se affirmabant, nos, legem secuti, fidem praestabimus. sic igitur, ut ab his est traditum, horum Deorum genetio habeatur atque dicatur. Terrae Coelique filii Oceanus et Tethys fuisse traduntur: ab iis Phorcyn, Saturnus et Rhea geniti, et reliqui horum fratres. ex Saturno et Rhea Iupiter et Iuno et reliqui, quos eorum fratres quotidie memorari audimus, nati dicuntur. ex his deinceps, ut traditur, alii. Postquam orti sunt omnes, et qui coelo volvuntur Dii, nostris oculis manifesti, et qui eatenus nobis conspicui fiunt, quatenus ipsi volunt,

ἔσχον, λέγει πρὸς αὐτοὺς ὁ τόδε τὸ πᾶν γεννήσας τάδε· Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἃ δι' ἐμοῦ γενόμενα ἄλυτα ἐμοῦ γ' ἐθέλοντος. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν, τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ. δι' ἃ καὶ ἐπεί περ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐξὲ οὐδ' ἄλυτοι τὸ πάμπαν, οὔ τι μὲν δὴ λυθήσεσθέ γε οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων οἷς ὅτ' ἐγίγνεσθε ξυνεδεῖσθε. νῦν οὖν ὃ λέγω πρὸς ὑμᾶς ἐνδεικνύμενος, μάθετε. θνητὰ ἔτι γένη λοιπὰ τρί' ἀγέννητα. τούτων οὖν μὴ γενομένων οὐρανὸς ἀτελὴς ἔσται· τὰ γὰρ ἅπαντα ἐν αὑτῷ γένη ζώων οὐχ ἕξει, δεῖ δέ, εἰ μέλλει τέλεος ἱκανῶς εἶναι. δι' ἐμοῦ δὲ ταῦτα γενόμενα καὶ βίου μετασχόντα θεοῖς ἰσάζοιτ' ἄν. ἵν' οὖν θνητά τε ᾖ τό τε πᾶν τόδε ὄντως ἅπαν ᾖ, τρέπεσθε κατὰ φύσιν ὑμεῖς ἐπὶ τὴν τῶν ζώων δημιουργίαν, μιμούμενοι τὴν ἐμὴν δύναμιν περὶ τὴν ὑμετέραν γένεσιν. καὶ καθ' ὅσον μὲν αὐτῶν ἀθανάτοις ὁμώνυμον εἶναι προσήκει, θεῖον λεγόμενον ἡγεμονοῦν τ' ἐν αὐτοῖς τῶν ἀεὶ δίκῃ καὶ ὑμῖν ἐθελόντων ἕπεσθαι,

tum ad eos mundi genitor ita fatur: Dii deorum, quorum opifex ego et pater sum, haec attendite. quae a me facta sunt, me ita volente indissolubilia sunt. omne siquidem, quod vinctum est, solvi potest; sed mali est, quod pulchre compositum est seque habet bene, velle dissolvere. quapropter, quia generati estis, immortales quidem et indissolubiles omnino non estis. nec tamen unquam dissolvemini, nec mortis fatum subibitis. nam voluntas mea maius praestantiusque vobis est vinculum ad vitae custodiam quam nexus illi, quibus estis tunc, cum gignebamini, colligati. sed nunc iam, quid iubeam, cognoscite. tria adhuc genera mortalium nobis generanda restant: absque horum generatione coelum imperfectum erit. omnia enim animantium genera ambitu suo non continebit. contineat autem oportet, si est mundus omnino perfectus futurus. haec vero si a me fiant solo vitaque donentur, Diis adaequabuntur. quapropter accedite vos secundum naturam ad animalium generationem, ita ut vim imitemini meam, qua in ortu vestro sum usus. atque eius quidem animalis, quod in ipsis tale futurum est, ut cum immortalibus appellatione conveniat, divinumque vocetur, principatumque teneat, et iustitiam simul ac

σπείρας· καὶ ὑπαρξάμενος ἐγὼ παραδώσω· τὸ δὲ λοιπὸν ὑμεῖς, ἀθανάτῳ θνητὸν προσυφαίνοντες, ἀπεργάζεσθε ζῶα καὶ γεννᾶτε τροφήν τε διδόντες αὐξάνετε καὶ φθίνοντα πάλιν δέχεσθε.

Ταῦτ' εἶπε, καὶ πάλιν ἐπὶ τὸν πρότερον κρατῆρα, ἐν ᾧ τὴν τοῦ παντὸς ψυχὴν κεραννὺς ἔμισγε, τὰ τῶν πρόσθεν ὑπόλοιπα κατεχεῖτο μίσγων τρόπον μέν τινα τὸν αὐτόν, ἀκήρατα δ' οὐκέτι κατὰ ταὐτὰ ὡσαύτως, ἀλλὰ δεύτερα καὶ τρίτα. ξυχήσας δὲ τὸ πᾶν διεῖλε ψυχὰς ἰσαρίθμους τοῖς ἄστροις ἔνειμέ θ' ἑκάστην πρὸς ἕκαστον, καὶ ἐμβιβάσας ὡς ἐς ὄχημα τὴν τοῦ παντὸς φύσιν ἔδειξε, νόμους τε τοὺς εἱμαρμένους εἶπεν αὐταῖς, ὅτι γένεσις πρώτη μὲν ἔσοιτο τεταγμένη μία πᾶσιν, ἵνα μή τις ἐλαττοῖτο ὑπ' αὐτοῦ, δέοι δὲ σπαρείσας αὐτὰς εἰς τὰ προσήκοντα ἑκάστοις ἕκαστα ὄργανα χρόνου φῦναι ζώων τὸ θεοσεβέστατον, διπλῆς δὲ οὔσης τῆς ἀνθρωπίνης φύσεως τὸ κρεῖττον τοιοῦτον εἴη γένος, ὃ καὶ ἔπειτα κεκλήσοιτο ἀνήρ. ὁπότε δὴ σώμασιν ἐμφυτευθεῖεν ἐξ ἀνάγκης, καὶ τὸ μὲν προσίοι, τὸ δ' ἀπίοι τοῦ σώματος αὐτῶν, πρῶτον μὲν αἴσθησιν ἀναγ-

vos ultro colat, ego vobis semen et initium tradam: vos cetera exsequi par est, ut immortali naturae mortalem attexentes, faciatis generetisque animalia, subministrantesque alimenta augeatis, et consumpta rursum recipiatis. Haec fatus in eodem rursus cratere, in quo mundi totius animam permiscens temperaverat, superioris temperationis reliquias miscendo perfudit, modo quodam ferme eodem. non tamen perfectas similiter, sed et secundo et tertio gradu a primis deficientes. denique cum universum constituisset, astris parem numerum distribuit animarum, singulis singulas adhibens, eisque tanquam vehiculo impositis monstravit universi naturam, ac leges fatales edixit; osteudens quidem primam omnibus generationem ordine quodam unam fore, ne quis ab eo minus aliquid sortiatur. satis autem et quasi sparsis animis per singula singulis convenientia temporum instrumenta, fore ut animal nasceretur, quod omnium animalium maxime esset divino cultui deditum. esse autem naturam hominis geminam: cuius id genus fore praestantius, quod viri nomine sit appellandum. cum vero animae corporibus necessitate quadam insertae fuerint, et corporibus earum accesserit aliquid vicissimque abscesserit, primum utique necessario

καῖον εἴη μίαν πᾶσιν ἐκ βιαίων παθημάτων ξύμφυτον γίγνεσθαι, δεύτερον δὲ ἡδονῇ καὶ λύπῃ μεμιγμένον ἔρωτα, πρὸς δὲ τούτοις φόβον καὶ θυμὸν ὅσα τε ἑπόμενα αὐτοῖς καὶ ὁπόσα ἐναντίως πέφυκε διεξηκότα· ὧν εἰ μὲν κρατήσειαν, ἐν δίκῃ βιώσοιντο, κρατηθέντες δὲ ἀδικίᾳ. καὶ ὁ μὲν εὖ τὸν προσήκοντα βιοὺς χρόνον, πάλιν εἰς τὴν τοῦ ξυννόμου πορευθεὶς οἴκησιν ἄξρου, βίον εὐδαίμονα καὶ συνήθη ἔξοι· σφαλεὶς δὲ τούτων εἰς γυναικὸς φύσιν ἐν τῇ δευτέρᾳ γενέσει μεταβαλοῖ· μὴ παυόμενος δὲ ἐν τούτοις ἔτι κακίας, τρόπον ὃν κακύνοιτο, κατὰ τὴν ὁμοιότητα τῆς νοῦ τρόπου γενέσεως εἴς τινα τοιαύτην ἀεὶ μεταβαλοῖ θήρειον φύσιν, ἀλλάττων τε οὐ πρότερον πόνων λήξοι, πρὶν τῇ ταὐτοῦ καὶ ὁμοίου περιόδῳ τῇ ἐν αὐτῷ ξυνεπισπώμενος τὸν πολὺν ὄχλον καὶ ὕστερον προσφύντα ἐκ πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς, θορυβώδη καὶ ἄλογον ὄντα λόγῳ κρατήσας εἰς τὸ τῆς πρώτης καὶ ἀρίστης ἀφίκοιτο εἴδος ἕξεως. Διαθεσμοθετήσας δὲ πάντα αὐτοῖς ταῦτα, ἵνα τῆς ἔπειτα εἴη κακίας ἑκάστων ἀναίτιος, ἔσπειρε τοὺς μὲν εἰς γῆν, τοὺς δ' εἰς σελήνην, τοὺς δ' εἰς τἆλλα ὅσα ὄργανα χρόνου. τὸ δὲ μετὰ τὸν σπόρον

sensum unum omnibus intimum et naturae conianctum illic a violentis passionibus excitari, deinde voluptate et dolore mixtum amorem, post haec metum et iram, et quaecunque vel ista sequuntur vel ab istis ut contraria dissident. haec qui superaverint, eos iuste victuros: iniuste vero, qui ab his fuerint superati. atque illum, qui recte curriculum vivendi a natura datum confecerit, ad illud astrum, cui accommodatus fuerit, reversum beatam vitam acturum: contra vero agentes cogi in ortu secundo, sexu mutato, fieri mulierem. et qui ne tum quidem finem peccandi faciet, quatenus depravatur, eatenus in brutorum naturam suis moribus similem permutari: nec prius a mutationibus laboribusque cessare, quam illam sibi insitam eiusdem ipsius similisque naturae conversionem secutus ipse, eique subiiciens turbulentos multiplicesque affectus, postea ex igni, aqua, aëre et terra contractos, rationem sedaverit, et ad primum optimumque sui habitum iam redierit. Quae cum illis ita designavisset, ne qua penes se futurae pravitatis causa esset, alios in terram, alios in lunam, alios in alia temporis instrumenta spargens quasi serebat. post huiusmodi sementem, quod

τοῖς νέοις παρέδωκε θεοῖς σώματα πλάττειν θνητά, τό τε ἐπίλοιπον ὅσον ἔτ' ἦν ψυχῆς ἀνθρωπίνης δέον προσγενέσθαι, τοῦτο καὶ πάνθ' ὅσα ἀκόλουθα ἐκείνοις ἀπεργασαμένους ἄρχειν, καὶ κατὰ δύναμιν ὅτι κάλλιστα καὶ ἄριστα τὸ θνητὸν διακυβερνᾶν ζῷον, ὅ τι μὴ κακῶν αὐτὸ ἑαυτῷ γίγνοιτο αἴτιον.

Καὶ ὁ μὲν δὴ ἅπαντα ταῦτα διατάξας ἔμενεν ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει· μένοντος δὲ νοήσαντες οἱ παῖδες τὴν τοῦ πατρὸς τάξιν ἐπείθοντο αὐτῇ, καὶ λαβόντες ἀθάνατον ἀρχὴν θνητοῦ ζώου, μιμούμενοι τὸν σφέτερον δημιουργόν, πυρὸς καὶ γῆς ὕδατός τε καὶ ἀέρος ἀπὸ τοῦ κόσμου δανειζόμενοι μόρια ὡς ἀποδοθησόμενα πάλιν, εἰς ταὐτὸν τὰ λαμβανόμενα ξυνεκόλλων, οὐ τοῖς ἀλύτοις οἷς αὐτοὶ ξυνείχοντο δεσμοῖς, ἀλλὰ διὰ σμικρότητα ἀοράτοις, πυκνοῖς γόμφοις ξυντήκοντες, ἓν ἐξ ἁπάντων ἀπεργαζόμενοι σῶμα ἕκαστον, τὰς τῆς ἀθανάτου ψυχῆς περιόδους ἐνέδουν εἰς ἐπίῤῥυτον σῶμα καὶ ἀπόῤῥυτον. αἱ δὲ εἰς ποταμὸν ἐνδεθεῖσαι πολὺν οὔτ' ἐκράτουν οὔτ' ἐκρατοῦντο, βίᾳ δ' ἐφέροντο καὶ ἔφερον, ὥστε τὸ μὲν ὅλον κινεῖσθαι ζῷον, ἀτάκτως μὴν ὅπῃ τύχοι προϊέναι καὶ ἀλό-

reliquum erat, Diis iunioribus agendum mandavit, ut corpora mortalia fingerent, quantumque esset humanae animae, quod reliquum huic deberet accedere, id omne et quae consequentia essent, adiungerent regerentque, et, quam optime et pulcherrime fieri posset, mortalis animalis naturam gubernarent, nisi ipsum sibimet malorum causa esset. Atque *is* quidem, qui haec cuncta disposuit, rite in suo habitu permanebat. quo quidem permanente eius filii, cum parentis ordinem cognovissent, eum protinus sequebantur. itaque accepto ab illo mortalis animantis immortali principio, sui effectorem imitati, ignis, aëris, aquae, terrae particulas, quas rursus redderent, a mundo mutuabantur: easque inter se copulabant, haud iisdem illis indissolubilibus vinculis, quibus ipsi fuerant colligati, sed talibus, quae propter parvitatem cerni non possent: crebrisque huiusmodi clavis coniunctis, unum ex omnibus corpus efficiebant, atque in hoc ipsum tum influente tum effluente corpore, animae divinae circuitus illigabant. itaque hi circuitus, in profundum flumen immersi, neque tenebant neque tenebantur, sed vi ferebantur atque ferebant. ex quo factum est, ut totum animal moveretur, sine ordine tamen, et fortuita qua-

γως, τὰς ἔξ ἁπάσας κινήσεις ἔχον· εἴς τε γὰρ τὸ πρόσθε καὶ ὄπισθεν καὶ πάλιν εἰς δεξιὰ καὶ ἀριστερὰ κάτω τε καὶ ἄνω καὶ πάντῃ κατὰ τοὺς ἓξ τόπους πλανώμενα προῄειν. πολλοῦ γὰρ ὄντος τοῦ καταπλύζοντος καὶ ἀποῤῥέοντος κύματος, ὃ τὴν τροφὴν παρεῖχεν, ἔτι μείζω θόρυβον ἀπειργάζετο τὰ τῶν προσπιπτόντων παθήματα ἑκάστοις, ὅτε πυρὶ προσκρούσειε τὸ σωμά τινος ἔξωθεν ἀλλοτρίῳ περιτυχὸν ἢ καὶ στερεῷ γῆς ὑγροῖς τε ὀλισθήμασιν ὑδάτων, εἴτε ζάλῃ πνευμάτων ὑπ' ἀέρος φερομένων καταληφθείη, καὶ ὑπὸ πάντων τούτων διὰ τοῦ σώματος αἱ κινήσεις ἐπὶ τὴν ψυχὴν φερόμεναι προσπίπτοιεν· αἳ δὴ καὶ ἔπειτα διὰ ταῦτα ἐκλήθησάν τε καὶ νῦν ἔτι αἰσθήσεις ξυνάπασαι κέκληνται. καὶ δὴ καὶ τότε ἐν τῷ παρόντι πλείστην καὶ μεγίστην παρεχόμεναι κίνησιν, μετὰ τοῦ ῥέοντος ἐνδελεχῶς ὀχετοῦ κινοῦσαι καὶ σφοδρῶς σείουσαι τὰς τῆς ψυχῆς περιόδους, τὴν μὲν ταὐτοῦ παντάπασιν ἐπέδησαν ἐναντία αὐτῇ ῥέουσαι, καὶ ἐπέσχον ἄρχουσαν καὶ ἰοῦσαν, τὴν δ' αὖ θατέρου διέσεισαν, ὥστε τὰς τοῦ διπλασίου καὶ τριπλασίου τρεῖς ἑκατέρας ἀποστάσεις καὶ τὰς τῶν ἡμιολίων καὶ ἐπιτρίτων καὶ ἐπογδόων μεσότητας καὶ ξυνδέσεις, ἐπειδὴ παντελῶς λυταὶ οὐκ ἦσαν πλὴν ὑπὸ τοῦ

dam iactatione. cui quidem sex pervagari motibus contigit, undique per sex loci naturas progrediendo, videlicet ante et retro, ad dexteram et laevam, sursum atque deorsum. cum vero plurimus inundaret fluctus atque defluueret, unde animal nutriretur, multo etiam maior a passionibus extrinsecus illatis turba sequebatur, cum corpus aliquod ignis exterioris incurrisset offensionem, vel a terrae soliditate aut aquae humore aut aëris flatu laesum esset. porro ab iis omnibus per corpus motus usque ad animam transeunt, qui propterea et initio et nunc sensus cognominati sunt. hi quidem ab initio continue multos et maximos motus cient, rivo illo iugiter fluente, atque his fluctibus vehementer animae circuitus quatiunt: et circuitum quidem illum eiusdem similisque naturae in ipso cursu prorsus impediunt; alterius vero circuitum distrahunt, usque adeo, ut dupla illa et tripla utrinque disposita intervalla tria, medietatesque et colligationes, sexquitertia, sexquialtera, sexquioctava ratione interiectas, quae dissolvi a nullo, nisi ab eo, qui eamdem

θέντα τάχη σχῆ κεφαλὴν τῷ τοῦ ταὐτοῦ καὶ ὁμοίως ἰόντος ἀναμετρηθέντα κύκλῳ. κατὰ ταῦτα δὴ καὶ τούτων ἕνεκα ἐγεννήθη τῶν ἄστρων ὅσα δι' οὐρανοῦ πορευόμενα ἔσχε τροπάς, ἵνα τόδ' ὡς ὁμοιότατον ᾖ τῷ τελέῳ καὶ νοητῷ ζώῳ πρὸς τὴν τῆς διαιωνίας μίμησιν φύσεως.

Καὶ τὰ μὲν ἄλλα ἤδη μέχρι χρόνου γενέσεως ἀπείργαστο εἰς ὁμοιότητα ᾧ περ ἀπεικάζετο, τῷ δὲ μήπω τὰ πάντα ζῶα ἐντὸς αὑτοῦ γεγενημένα περιειληφέναι, ταύτῃ ἔτι εἶχεν ἀνομοίως. τοῦτο δὴ τὸ κατάλοιπον ἀπειργάζετο αὐτοῦ πρὸς τὴν τοῦ παραδείγματος ἀποτυπούμενος φύσιν. ᾗ περ οὖν νοῦς ἐνούσας ἰδέας τῷ ὃ ἔστι ζῶον, οἷαί τε ἔνεισι καὶ ὅσαι, καθορᾷ, τοιαύτας καὶ τοσαύτας διενοήθη δεῖν καὶ τόδε σχεῖν. εἰσὶ δὲ τέτταρες, μία μὲν οὐράνιον θεῶν γένος, ἄλλη δὲ πτηνὸν καὶ ἀεροπόρον, τρίτη δὲ ἔνυδρον εἶδος, πεζὸν δὲ καὶ χερσαῖον τέταρτον. τοῦ μὲν οὖν θείου τὴν πλείστην ἰδέαν ἐκ πυρὸς ἀπήρξατο, ὅπως ὅτι λαμπρότατον ἰδεῖν τε κάλλιστον εἴη, τῷ δὲ παντὶ προσεικάζων εὔκυκλον ἐποίει, τίθησί τε εἰς τὴν τοῦ κρατίστου φρόνησιν ἐκείνῳ ξυνεπόμενον, ᾗ μιας περὶ πάντα κύκλῳ τὸν οὐρανόν, κόσμον ἀληθι-

militerque procedens metitur, ad idem se caput retulerint. has ob causas nata sunt ea astra, quae per coelum meantia conversiones habent, ut hoc omne animal, quod videmus, esset perfectissimo animali illi, quod mente perspicitur, harmoniae imitatione simillimum. Iam vero cetera usque ad temporis ortum ad imaginem propositi exemplaris effinxerat. sed quia mundus hic nondum animalia omnia intra suum ambitum continebat, ex ea parte deficiebat ad illud exemplar imaginis huius similitudo. hoc igitur, quod deerat, superni illius exemplo Deus explebat. quot igitur et quales mens ideas in eo, quod est animal, inspicit: totidem et tales hoc mundo contineri oportere excogitavit. sunt autem quatuor. una quidem Deorum coelestium genus continet, alia volatile et aërivagum, tertia aquae liquoribus accommodatum, quarta terrenorum animantium genus. divini quidem animalis speciem ex igni maxima ex parte componebat, ut splendidissimum esset visuque pulcherrimum. cumque illud universi figurae simile vellet fore, rotundum fecit; posuitque in ipsius optimi sapientia, atque illud sequi iussit; circumque omne coelum distribuit, ut verus illi ubi-

νὸν αὐτῷ πεποικιλμένον εἶναι καθ' ὅλον. κινήσεις δὲ
δύο προσῆψεν ἑκάστῳ, τὴν μὲν ἐν ταὐτῷ κατὰ ταὐτὰ
περὶ τῶν αὐτῶν ἀεὶ τὰ αὐτὰ ἑαυτῷ διανοουμένῳ, τὴν
δὲ εἰς τὸ πρόσθεν ὑπὸ τῆς ταὐτοῦ καὶ ὁμοίου περιφο-
ρᾶς κρατουμένῳ· τὰς δὲ πέντε κινήσεις ἀκίνητον καὶ
ἑξός, ἵν' ὅτι μάλιστα αὐτῶν ἕκαστον γένοιτο ὡς ἄριστον.
ἐξ ἧς δὴ τῆς αἰτίας γέγονεν ὅσ' ἀπλανῆ τῶν ἄστρων ζῷα
θεῖα ὄντα καὶ ἀίδια καὶ κατὰ ταὐτὰ ἐν ταὐτῷ στρεφό-
μενα ἀεὶ μένει· τὰ δὲ τρεπόμενα καὶ πλάνην τοιαύτην
ἴσχοντα, καθά περ ἐν τοῖς πρόσθεν ἐρρήθη, κατ' ἐκεῖνα
γένοιτ' ἄν. γῆν δὲ τροφὸν μὲν ἡμετέραν, εἱλλομένην δὲ
περὶ τὸν διὰ παντὸς πόλον τεταμένον φύλακα καὶ δη-
μιουργὸν νυκτός τε καὶ ἡμέρας ἐμηχανήσατο, πρώτην
καὶ πρεσβυτάτην θεῶν ὅσοι ἐντὸς οὐρανοῦ γεγόνασι.
χορείας δὲ τούτων αὐτῶν καὶ παραβολὰς ἀλλήλων, καὶ
περὶ τὰς τῶν κύκλων πρὸς ἑαυτοὺς ἐπανακυκλήσεις καὶ προσχωρήσεις, ἔν τε ταῖς ξυνάψεσιν ὁποῖοι
τῶν θεῶν κατ' ἀλλήλους γιγνόμενοι καὶ ὅσοι καταντι-
κρύ, μεθ' οὕς τινάς τε ἐπίπροσθεν ἀλλήλοις ἡμῖν τε
κατὰ χρόνους οὕς τινας ἕκαστοι κατακαλύπτονται καὶ
πάλιν ἀναφαινόμενοι φόβους καὶ σημεῖα τῶν μετὰ

que ex hac varietate ornatus accederet. dedit autem divinis duo genera motus: alterum, quo in eodem semper et similiter volverentur, cum de eisdem semper secum ipsis eadem cogitent: alterum, quo in anteriorem partem ab eiusdem ipsius similisque vertigine ducerentur. reliquos autem quinque motus ab iis esse voluit alienos, ut unumquodque illorum, quoad fieri potest, optimum esset. qua ex causa facta sunt astra illa erroris expertia, quae divina animalia sunt: propterea quae in eodem semper circuitu perseverant. quae vero vaga sunt et mutabili ratione labuntur, ita deinceps, ut supra diximus, disposita sunt. terram autem, altricem nostram, circa polum per universum extensum alligatam, dici noctisque effectricem et custodem esse voluit, nec non primam antiquissimamque Deorum omnium, qui intra coelum sunt geniti. horum vero Deorum choreas, et inter ipsos concursiones, circulorumque ipsorum revolutiones varias et accessus, quales praeterea fiant coniuncti sibi invicem vel oppositi, sive ante inter se sive retro, quidve ex illorum serie nobis proveniat, quibus temporibus et quo pacto delitescant singuli vel emergant, quidve portendant, quando

ταῦτα γενησομένων τοῖς δυναμένοις λογίζεσθαι πέμπουσι, τὸ λέγειν ἄνευ διώψεως τούτων αὖ τῶν μιμημάτων μάταιος ἂν εἴη πόνος, ἀλλὰ ταῦτά τε ἱκανῶς ἡμῖν ταύτῃ καὶ τὰ περὶ θεῶν ὁρατῶν καὶ γεννητῶν εἰρημένα φύσεως ἐχέτω τέλος.

Περὶ δὲ τῶν ἄλλων δαιμόνων εἰπεῖν καὶ γνῶναι τὴν γένεσιν μεῖζον ἢ καθ' ἡμᾶς, πειστέον δὲ τοῖς εἰρηκόσιν ἔμπροσθεν, ἐκγόνοις μὲν θεῶν οὖσιν, ὡς ἔφασαν, σαφῶς δέ που τούς γε αὑτῶν προγόνους εἰδόσιν· ἀδύνατον οὖν θεῶν παισὶν ἀπιστεῖν, καί περ ἄνευ τε εἰκότων καὶ ἀναγκαίων ἀποδείξεων λέγουσιν, ἀλλ' ὡς οἰκεῖα φάσκουσιν ἀπαγγέλλειν ἑπομένους τῷ νόμῳ πιστευτέον. οὕτως οὖν κατ' ἐκείνους ἡμῖν ἡ γένεσις περὶ τούτων τῶν θεῶν ἐχέτω καὶ λεγέσθω. Γῆς τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανός τε καὶ Τηθὺς ἐγενέσθην, τούτων δὲ Φόρκυς Κρόνος τε καὶ Ῥέα καὶ ὅσοι μετὰ τούτων, ἐκ δὲ Κρόνου καὶ Ῥέας Ζεὺς Ἥρα τε καὶ πάντες ὅσους ἴσμεν πάντας ἀδελφοὺς λεγομένους αὐτῶν, ἔτι τε τούτων ἄλλους ἐκγόνους.

Ἐπεὶ δ' οὖν πάντες ὅσοι τε περιπολοῦσι φανερῶς καὶ ὅσοι φαίνονται καθ' ὅσον ἂν ἐθέλωσι θεοὶ γένεσιν

orientes hominibus harum rerum peritis timorem incutiunt, haec, inquam, omnia absque diligenti simulacrorum ipsorum inspectione explicare velle inanis est labor. sed de his satis: et iam, quae de natura Deorum illorum, qui tales geniti sunt, ut cernantur, dicenda erant, finem habeant. Ceterorum vero, qui daemones appellantur, et cognoscere et enuntiare ortum maius est opus, quam ferre nostrum valeat ingenium. priscis itaque viris hac in re credendum est, qui Diis geniti, ut ipsi dicebant, parentes suos optime noverant. impossibile sane Deorum filiis fidem non habere, licet nec necessariis nec verisimilibus rationibus eorum oratio confirmetur. verum quia de domesticis rebus loqui se affirmabant, nos, legem secuti, fidem praestabimus. sic igitur, ut ab his est traditum, horum Deorum genetio habeatur atque dicatur. Terrae Coelique filii Oceanus et Tethys fuisse traduntur: ab iis Phorcyn, Saturnus et Rhea geniti, et reliqui horum fratres. ex Saturno et Rhea Iupiter et Iuno et reliqui, quos eorum fratres quotidie memorari audimus, nati dicuntur. ex his deinceps, ut traditur, alii. Postquam orti sunt omnes, et qui coelo volvuntur Dii, nostris oculis manifesti, et qui eatenus nobis conspicui fiunt, quatenus ipsi volunt,

ἔσχον, λέγει πρὸς αὐτοὺς ὁ τόδε τὸ πᾶν γεννήσας τάδε· Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἃ δι' ἐμοῦ γενόμενα ἄλυτα ἐμοῦ γ' ἐθέλοντος. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν, τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ. δι' ἃ καὶ ἐπεί περ γεγέννησθε, ἀθάνατοι μὲν οὐκ ἐξὲ οὐδ' ἄλυτοι τὸ πάμπαν, οὔ τι μὲν δὴ λυθήσεσθέ γε οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων οἷς ὅτ' ἐγίγνεσθε ξυνεδεῖσθε. νῦν οὖν ὃ λέγω πρὸς ὑμᾶς ἐνδεικνύμενος, μάθετε. θνητὰ ἔτι γένη λοιπὰ τρί' ἀγέννητα. τούτων οὖν μὴ γενομένων οὐρανὸς ἀτελὴς ἔσται· τὰ γὰρ ἅπαντα ἐν αὑτῷ γένη ζώων οὐχ ἕξει, δεῖ δέ, εἰ μέλλει τέλεος ἱκανῶς εἶναι. δι' ἐμοῦ δὲ ταῦτα γενόμενα καὶ βίου μετασχόντα θεοῖς ἰσάζοιτ' ἄν. ἵν' οὖν θνητά τε ᾖ τό τε πᾶν τόδε ὄντως ἅπαν ᾖ, τρέπεσθε κατὰ φύσιν ὑμεῖς ἐπὶ τὴν τῶν ζώων δημιουργίαν, μιμούμενοι τὴν ἐμὴν δύναμιν περὶ τὴν ὑμετέραν γένεσιν. καὶ καθ' ὅσον μὲν αὐτῶν ἀθανάτοις ὁμώνυμον εἶναι προσήκει, θεῖον λεγόμενον ἡγεμονοῦν τ' ἐν αὐτοῖς τῶν ἀεὶ δίκῃ καὶ ὑμῖν ἐθελόντων ἕπεσθαι,

tum ad eos mundi genitor ita fatur: Dii deorum, quorum opifex ego et pater sum, haec attendite. quae a me facta sunt, me ita volente indissolubilia sunt. omne siquidem, quod vinctum est, solvi potest; sed mali est, quod pulchre compositum est seque habet bene, velle dissolvere. quapropter, quia generati estis, immortales quidem et indissolubiles omnino non estis. nec tamen unquam dissolvemini, nec mortis fatum subibitis. nam voluntas mea maius praestantiusque vobis est vinculum ad vitae custodiam quam nexus illi, quibus estis tunc, cum gignebamini, colligati. sed nunc iam, quid iubeam, cognoscite. tria adhuc genera mortalium nobis generanda restant: absque horum generatione coelum imperfectum erit. omnia enim animantium genera ambitu suo non continebit. contineat autem oportet, si est mundus omnino perfectus futurus. haec vero si a me fiant solo vitaque donentur, Diis adaequabuntur. quapropter accedite vos secundum naturam ad animalium generationem, ita ut vim imitemini meam, qua in ortu vestro sum usus. atque eius quidem animalis, quod in ipsis tale futurum est, ut cum immortalibus appellatione conveniat, divinumque vocetur, principatumque teneat, et iustitiam simul ac

σπείρας· καὶ ὑπαρξάμενος ἐγὼ παραδώσω· τὸ δὲ λοιπὸν ὑμεῖς, ἀθανάτῳ θνητὸν προσυφαίνοντες, ἀπεργάζεσθε ζῶα καὶ γεννᾶτε τροφήν τε διδόντες αὐξάνετε καὶ φθίνοντα πάλιν δέχεσθε.

Ταῦτ' εἶπε, καὶ πάλιν ἐπὶ τὸν πρότερον κρατῆρα, ἐν ᾧ τὴν τοῦ παντὸς ψυχὴν κεραννὺς ἔμισγε, τὰ τῶν πρόσθεν ὑπόλοιπα κατεχεῖτο μίσγων τρόπον μέν τινα τὸν αὐτόν, ἀκήρατα δ' οὐκέτι κατὰ ταὐτὰ ὡσαύτως, ἀλλὰ δεύτερα καὶ τρίτα. ξυσήσας δὲ τὸ πᾶν διεῖλε ψυχὰς ἰσαρίθμους τοῖς ἄστροις ἔνειμέ θ' ἑκάστην πρὸς ἕκαστον, καὶ ἐμβιβάσας ὡς ἐς ὄχημα τὴν τοῦ παντὸς φύσιν ἔδειξε, νόμους τε τοὺς εἱμαρμένους εἶπεν αὐταῖς, ὅτι γένεσις πρώτη μὲν ἔσοιτο τεταγμένη μία πᾶσιν, ἵνα μή τις ἐλαττοῖτο ὑπ' αὐτοῦ, δέοι δὲ σπαρείσας αὐτὰς εἰς τὰ προσήκοντα ἑκάστοις ἕκαστα ὄργανα χρόνου φῦναι ζώων τὸ θεοσεβέστατον, διπλῆς δὲ οὔσης τῆς ἀνθρωπίνης φύσεως τὸ κρεῖττον τοιοῦτον εἴη γένος, ὃ καὶ ἔπειτα κεκλήσοιτο ἀνήρ. ὁπότε δὴ σώμασιν ἐμφυτευθεῖεν ἐξ ἀνάγκης, καὶ τὸ μὲν προσίοι, τὸ δ' ἀπίοι τοῦ σώματος αὐτῶν, πρῶτον μὲν αἴσθησιν ἀναγ-

vos ultro colat, ego vobis semen et initium tradam: vos cetera exsequi par est, ut immortali naturae mortalem attexentes, faciatis generetisque animalia, subministrantesque alimenta augeatis, et consumpta rursum recipiatis. Haec fatus in eodem rursus cratere, in quomundi totius animam permiscens temperaverat, superioris temperationis reliquias miscendo perfudit, modo quodam ferme eodem. non tamen perfectas similiter, sed et secundo et tertio gradu a primis deficientes. denique cum universum constituisset, astris parem numerum distribuit animarum, singulis singulas adhibens, eisque tanquam vehiculo impositis monstravit universi naturam, ac leges fatales edixit; osteudens quidem primam omnibus generationem ordine quodam unam fore, ne quis ab eo minus aliquid sortiatur. satis autem et quasi sparsis animis per singula singulis convenientia temporum instrumenta, fore ut animal nasceretur, quod omnium animalium maxime esset divino cultui deditum. esse autem naturam hominis geminam: cuius id genus fore praestantius, quod viri nomine sit appellandum. cum vero animae corporibus necessitate quadam insertae fuerint, et corporibus earum accesserit aliquid vicissimque abscesserit, primum utique necessario

καῖον εἴη μίαν πᾶσιν ἐκ βιαίων παθημάτων ξύμφυτον γίγνεσθαι, δεύτερον δὲ ἡδονῇ καὶ λύπῃ μεμιγμένον ἔρωτα, πρὸς δὲ τούτοις φόβον καὶ θυμὸν ὅσα τε ἑπόμενα αὐτοῖς καὶ ὁπόσα ἐναντίως πέφυκε διεξηκότα· ὧν εἰ μὲν κρατήσειαν, ἐν δίκῃ βιώσοιντο, κρατηθέντες δὲ ἀδικίᾳ. καὶ ὁ μὲν εὖ τὸν προσήκοντα βιοὺς χρόνον, πάλιν εἰς τὴν τοῦ ξυννόμου πορευθεὶς οἴκησιν ἄξρου, βίον εὐδαίμονα καὶ συνήθη ἔξοι· σφαλεὶς δὲ τούτων εἰς γυναικὸς φύσιν ἐν τῇ δευτέρᾳ γενέσει μεταβαλοῖ· μὴ παυόμενος δὲ ἐν τούτοις ἔτι κακίας, τρόπον ὃν κακύνοιτο, κατὰ τὴν ὁμοιότητα τῆς τοῦ τρόπου γενέσεως εἴς τινα τοιαύτην ἀεὶ μεταβαλοῖ θήρειον φύσιν, ἀλλάττων τε οὐ πρότερον πόνων λήξοι, πρὶν τῇ ταὐτοῦ καὶ ὁμοίου περιόδῳ τῇ ἐν αὐτῷ ξυνεπισπώμενος τὸν πολὺν ὄχλον καὶ ὕξερον προσφύντα ἐκ πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς, θορυβώδη καὶ ἄλογον ὄντα λόγῳ κρατήσας εἰς τὸ τῆς πρώτης καὶ ἀρίξης ἀφίκοιτο εἶδος ἕξεως. Διαθεσμοθετήσας δὲ πάντα αὐτοῖς ταῦτα, ἵνα τῆς ἔπειτα εἴη κακίας ἑκάξων ἀναίτιος, ἔσπειρε τοὺς μὲν εἰς γῆν, τοὺς δ' εἰς σελήνην, τοὺς δ' εἰς τἆλλα ὅσα ὄργανα χρόνου. τὸ δὲ μετὰ τὸν σπόρον

sensum unum omnibus intimum et naturae coniunctum illic a violentis passionibus excitari, deinde voluptate et dolore mixtum amorem, post haec metum et iram, et quaecunque vel ista sequuntur vel ab istis ut contraria dissident. haec qui superaverint, eos iuste victuros: iniuste vero, qui ab his fuerint superati. atque illum, qui recte curriculum vivendi a natura datum confecerit, ad illud astrum, cui accommodatus fuerit, reversum beatam vitam acturum: contra vero agentes cogi in ortu secundo, sexu mutato, fieri mulierem. et qui ne tum quidem finem peccandi faciet, quatenus depravatur, eatenus in brutorum naturam suis moribus similem permutari: nec prius a mutationibus laboribuspue cessare, quam illam sibi insitam eiusdem ipsius similisque naturae conversionem secutus ipse, eique subiiciens turbulentos multiplicesque affectus, postea ex igni, aqua, aëre et terra contractos, rationem sedaverit, et ad primum optimumque sui habitum iam redierit. Quae cum illis ita designavisset, ne qua penes se futurae pravitatis causa esset, alios in terram, alios in lunam, alios in alia temporis instrumenta spargens quasi serebat. post huiusmodi sementem, quod

τοῖς νέοις παρέδωκε θεοῖς σώματα πλάττειν θνητά, τό τε ἐπίλοιπον ὅσον ἔτ' ἦν ψυχῆς ἀνθρωπίνης δέον προσγενέσθαι, τοῦτο καὶ πάνθ' ὅσα ἀκόλουθα ἐκείνοις ἀπεργασαμένους ἄρχειν, καὶ κατὰ δύναμιν ὅτι κάλλιστα καὶ ἄριστα τὸ θνητὸν διακυβερνᾶν ζῷον, ὅ τι μὴ κακῶν αὐτὸ ἑαυτῷ γίγνοιτο αἴτιον.

Καὶ ὁ μὲν δὴ ἅπαντα ταῦτα διατάξας ἔμενεν ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει· μένοντος δὲ νοήσαντες οἱ παῖδες τὴν τοῦ πατρὸς τάξιν ἐπείθοντο αὐτῇ, καὶ λαβόντες ἀθάνατον ἀρχὴν θνητοῦ ζώου, μιμούμενοι τὸν σφέτερον δημιουργόν, πυρὸς καὶ γῆς ὕδατός τε καὶ ἀέρος ἀπὸ τοῦ κόσμου δανειζόμενοι μόρια ὡς ἀποδοθησόμενα πάλιν, εἰς ταὐτὸν τὰ λαμβανόμενα ξυνεκόλλων, οὐ τοῖς ἀλύτοις οἷς αὐτοὶ ξυνείχοντο δεσμοῖς, ἀλλὰ διὰ σμικρότητα ἀοράτοις, πυκνοῖς γόμφοις ξυντήκοντες, ἓν ἐξ ἁπάντων ἀπεργαζόμενοι σῶμα ἕκαστον, τὰς τῆς ἀθανάτου ψυχῆς περιόδους ἐνέδουν εἰς ἐπίῤῥυτον σῶμα καὶ ἀπόῤῥυτον. αἱ δὲ εἰς ποταμὸν ἐνδεθεῖσαι πολὺν οὔτ' ἐκράτουν οὔτ' ἐκρατοῦντο, βίᾳ δ' ἐφέροντο καὶ ἔφερον, ὥστε τὸ μὲν ὅλον κινεῖσθαι ζῷον, ἀτάκτως μὴν ὅπῃ τύχοι προϊέναι καὶ ἀλό-

reliquum erat, Diis iunioribus agendum mandavit, ut corpora mortalia fingerent, quantumque esset humanae animae, quod reliquum huic deberet accedere, id omne et quae consequentia essent, adiungerent regerentque, et, quam optime et pulcherrime fieri posset, mortalis animalis naturam gubernarent, nisi ipsum sibimet malorum causa esset. Atque *is* quidem, qui haec cuncta disposuit, rite in suo habitu permanebat. quo quidem permanente eius filii, cum parentis ordinem cognovissent, eum protinus sequebantur. itaque accepto ab illo mortalis animantis immortali principio, sui effectorem imitati, ignis, aëris, aquae, terrae particulas, quas rursus redderent, a mundo mutuabantur: easque inter se copulabant, haud ilsdem illis indissolubilibus vinculis, quibus ipsi fuerant colligati, sed talibus, quae propter parvitatem cerni non possent: crebrisque huiusmodi clavis coniunctis, unum ex omnibus corpus efficiebant, atque in hoc ipsum tum influente tum effluente corpore, animae divinae circuitus illigabant. itaque hi circuitus, in profundum flumen immersi, neque tenebant neque tenebantur, sed vi ferebantur atque ferebant. ex quo factum est, ut totum animal moveretur, sine ordine tamen, et fortuita qua-

γως, τὰς ἐξ ἁπάσας κινήσεις ἔχον· εἷς τε γὰρ τὸ πρόσθε καὶ ὄπισθεν καὶ πάλιν εἰς δεξιὰ καὶ ἀριστερὰ κάτω τε καὶ ἄνω καὶ πάντῃ κατὰ τοὺς ἓξ τόπους πλανώμενα προήειν. πολλοῦ γὰρ ὄντος τοῦ καταπλύζοντος καὶ ἀποῤῥέοντος κύματος, ὃ τὴν τροφὴν παρεῖχεν, ἔτι μείζω θόρυβον ἀπειργάζετο τὰ τῶν προσπιπτόντων παθήματα ἑκάστοις, ὅτε πυρὶ προσκρούσειε τὸ σωμά τινος ἔξωθεν ἀλλοτρίῳ περιτυχὸν ἢ καὶ ξηρῷ γῆς ὑγροῖς τε ὀλισθήμασιν ὑδάτων, εἴτε ζάλῃ πνευμάτων ὑπ' ἀέρος φερομένων καταληφθείη, καὶ ὑπὸ πάντων τούτων διὰ τοῦ σώματος αἱ κινήσεις ἐπὶ τὴν ψυχὴν φερόμεναι προσπίπτοιεν· αἳ δὴ καὶ ἔπειτα διὰ ταῦτα ἐκλήθησάν τε καὶ νῦν ἔτι αἰσθήσεις ξυνάπασαι κέκληνται. καὶ δὴ καὶ τότε ἐν τῷ παρόντι πλείστην καὶ μεγίστην παρεχόμεναι κίνησιν, μετὰ τοῦ ῥέοντος ἐνδελεχῶς ὀχετοῦ κινοῦσαι καὶ σφοδρῶς σείουσαι τὰς τῆς ψυχῆς περιόδους, τὴν μὲν ταὐτοῦ παντάπασιν ἐπέδησαν ἐναντία αὐτῇ ῥέουσαι, καὶ ἐπέσχον ἄρχουσαν καὶ λοῦσαν, τὴν δ' αὖ θατέρου διέσεισαν, ὥστε τὰς τοῦ διπλασίου καὶ τριπλασίου τρεῖς ἑκατέρας ἀποτάσεις καὶ τὰς τῶν ἡμιολίων καὶ ἐπιτρίτων καὶ ἐπογδόων μεσότητας καὶ ξυνδέσεις, ἐπειδὴ παντελῶς λυταὶ οὐκ ἦσαν πλὴν ὑπὸ τοῦ

dam iactatione. cui quidem sex pervagari motibus contigit, undique per sex loci naturas progrediendo, videlicet ante et retro, ad dexteram et laevam, sursum atque deorsum. cum vero plurimus inundaret fluctus atque defluueret, unde animal nutriretur, multo etiam maior a passionibus extrinsecus illatis turba sequebatur, cum corpus aliquod ignis exterioris incurrisset offensionem, vel a terrae soliditate aut aquae humore aut aëris flatu laesum esset. porro ab iis omnibus per corpus motus usque ad animam transeunt, qui propterea et initio et nunc sensus cognominati sunt. hi quidem ab initio continue multos et maximos motus cient, rivo illo iugiter fluente, atque his fluctibus vehementer animae circuitus quatiunt: et circuitum quidem illum eiusdem similisque naturae in ipso cursu prorsus impediunt; alterius vero circuitum distrahunt, usque adeo, ut dupla illa et tripla utrinque disposita intervalla tria, medietatesque et colligationes, sexquitertia, sexquialtera, sexquioctava ratione interiectas, quae dissolvi a nullo, nisi ab eo, qui eumdem

ξυνθήσαντος, πάσας μὲν στρέψαι στροφάς, πάσας δὲ κλάσεις καὶ διαφορὰς τῶν κύκλων ἐμποιεῖν, ὅσαγῇ περ ἦν δυνατόν, ὥστε μετ' ἀλλήλων μόγις ξυνεχομένας φέρεσθαι μέν, ἀλόγως δὲ φέρεσθαι, τοτὲ μὲν ἀντίας, τοτὲ δὲ πλαγίας, τοτὲ δ' ὑπτίας, οἷον ὅταν τις ὕπτιος ἐρείσας τὴν κεφαλὴν μὲν ἐπὶ γῆς, τοὺς δὲ πόδας ἄνω προσβαλὼν ἔχῃ πρός τινι, τότε ἐν τούτῳ τῷ πάθει τοῦ τε πάσχοντος καὶ τῶν ὁρώντων τά τε δεξιὰ ἀριστερὰ καὶ τὰ ἀριστερὰ δεξιὰ ἑκατέροις τὰ ἑκατέρων φαντάζεται. ταὐτὸν δὴ τοῦτο καὶ τοιαῦτα ἕτερα αἱ περι- 1(
φοραὶ πάσχουσαι σφοδρῶς, ὅταν γέ τῳ τῶν ἔξωθεν
44 τοῦ ταὐτοῦ γένους ἢ τοῦ θατέρου περιτύχωσι, τότε ταὐτόν τῳ καὶ θάτερόν του τἀναντία τῶν ἀληθῶν προσαγορεύουσαι ψευδεῖς καὶ ἀνόητοι γεγόνασιν, οὐδεμία τε ἐν αὐταῖς τότε περίοδος ἄρχουσα οὐδ' ἡγεμών ἐστιν· ἂν δ' αὖ ἔξωθεν αἰσθήσεις τινὲς φερόμεναι καὶ προσπεσοῦσαι ξυνεπισπάσωνται καὶ τὸ τῆς ψυχῆς ἅπαν κύτος, τόθ' αὖται κρατούμεναι κρατεῖν δοκοῦσι. καὶ διὰ δὴ ταῦτα πάντα τὰ παθήματα νῦν κατ' ἀρχάς τε ἄνοιας ψυχὴ γίγνεται τὸ πρῶτον, 2(
ὅταν εἰς σῶμα ἐνδεθῇ θνητόν· ὅταν δὲ τὸ τῆς αὔξης

xit, possunt, omni revolutionis genere torqueant, omnesque anfractus et varietates orbium, quotcunque contingere queunt, inducant: ita ut ambitus ipsi, vix sibi invicem connexi, ferantur quidem, sed sine ratione ferantur, tum contra, tum ex obliquo, tum resupina quadam dispositione. ceu si quis caput pro pedibus humi figat, pedes vero pro capite tollat in altum: tunc arbitror tam eius, qui sic affectus est, quam eorum, qui spectant, dexterae partes sinistrae, et contra sinistrae dexterae sibi invicem esse videntur. itaque cum hoc ipsum ceterave huiusmodi animi quoque ambitus maxime
(patiuntur, si tunc in extrinsecum aliquid eiusdem ipsius vel alterius generis inciderint, falso, quid idem alicui sit quidve alterum ab aliquo, iudicant: ideoque mendaces tunc dementesque sunt, nec ullus princeps et dux in eis tunc est circuitus. cumque extra positi sensus pulsaverint animam vehementius, totamque eam possederint, tunc illi, subiugati quidem et servientes, dominari videntur. quas ob res ab initio anima, cum mortalis corporis vinclis includitur, amens efficitur. at postquam nutritionis et augumenti rivus

καὶ τροφῆς ἔλαττον ἐπίῃ ῥεῦμα, πάλιν δὲ αἱ περίοδοι λαμβανόμεναι γαλήνης τὴν ἑαυτῶν ὁδὸν ἴωσι καὶ καθιζῶνται μᾶλλον ἐπιόντος τοῦ χρόνου, τότε ἤδη πρὸς τὸ κατὰ φύσιν ἰόντων σχῆμα ἑκάστων τῶν κύκλων αἱ περιφοραὶ κατευθυνόμεναι, τό τε θάτερον καὶ τὸ ταὐτὸν προσαγορεύουσαι κατ' ὀρθόν, ἔμφρονα τὸν ἔχοντα αὐτὰς γιγνόμενον ἀποτελοῦσιν. ἂν μὲν οὖν δὴ καὶ ξυνεπιλαμβάνηταί τις ὀρθὴ τροφὴ παιδεύσεως, ὁλόκληρος ὑγιής τε παντελῶς, τὴν μεγίστην ἀποφυγὼν νόσον, γίγνεται· καταμελήσας δέ, χωλὴν τοῦ βίου διαπορευθεὶς ζωήν, ἀτελὴς καὶ ἀνόητος εἰς Ἅιδου πάλιν ἔρχεται. ταῦτα μὲν οὖν ὕστερά ποτε γίγνεται· περὶ δὲ τῶν νῦν προτεθέντων δεῖ διελθεῖν ἀκριβέστερον. τὰ δὴ πρὸ τούτων, περὶ σωμάτων κατὰ μέρη τῆς γενέσεως καὶ περὶ ψυχῆς, δι' ἃς τε αἰτίας καὶ προνοίας γέγονε θεῶν, τοῦ μάλιστα εἰκότος ἀντεχομένοις, οὕτω καὶ κατὰ ταῦτα πορευομένοις διεξιτέον.

Τὰς μὲν δὴ θείας περιόδους δύο οὔσας, τὸ τοῦ παντὸς σχῆμα ἀπομιμησάμενοι περιφερὲς ὄν, εἰς σφαιροειδὲς σῶμα ἐνέδησαν, ταῦτο ὃ νῦν κεφαλὴν ἐπονομάζομεν, ὃ θειότατόν τ' ἐστὶ καὶ τῶν ἐν ἡμῖν πάντων δεσποτοῦν. ᾧ καὶ πᾶν τὸ σῶμα παρέδοσαν ὑπη-

lenius minusque fluit, animaeque circuitus tranquilliore motu iter suum peragunt, processuque temporis sedatiores fiunt, et in figuram naturae suae congruam restituuntur: tunc singulorum circulorum directae conversiones eiusdem et alterius naturam probe discernunt, hominemque sic institutum prudentem efficiunt. quod si quis educationi rectaeque nutritioni disciplinam quoque et eruditionem convenientem adiunxerit, morbo gravissimo devitato sanus et integer prorsus evadet: sin autem neglexerit, claudum vitae iter ingressus, tanquam mancus et omnino inutilis rursus ad inferos decidit. sed haec quidem post ortum contingunt. nunc vero de prima hominis compositione exactius disserendum, ac probabili ratione monstrandum, qua causa et providentia Deorum singula membra corporis ad singula animae officia sint accommodata. Principio Dii figuram capitis ad rotunditatem mundi finxere, in eoque duos illos animae divinos circuitus statuerunt. est autem caput membrum corporis divinissimum reliquorumque membrorum princeps: cui totum corpus connexum Dii subesse et pa-

ρεσίαν αὐτῷ ξυναθροίσαντες θεοί, κατανοήσαντες ὅτι πασῶν ὅσαι κινήσεις ἔσοιντο μετέχοι· ἵν' οὖν μὴ κυλινδούμενον ἐπὶ γῆς ὕψη τε καὶ βάθη παντοδαπὰ ἐχούσης ἀποροῖ τὰ μὲν ὑπερβαίνειν, ἔνθεν δὲ ἐκβαίνειν, ὄχημ' αὐτῷ τοῦτο καὶ εὐπορίαν ἔδοσαν. ὄθεν δὴ μῆκος τὸ σῶμα ἔσχεν, ἑκτατά τε κῶλα καὶ καμπτὰ ἔφυσε τέτταρα· θεοῦ μηχανησαμένου πορεῖα, οἷς ἀντιλαμβανόμενον καὶ ἀπερειδόμενον διὰ πάντων τόπων πορεύεσθαι δυνατὸν γέγονε τὴν τοῦ θειοτάτου καὶ
45 ἱερωτάτου φέρον οἴκησιν ἐπάνωθεν ἡμῶν. σκέλη μὲν 1
οὖν χεῖρές τε ταύτῃ καὶ διὰ ταῦτα προσέφυ πᾶσι· τοῦ δ' ὄπισθεν τὸ πρόσθεν τιμιώτερον καὶ ἀρχικώτερον νομίζοντες θεοὶ ταύτῃ τὸ πολὺ τῆς πορείας ἡμῖν ἔδοσαν. ἔδει δὴ διωρισμένον ἔχειν καὶ ἀνόμοιον τοῦ σώματος τὸ πρόσθεν ἄνθρωπον. διὸ πρῶτον μὲν περὶ τὸ τῆς κεφαλῆς κύτος, ὑποθέντες αὐτόσε τὸ πρόσωπον, ὄργανα ἐνέδησαν τούτῳ πάσῃ τῇ τῆς ψυχῆς προνοίᾳ, καὶ διετάξαντο μέτοχον ἡγεμονίας τοῦτ' εἶναι τὸ κατὰ φύσιν πρόσθεν. τῶν δὲ ὀργάνων πρῶτον μὲν φωσφόρα ξυνε-
τεκτήναντο ὄμματα, τοιᾷδε ἐνδήσαντες αἰτίᾳ. τοῦ πυ- 2

rere iusserunt. excogitaverunt enim motuum omnium, quotcunque esse queant, compos id fore. cum vero inaequalis et aspera ac partim quidem acclivis, partim declivis terra sit, si humi caput serperet perque terrae superficiem volveretur, hos anfractus sine offensione transire non posset. quod sane malum ut vitaretur, procerum hunc habitum corporis ad faciliorem progressum Dii pro vehiculo capiti subiecerunt. corpori praeterea quatuor in longum porrecta et flexibilia membra annexuerunt, quibus facile divina providentia moveretur, apprehenderet videlicet obiecta quaeque, staret et sisteret perque omnia graderetur, caput superne substruens divinissimi sacratissimique habitaculum. hanc igitur ob causam nobis crura manusque dedere. anteriores autem partes posterioribus praestantiores et ad imperandum aptiores arbitrati, in anteriorem quoque partem moveri nos ut plurimum voluerunt. oportebat porro anteriora discreta et dissimilia esse. quapropter primum globo capitis faciem adiecere, facieique instrumenta, quae adminicularentur omni animae providentiae, assignaverunt, decreveruntque naturale hominis imperium in hac parte anteriori priorique consistere. sed ex omnibus faciei partibus primi luciferi oculorum orbes coruscant, hac de causa dati. ignis certe illius, qui

ρὸς ὅσον τὸ μὲν κάειν οὐκ ἔσχε, τὸ δὲ παρέχειν φῶς ἥμερον, οἰκεῖον ἑκάσης ἡμέρας, σῶμα ἐμηχανήσαντο γίγνεσθαι. τὸ γὰρ ἐντὸς ἡμῶν ἀδελφὸν ὂν τούτου πῦρ εἰλικρινὲς ἐποίησαν διὰ τῶν ὀμμάτων ῥεῖν λεῖον καὶ πυκνὸν ὅλον μέν, μάλιστα δὲ τὸ μέσον ξυμπιλήσαντες τῶν ὀμμάτων, ὥστε τὸ μὲν ἄλλο ὅσον παχύτερον σέγειν πᾶν, τὸ τοιοῦτον δὲ μόνον αὐτὸ καθαρὸν διιέναι. ὅταν οὖν μεθημερινὸν ᾖ φῶς περὶ τὸ τῆς ὄψεως ῥεῦμα, τότε ἐκπῖπτον ὅμοιον πρὸς ὅμοιον, ξυμπαγὲς γενόμενον, ἓν σῶμα οἰκειωθὲν ξυνέζη κατὰ τὴν τῶν ὀμμάτων εὐθυωρίαν, ὅπῃ περ ἂν ἀντερείδῃ τὸ προσπῖπτον ἔνδοθεν πρὸς ὃ τῶν ἔξω ξυνέπεσεν. ὁμοιοπαθὲς δὴ δι' ὁμοιότητα πᾶν γενόμενον, ὅτου τε ἂν αὐτό ποτε ἁφάπτηται καὶ ὃ ἂν ἄλλο ἐκείνου, τούτων τὰς κινήσεις διαδιδὸν εἰς ἅπαν τὸ σῶμα μέχρι τῆς ψυχῆς αἴσθησιν παρέσχετο ταύτην, ᾗ δὴ ὁρᾶν φαμέν. ἀπελθόντος δὲ εἰς νύκτα τοῦ ξυγγενοῦς πυρὸς ἀποτέτμηται· πρὸς γὰρ ἀνόμοιον ἐξιὸν ἀλλοιοῦταί τε αὐτὸ καὶ κατασβέννυται, ξυμφυὲς οὐκέτι τῷ πλησίον ἀέρι γιγνόμενον, ἅτε πῦρ οὐκ ἔχοντι. παύεταί τε οὖν ὁρῶν, ἔτι τε ἐπαγωγὸν γίγνεται ὕπνου· σωτηρίαν γὰρ ἣν οἱ θεοὶ τῆς ὄψεως

nou urit quidem, sed illuminando suaviter diem invehit mundo, participes oculorum orbes Dii fecerunt. intimum siquidem nostri corporis ignem, huius ignis germanum sincerumque, per oculos emanare voluerunt, in quibus lenis congestusque ubique ignis huiusmodi sit, sed per eorum duntaxat solidiorem angustamque medietatem ignis purior evolet, crassior vero cohibeatur. itaque cum diurnum lumen applicat se visus radio, tunc ea duo inter se similia concurrentia atque commixta, quo oculorum acies diriguntur, ibi in unius iam domestici corporis cohaerent speciem, ubicunque videlicet tam intimi quam externi luminis fit concursus. totum igitur hoc propter similitudinem passionem eandem sortitum, cum quid aliud tangit vel ipsum ab alia tangitur, motum huiusmodi ad corpus omne perque id ad animam usque diffundens, sensum efficit, qui visus vocatur. at postquam in noctem discesserit cognatus ignis, visionis radius evanescit. nam in aërem sibi dissimilem erumpens permutatur atque exstinguitur, cum nullam habeat cum proximo aëre, utpote ignis splendore carente, naturae communionem. itaque videre desinit, somnumque inducit. etenim

ἐμηχανήσαντο, τὴν τῶν βλεφάρων φύσιν, ὅταν ταῦτα ξυμμύσῃ, καθείργνυσι τὴν τοῦ πυρὸς ἐντὸς δύναμιν, ἡ δὲ διαχεῖ τε καὶ ὁμαλύνει τὰς ἐντὸς κινήσεις, ὁμαλυνθεισῶν δὲ ἡσυχία γίγνεται, γενομένης δὲ πολλῆς μὲν ἡσυχίας βραχυόνειρος ὕπνος ἐμπίπτει, καταλειφθεισῶν δέ τινων κινήσεων μειζόνων, οἷαι καὶ ἐν οἷοις ἂν τύποις λείπωνται, τοιαῦτα καὶ τοσαῦτα παρέ-
46 σχοντο ἀφομοιωθέντα ἐντὸς ἔξω τε ἐγερθεῖσιν ἀπομνημονευόμενα φαντάσματα. τὸ δὲ περὶ τὴν τῶν κατόπτρων εἰδωλοποιίαν, καὶ πάντα ὅσα ἐμφανῆ καὶ 1
λεῖα, κατιδεῖν οὐδὲν ἔτι χαλεπόν· ἐκ γὰρ τῆς ἐντὸς ἐκτός τε τοῦ πυρὸς ἑκατέρου κοινωνίας ἀλλήλοις, ἑνός τε αὖ περὶ τὴν λειότητα ἑκάστοτε γενομένου καὶ πολλαχῇ μεταῤῥυθμισθέντος, πάντα τὰ τοιαῦτα ἐξ ἀνάγκης ἐμφαίνεται, τοῦ περὶ τὸ πρόσωπον πυρὸς τῷ περὶ τὴν ὄψιν πυρὶ περὶ τὸ λεῖον καὶ λαμπρὸν ξυμπαγοῦς γιγνομένου. δεξιὰ δὲ φαντάζεται τὰ ἀριστερά, ὅτι τοῖς ἐναντίοις μέρεσι τῆς ὄψεως περὶ τἀναντία μέρη γίγνεται ἐπαφὴ παρὰ τὸ καθεστὸς ἔθος τῆς προσβολῆς· δεξιὰ δὲ τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ ἀριστερὰ τοὐναντίον, 2
ὅταν μεταπέσῃ ξυμπηγνύμενον ᾧ ξυμπήγνυται φῶς·

salubre palpebrarum tegmen Dii oculis machinati sunt, quibus obductis vis illa ignis intimi conniventia tegminis coërcetur, compressaque interiores motus perfundit et mulcet: quibus relaxatis atque mollitis quies oritur. si profundus ob multam quietem motuum nos occupat sopor, exigua sequuntur insomnia. sin vehementiores aliqui motus quasi vigiliarum reliquiae relicti sint, quales quidem et qualibus ex locis haustae reliquiae sunt, talia somniorum simulacra nascuntur, eorumque nobis expergefactis restat memoria. at vero simulacrorum, quae vel in speculis oboriuntur vel in perspicua laevique cernuntur superficie, facilis assecutio est. nam ex utriusque ignis, tam intimi quam extra positi, communione, eiusque rursus concursu et congruentia, qui passim terso laevique corpori accommodatus est, necessario haec omnia oriuntur, cum ignis oculorum cum eo igne, qui est e conspectu effusus, circa laeve nitidumque corpus sese confudit. Dextera vero videntur, quae laeva sunt, quia contrariis partibus oculorum insolito more contrarias partes attingimus. respondent autem dextera dextris, laeva laevis, quando commixtum lumen cum eo, cui permiscetur, tran-

τοῦτο δέ, ὅταν ἡ τῶν κατόπτρων λειότης, ἔνθεν καὶ ἔνθεν ὕψη λαβοῦσα, τὸ δεξιὸν εἰς τὸ ἀριστερὸν μέρος ἀπώσῃ τῆς ὄψεως καὶ θάτερον ἐπὶ θάτερον. κατὰ δὲ τὸ μῆκος σραφὲν τοῦ προσώπου ταὐτὸν τοῦτο ὕπτιον ἐποίησε πᾶν φαίνεσθαι, τὸ κάτω πρὸς τὸ ἄνω τῆς αὐγῆς τό τ' ἄνω πρὸς τὸ κάτω πάλιν ἀπῶσαν. ταῦτ' οὖν πάντ' ἔξι τῶν ξυναιτίων, οἷς θεὸς ὑπηρετοῦσι χρῆται τὴν τοῦ ἀρίστου κατὰ τὸ δυνατὸν ἰδέαν ἀποτελῶν· δοξάζεται δὲ ὑπὸ τῶν πλείστων οὐ ξυναίτια ἀλλ' αἴτια εἶναι τῶν πάντων, ψύχοντα καὶ θερμαίνοντα πηγνύντα τε καὶ διαχέοντα καὶ ὅσα τοιαῦτα ἀπεργαζόμενα. λόγον δὲ οὐδένα οὐδὲ νοῦν εἰς οὐδὲν δυνατὰ ἔχειν ἐξί. τῶν γὰρ ὄντων ᾧ νοῦν μόνῳ κτᾶσθαι προσήκει, λεκτέον ψυχήν· τοῦτο δὲ ἀόρατον, πῦρ δὲ καὶ ὕδωρ καὶ ἀὴρ καὶ γῆ σώματα πάντα ὁρατὰ γέγονε. τὸν δὲ νοῦ καὶ ἐπιστήμης ἐραστὴν ἀνάγκη τὰς τῆς ἔμφρονος φύσεως αἰτίας πρώτας μεταδιώκειν, ὅσαι δὲ ὑπ' ἄλλων μὲν κινουμένων, ἕτερα δ' ἐξ ἀνάγκης κινούντων γίγνονται, δευτέρας. ποιητέον δὴ κατὰ ταῦτα καὶ ἡμῖν· λεκτέα μὲν ἀμφότερα τὰ τῶν αἰτιῶν γένη, χωρὶς δ' ὅσαι μετὰ

silit: id fit, cum speculorum laevitas hinc illincque altitudinem assumpsit. et ita dextram oculorum partem in laevam speculi laevamque in dextram detorsit. quod si speculum ad vultus longitudinem convertatur, vultum reddidit resupinum, cum superior luminis pars ad inferiora, inferior vero ad superiora vertatur. atque haec omnia ex eorum genere sunt, quae principales rerum adiuvant causas, quibus ut ministris utitur Deus ad optimi, quoad fieri potest, ideam perficiendam. sed existimant plerique non adminicula haec principalium causarum, sed has ipsas esse omnium causas, quae frigoris et caloris, rari et densi, ceterorumque similium naturam habeant, rationem vero mentemque nequaquam. mentem enim a nulla re alia, nisi ab anima, possideri convenit. haec vero aspectum effugit oculorum. sed ignis, aqua, aër ac terra corpora sunt atque cernuntur. oportet autem mentis et scientiae amatorem principales sapientis naturae causas quaerere: atque eas, quae necessario ab aliis quidem moventur, alia vero movent, secundas causas arbitrari. quocirca a nobis sic censeo faciendum, ut de utroque causarum genere disseramus, separatim au-

νοῦ καλῶν καὶ ἀγαθῶν δημιουργοὶ καὶ ὅσαι μονωθεῖσαι φρονήσεως τὸ τυχὸν ἄτακτον ἑκάστοτε ἐξεργάζονται. τὰ μὲν οὖν τῶν ὀμμάτων συμμεταίτια πρὸς τὸ σχεῖν τὴν δύναμιν ἣν νῦν εἰλήχεν εἰρήθω· τὸ δὲ μέγιστον
47 αὐτῶν εἰς ὠφέλειαν ἔργον, δι' ὃ θεὸς αὖθ' ἡμῖν δεδώρηται, μετὰ τοῦτο ῥητέον. ὄψις δὴ κατὰ τὸν ἐμὸν λόγον αἰτία τῆς μεγίστης ὠφελείας γέγονεν ἡμῖν, ὅτι τῶν νῦν λόγων περὶ τοῦ παντὸς λεγομένων οὐδεὶς ἄν ποτε ἐρρήθη μήτε ἄστρα μήτε ἥλιον μήτ' οὐρανὸν ἰδόντων. νῦν δ' ἡμέρα τε καὶ νὺξ ὀφθεῖσαι μῆνές τε καὶ 1
ἐνιαυτῶν περίοδοι μεμηχάνηνται μὲν ἀριθμόν, χρόνου δὲ ἔννοιαν περί τε τῆς τοῦ παντὸς φύσεως ζήτησιν ἐδοσαν· ἐξ ὧν ἐπορισάμεθα φιλοσοφίας γένος, οὔ μεῖζον ἀγαθὸν οὔτ' ἦλθεν οὔθ' ἥξει ποτὲ τῷ θνητῷ γένει δωρηθὲν ἐκ θεῶν. λέγω δὴ τοῦτο ὀμμάτων μέγιστον ἀγαθόν· τἄλλα δέ, ὅσα ἐλάττω, τί ἂν ὑμνοῖμεν; ὧν ὁ μὴ φιλόσοφος τυφλωθεὶς ὀδυρόμενος ἂν ἀρηνοῖ μάτην. ἀλλὰ τοῦτο λεγέσθω παρ' ἡμῶν, αὕτη ἐπὶ ταῦτα αἰτία, θεὸν ἡμῖν ἀνευρεῖν δωρήσασθαί τε ὄψιν, ἵνα 2
τὰς ἐν οὐρανῷ κατιδόντες τοῦ νοῦ περιόδους χρησαίμεθα ἐπὶ τὰς περιφορὰς τὰς τῆς παρ' ἡμῖν διανοήσεως.

eum de his, quae cum intelligentia effectricis sunt pulchrarum rerum atque bonarum, et de iis rursus, quae vacantes prudentia quodlibet passim sine ordine faciunt. at de secundis quidem causis oculorum, ad eam vim, quam habent, conducentibus, satis esse dictum puto: maximum vero opus, cujus gratia utiliter nobis a Deo donati sunt, deinceps explicandum censeo. rerum enim optimarum, ut arbitror, cognitionem nobis oculi attulerunt. nam haec, quae de mundo disputantur, nunquam inventa essent, si neque sidera neque sol neque coelum suspici potuissent: cognitio vero diei ac noctis, ab oculis orta, fecit, ut dinumeratione quadam mensium annorumque ambitus metiremur, tempus cognosceremus, universae naturae ordinem scrutaremur. quibus ex rebus philosophiam adepti sumus: quo bono nihil unquam maius mortalium generi datum est Deorum munere, neque dabitur. hoc igitur maximum oculorum beneficium esse dico: minora alia praetereo. quibus, qui a philosophia alieni sunt, orbati si querantur, frustra querentur. nobis vero asserendum est ob hanc potissimum rationem Deum oculos genuisse, ut mentis circuitus, qui in coelo peraguntur, intuiti in usum redigamus nostrae mentis, cogitatio-

ξυγγενεῖς ἐκείναις οὔσας, ἀταράκτοις τεταραγμένας, ἐμαθόντες δὲ καὶ λογισμῶν κατὰ φύσιν ὀρθότητος μετασχόντες, μιμούμενοι τὰς τοῦ θεοῦ πάντως ἀπλανεῖς οὔσας, τὰς ἐν ἡμῖν πεπλανημένας κατασησαίμεθα. Φωνῆς τε δὴ καὶ ἀκοῆς πέρι πάλιν ὁ αὐτὸς λόγος, ἐπὶ ταὐτὰ τῶν αὐτῶν ἕνεκα παρὰ θεῶν δεδωρῆσθαι. λόγος τε γὰρ ἐπ' αὐτὰ ταῦτα τέτακται, μεγίστην ξυμβαλλόμενος εἰς αὐτὰ μοῖραν, ὅσον τ' αὖ μουσικῆς φωνῆς χρήσιμον, πρὸς ἀκοὴν ἕνεκα ἁρμονίας ἐξ ἰσοθέν· ἡ δὲ ἁρμονία, ξυγγενεῖς ἔχουσα φορὰς ταῖς ἐν ἡμῖν τῆς ψυχῆς περιόδοις, τῷ μετὰ νοῦ προσχρωμένῳ Μούσαις οὐκ ἐφ' ἡδονὴν ἄλογον, καθά περ νῦν, εἶναι δοκεῖ χρήσιμος, ἀλλ' ἐπὶ τὴν γεγονυῖαν ἐν ἡμῖν ἀνάρμοστον ψυχῆς περίοδον εἰς κατακόσμησιν καὶ συμφωνίαν ἑαυτῇ ξύμμαχος ὑπὸ Μουσῶν δέδοται· καὶ ῥυθμὸς αὖ διὰ τὴν ἄμετρον ἐν ἡμῖν καὶ χαρίτων ἐπιδεᾶ γιγνομένην ἐν τοῖς πλείοσιν ἕξιν ἐπίκουρος ἐπὶ ταῦτα ὑπὸ τῶν αὐτῶν ἐδόθη.

Τὰ μὲν οὖν παρελήλυθότα τῶν εἰρημένων, πλὴν βραχέων, ἐπιδέδεικται τὰ διὰ νοῦ δεδημιουργημένα· δεῖ δὲ καὶ τὰ δι' ἀνάγκης γιγνόμενα τῷ λόγῳ παρα-

nisque nostrae discursiones illis cognatas, sed perturbatas quodammodo ad illorum temperiem revocemus. et cum illos agnoverimus, et recta ratione secundum naturam praediti singulorum ordinem perceperimus, conversiones Dei, quae sine ullo errore aguntur, imitemur, atque ad earum exemplum discursiones nostrae cogitationis vagas et erraticas componamus. Vocem quoque auditumque eiusdem rei gratia Deos dedisse nobis existimo. nam ad haec ipsa sermo pertinet, plurimumque conducit; omnisque musicae vocis usus harmoniae gratia est tributus. atqui et harmonia, quae motiones habet animae nostrae discursionibus congruas atque cognatas, homini prudenter Musis utenti non ad voluptatem rationis expertem, ut nunc videtur, est utilis: sed a Musis ideo data est, ut per eam dissonantem circuitum animae componamus et ad concentum sibi congruum rediganus. rhythmus quoque ad hoc videtur esse tributus, ut habitum in nobis immoderatum gratiaque carentem aptissime temperemus. Hactenus opera mentis, quae excepta, tractavimus. oportet autem de his quoque, quae

48 θέσθαι. μεμιγμένη γὰρ οὖν ἡ τοῦδε τοῦ κόσμου γένεσις ἐξ ἀνάγκης τε καὶ νοῦ συστάσεως ἐγεννήθη· νοῦ δὲ ἀνάγκης ἄρχοντος τῷ πείθειν αὐτὴν τῶν γιγνομένων τὰ πλεῖστα ἐπὶ τὸ βέλτιστον ἄγειν, ταύτῃ κατὰ ταῦτά τε δι' ἀνάγκης ἡττωμένης ὑπὸ πειθοῦς ἔμφρονος οὕτω κατ' ἀρχὰς ξυνίστατο τόδε τὸ πᾶν. εἴ τις οὖν ᾗ γέγονε, κατὰ ταῦτα ὄντως ἐρεῖ, μικτέον καὶ τὸ τῆς πλανωμένης εἶδος αἰτίας, ᾗ φέρειν πέφυκεν. ὧδε οὖν πάλιν ἀναχωρητέον, καὶ λαβοῦσιν αὐτῶν τούτων προσῆκουσαν ἀρχὴν ἑτέραν αὖθις αὖ, καθά περ περὶ τῶν 1
τότε, νῦν οὕτω περὶ τούτων πάλιν ἀρκτέον ἀπ' ἀρχῆς. τὴν δὴ πρὸ τῆς οὐρανοῦ γενέσεως πυρὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς φύσιν θεατέον αὐτήν καὶ τὰ πρὸ τούτου πάθη. νῦν γὰρ οὐδείς πω γένεσιν αὐτῶν μεμήνυκεν, ἀλλ' ὡς εἰδόσι πῦρ ὅ τί ποτε ἔστι καὶ ἕκαστον αὐτῶν λέγομεν ἀρχὰς αὐτὰ τιθέμενοι στοιχεῖα τοῦ παντός, προσῆκον αὐτοῖς οὐδ' ὡς ἐν συλλαβῆς εἴδεσι μόνον εἰκότως ὑπὸ τοῦ καὶ βραχὺ φρονοῦντος ἀπεικασθῆναι. νῦν δὲ οὖν τό γε παρ' ἡμῶν ὧδε ἐχέτω· τὴν μὲν περὶ ἁπάντων εἴτε ἀρχὴν εἴτε ἀρχὰς εἴτε ὅπῃ δοκεῖ τούτων πέρι, 2
τὸ νῦν οὐ ῥητέον, δι' ἄλλο μὲν οὐδέν, διὰ δὲ τὸ χα-

necessitas invehit, dicere. mundi enim huius generatio ex necessitatis mentisque coetu mixta est. nam cum mens necessitati dominaretur, propterea quod persuadendo eam ad optimos ut plurimum rerum eventus induceret, ipsaque hac ratione cedens sapienti persuasioni pareret, mundi huius exordia constiterunt. oportet igitur eum, qui mundi constitutionem vere narraturus erit, erraticae quoque causae speciem pro naturae ipsius instinctu miscere. quod ita commode fiet, si horum ipsorum convenienti principio sumpto, sic de his, quemadmodum de superioribus, ab ipsa rursus origine disseramus. naturam ergo et passiones ignis, aquae, aëris atque terrae, generationem coeli praecedentes, consideremus. nullus profecto ad hoc usque tempus eorum generationem ostendit: sed quasi notum sit, quid sit ignis et reliqua, sic de illis verba facimus, eaque mundi primordia constituimus, cum nec syllabarum quidem, nedum elementorum, vicem tenere apud homines mentis quoquo modo compotes debeant. nos vero in praesenti nihil de principio universorum, sive principiis, sive quomodocunque aliter id appelletur, dicendum putamus. cui quidem disputationi nihil

λεπὸν εἶναι κατὰ τὸν παρόντα τρόπον τῆς διεξόδου δηλῶσαι τὰ δοκοῦντα. μήτ' οὖν ὑμεῖς οἴεσθε δεῖν ἐμὲ λέγειν, οὔτ' αὐτὸς αὖ πείθειν ἐμαυτὸν εἴην ἂν δυνατὸς ὡς ὀρθῶς ἐγχειροῦμι' ἂν τοσοῦτον ἐπιβαλλόμενος ἔργον. τὸ δὲ κατ' ἀρχὰς ῥηθὲν διαφυλάττων, τὴν τῶν εἰκότων λόγων δύναμιν, πειράσομαι μηδενὸς ἧττον εἰκότα, μᾶλλον δὲ καὶ ἔμπροσθεν ἀπ' ἀρχῆς περὶ ἑκάστων καὶ ξυμπάντων λέγειν. θεὸν δὴ καὶ νῦν ἐπ' ἀρχῇ τῶν λεγομένων σωτῆρα ἐξ ἀτόπου καὶ ἀήθους διηγήσεως πρὸς τὸ τῶν εἰκότων δόγμα διασώζειν ἡμᾶς ἐπικαλεσάμενοι πάλιν ἀρχώμεθα λέγειν.

Ἡ δ' οὖν αὖθις ἀρχὴ περὶ τοῦ παντὸς ἔξω μειζόνως τῆς πρόσθεν διηρημένη. τότε μὲν γὰρ δύο εἴδη διειλόμεθα, νῦν δὲ τρίτον ἄλλο γένος ἡμῖν δηλωτέον. τὰ μὲν γὰρ δύο ἱκανὰ ἦν ἐπὶ τοῖς ἔμπροσθεν λεχθεῖσιν, ἓν μὲν ὡς παραδείγματος εἶδος ὑποτεθέν, νοητὸν καὶ ἀεὶ κατὰ ταὐτὰ ὄν, μίμημα δὲ παραδείγματος δεύτερον, γένεσιν ἔχον καὶ ὁρατόν. τρίτον δὲ τότε μὲν οὐ διειλόμεθα, νομίσαντες τὰ δύο ἔξειν ἱκανῶς· νῦν δὲ ὁ λόγος ἔοικεν εἰσαναγκάζειν χαλεπὸν καὶ ἀμυδρὸν εἶδος ἐπιχειρεῖν λόγοις ἐμφανίσαι. τίνα οὖν ἔχον

aliud impedimento est, nisi quod difficile sit praesenti disputandi modo, quae de his videntur, exprimere. neque igitur vos id exspectabitis, neque ego mihi persuadebo recte me tantum opus aggredi posse. quod autem ab initio dixi, verisimilitudinis vim servabimus, studebimusque in rationibus verisimilibus circa haec assignandis nulli cedere: atque ita singula et universa a principio exponemus. deum igitur etiam nunc, disputationis servatorem, in primis oremus, ut nos ex admirabili et insolita expositione ad verisimilem doctrinam traducat: atque ita instituti disputationem exordiamur. sed hanc de universo disputationem ab ampliori divisione, quam supra, ducamus. tunc enim duas in species facta divisio est: nunc tertium genus addendum. duo enim in superioribus sufficiebant, unum quidem exemplaris loco, semper idem solaque intelligentia comprehendendum: alterum simulacrum ab hoc exemplari deductum, generationi oculisque subiectum. cum vero duo haec sufficere putaremus, tertium non adiunximus. nunc autem cogere nos ratio videtur, ut difficilem et obscuram speciem declarare conemur. quam igitur vim, quamve naturam habere putan-

δύναμιν κατὰ φύσιν αὐτὸ ὑποληπτέον; τοιάνδε μάλιστα, πάσης εἶναι γενέσεως ὑποδοχὴν αὐτό, οἷον τιθήνην. εἴρηται μὲν οὖν τἀληθές, δεῖ δ' ἐναργέστερον εἰπεῖν περὶ αὐτοῦ. χαλεπὸν δὲ ἄλλως τε καὶ διότι προαπορηθῆναι περὶ πυρὸς καὶ τῶν μετὰ πυρὸς ἀναγκαῖον τούτου χάριν· τούτων γὰρ εἰπεῖν ἕκαστον, ὁποῖον ὄντως ὕδωρ χρὴ λέγειν μᾶλλον ἢ πῦρ καὶ ὁποῖον ὁτιοῦν μᾶλλον ἢ καὶ ἅπαντα καθ' ἕκαστόν τε, οὕτως ὥς τέ τινι πιστῷ καὶ βεβαίῳ χρήσασθαι λόγῳ, χαλεπόν. πῶς οὖν δὴ τοῦτ' αὐτὸ καὶ πῇ καὶ τί περὶ αὐτῶν εἰκότως διαπορηθέντες ἂν λέγοιμεν; πρῶτον μὲν ὃ δὴ νῦν ὕδωρ ὠνομάκαμεν, πηγνύμενον, ὡς δοκοῦμεν, λίθους καὶ γῆν γιγνόμενον ὁρῶμεν, τηκόμενον δὲ καὶ διακρινόμενον αὖ ταὐτὸν τοῦτο πνεῦμα καὶ ἀέρα, ξυγκαυθέντα δὲ ἀέρα πῦρ, ἀνάπαλιν δὲ πῦρ συγκριθὲν καὶ καταβεσθὲν εἰς ἰδέαν τε ἀπιὸν αὖθις ἀέρος, καὶ πάλιν ἀέρα ξυνιόντα καὶ πυκνούμενον νέφος καὶ ὁμίχλην, ἐκ δὲ τούτων ἔτι μᾶλλον ξυμπιλουμένων ῥέον ὕδωρ, ἐξ ὕδατος δὲ γῆν καὶ λίθους αὖθις, κύκλον τε οὕτω διαδιδόντα εἰς ἄλληλα, ὡς φαίνεται, τὴν γένεσιν. οὕτω δὴ τούτων οὐδέποτε τῶν αὐτῶν ἑκάστων φανταζομένων,

dum? hanc utique, generationis horum omnium receptaculum et quasi nutricem esse. quod quamvis vere dicatur, paulo tamen apertius est dicendum. arduum id quidem, eo maxime, quod ad huius rei demonstrationem dubitare prius necesse est et inquirere de igni et reliquis, quae elementa vocantur, quid istorum aquam potius quam ignem, aut aërem potius quam terram, aut certum aliquid unum magis quam cuncta vocare oporteat. difficile sane certum aliquid et firmum de istis asserere. quonam igitur pacto, et qua ratione? et quid probabile in huiusmodi inquisitione dicemus? principio id corpus, quod modo aquam nominavimus, quando in solidam concrescit materiam, lapis et terra fieri videtur: quando vero liquescit et diffluit, spiritus atque aër. item aër exustus ignis efficitur: ignis exstinctus et corpulentior factus aërem creat. rursus crassior factus aër in nebulas nubesque concrescit. his etiam magis compressis pluviae defluunt. ex aqua rursus terra lapidesque gignuntur. atque ita videmus haec omnia circuitu quodam sibi invicem vises fomentaque generationis vicissim tribuere. quae cum nunquam eadem appareant permanere, quisnam sine rubore re-

ποῖον αὐτῶν ὡς ὂν ὁτιοῦν τοῦτο καὶ οὐκ ἄλλο παγίως διισχυριζόμενος οὐκ αἰσχυνεῖταί τις ἑαυτόν; οὐκ ἔστιν, ἀλλ' ἀσφαλέστατον μακρῷ περὶ τούτων τιθεμένους ὧδε λέγειν· ἀεὶ ὃ καθορῶμεν ἄλλοτε ἄλλῃ γιγνόμενον, ὡς πῦρ, μὴ τοῦτο ἀλλὰ τὸ τοιοῦτον ἑκάστοτε προσαγορεύειν πῦρ, μηδὲ ὕδωρ τοῦτο ἀλλὰ τοιοῦτον ἀεί, μηδὲ ἄλλο ποτὲ μηδὲν ὡς τιν' ἔχον βεβαιότητα, ὅσα δεικνύντες τῷ ῥήματι τῷ τόδε καὶ τοῦτο προσχρώμενοι δηλοῦν ἡγούμεθά τι· φεύγει γὰρ οὐχ ὑπομένον τὴν τοῦ τόδε καὶ τὴν τούτου καὶ τὴν τῷδε καὶ πᾶσαν ὅση μόνιμα ὡς ὄντα αὐτὰ ἐνδείκνυται φάσις. ἀλλὰ ταῦτα μὲν ἕκαστα μὴ λέγειν, τὸ δὲ τοιοῦτον ἀεὶ περιφερόμενον ὅμοιον ἑκάστου πέρι καὶ ξυμπάντων οὕτω καλεῖν· καὶ δὴ καὶ πῦρ τὸ διὰ παντὸς τοιοῦτον, καὶ ἅπαν ὅσον περ ἂν ἔχῃ γένεσιν, ἐν ᾧ δὲ ἐγγιγνόμενα ἀεὶ ἕκαστα αὐτῶν φαντάζεται καὶ πάλιν ἐκεῖθεν ἀπόλλυται, μόνον ἐκεῖνο αὖ προσαγορεύειν τῷ τε τοῦτο καὶ τῷ τόδε προσχρωμένους ὀνόματι, τὸ δὲ ὁποιονοῦν τι, θερμὸν ἢ λευκὸν ἢ καὶ ὁτιοῦν τῶν ἐναντίων, καὶ πάνθ' ὅσα ἐκ τούτων, μηδὲν ἐκεῖνο αὖ τούτων καλεῖν. ἔτι

dargutionisque suspicione poterit istorum aliquid unum potius quam aliud certe et firmiter appellare? nemo certe. quare tutissimus in his hic erit loquendi modus: hoc, quod semper alias aliter formatum videtur, et plerumque iuxta ignis effigiem, non est utique ignis hoc aliquid, sed tale, id est, igneum quiddam; nec aqua hoc aliquid, sed tale quid, id est, aqueum; nec aliud quicquam, velut ullam habens stabilitatem. denique nec pronominibus quidem ullis haec signanda sunt, quibus in rei cuiuslibet demonstratione, cum hoc vel istud dicimus, uti solemus: fugiunt enim, nec exspectant vel eam demonstrationem, quae hoc et huius et huic designat, vel appellationem, quae de his tanquam de exsistentibus et stabilibus habeatur. igitur huiusmodi omnia neque hoc neque istud, sed tale potius aut tale propter similitudinem aliquam appellare debemus. et ignem quidem ubique tale, ac de ceteris, quae gignuntur, eodem pacto. at vero illud, in quo fieri singula haec videntur ac deinde dissolvi, solum iis pronominibus, quibus hoc vel istud signamus, appellandum puto. quale vero quodammodo, calidum scilicet vel album vel aliquid tale contrariorum vel ex contrariis, illud minime appellandum. sed

δὲ σαφέστερον αὐτοῦ πέρι προθυμητέον αὖθις εἰπεῖν. εἰ γὰρ πάντα τις σχήματα πλάσας ἐκ χρυσοῦ μηδὲν μεταπλάττων παύοιτο ἕκαστα εἰς ἅπαντα, δεικνύντος δή τινος αὐτῶν ἓν καὶ προσερομένου τί ποτ' ἐστι, μακρῷ πρὸς ἀλήθειαν ἀσφαλέστατον εἰπεῖν ὅτι χρυσός, τὸ δὲ τρίγωνον ὅσα τε ἄλλα σχήματα ἐνεγίγνετο, μηδέποτε λέγειν ταῦτα ὡς ὄντα, ἅ γε μετιξὺ τιθεμένου μεταπίπτει, ἀλλ' ἐὰν ἄρα καὶ τὸ τοιοῦτον μετ' ἀσφαλείας ἐθέλῃ δέχεσθαί τινος, ἀγαπᾶν. ὁ αὐτὸς δὴ λόγος καὶ περὶ τῆς τὰ πάντα δεχομένης σώματα φύσεως· ταὐτὸν αὐτὴν ἀεὶ προσρητέον· ἐκ γὰρ τῆς ἑαυτῆς τὸ παράπαν οὐκ ἐξίσταται δυνάμεως. δέχεταί τε γὰρ ἀεὶ τὰ πάντα, καὶ μορφὴν οὐδεμίαν ποτὲ οὐδενὶ τῶν εἰσιόντων ὁμοίαν εἴληφεν οὐδαμῇ οὐδαμῶς· ἐκμαγεῖον γὰρ φύσει παντὶ κεῖται, κινούμενόν τε καὶ διασχηματιζόμενον ὑπὸ τῶν εἰσιόντων. φαίνεται δὲ δι' ἐκεῖνα ἄλλοτε ἀλλοῖον. τὰ δὲ εἰσιόντα καὶ ἐξιόντα τῶν ὄντων ἀεὶ μιμήματα, τυπωθέντα ἀπ' αὐτῶν τρόπον τινὰ δύσφραστον καὶ θαυμαστόν, ὃν εἰσαῦθις μέτιμεν. ἐν δ' οὖν τῷ παρόντι χρὴ γένη διανοηθῆναι τρισσά, τὸ μὲν γιγνόμενον, τὸ δ' ἐν ᾧ γίγνεται, τὸ δ' ὅθεν ἀφο-

apertius, quod volumus, exponamus. si quis enim cunctas figuras, ex una eademque auri materia fictas, continue in alias et alias reformet, deque una quadam illarum praesens aliquis, quid sit, quaerat, vere admodum et tutissime respondere possumus aurum illud esse: triangulum verò esse aut aliam figuram earum, quae impressae in eo sunt et continuo permutantur, quasi revera sint, non licet dicere. sola quippe illa responsione, tanquam tutissima, contenti esse debemus. eadem de illa natura, quae cuncta recipit corpora, ratio est: idem semper esse dicenda est, siquidem ex propria potentia recedit nunquam. suscipit enim semper omnia; nec ullam unquam iis similem ullo pacto sibi formam contrahit. omnis sane naturae fictioni subiecta est, agitataque ab ingredientibus et figurata quodammodo, alias aliter se habere videtur: quae vero ingrediuntur et exeunt, vere ac semper exsistentium rerum simulacra sunt, miro et vix explicabili modo ab ipsis rebus, quae vere sunt, figurata, quemadmodum deinceps narrabimus. tria in praesenti genera sumenda sunt: unum, quod gignitur: aliud, in quo gignitur: aliud, a quo similitudinem trahit, quod nascitur. iccirco

μιουμένου φύεται τὸ γιγνόμενον. καὶ δὴ καὶ προσεικάσαι πρέπει τὸ μὲν δεχόμενον μητρί, τὸ δ' ὅθεν πατρί, τὴν δὲ μεταξὺ τούτων φύσιν ἐκγόνῳ, νοῆσαί τε ὡς οὐκ ἂν ἄλλως ἐκτυπώματος ἔσεσθαι μέλλοντος ἰδεῖν ποικίλου πάσας ποικιλίας τοῦτ' αὐτὸ ἐν ᾧ ἐκτυπούμενον ἐνίσαται, γένοιτ' ἂν παρεσκευασμένον εὖ, πλὴν ἄμορφον ὂν ἐκείνων ἁπασῶν τῶν ἰδεῶν ὅσας μέλλοι δέχεσθαί ποθεν. ὅμοιον γὰρ ὂν τῶν ἐπειςιόντων τινὶ τἀ τῆς ἐναντίας τά τε τῆς τὸ παράπαν ἄλλης φύσεως, ὁπότ' ἔλθοι, δεχόμενον κακῶς ἂν ἀφομοιοῖ, τὴν αὑτοῦ παρεμφαῖνον ὄψιν. διὸ καὶ πάντων ἐκτὸς εἰδῶν εἶναι χρεὼν τὸ τὰ πάντα ἐκδεξόμενον ἐν αὑτῷ γένη, καθάπερ περὶ τὰ ἀλείμματα, ὁπόσα εὐώδη, τέχνῃ μηχανῶνται πρῶτον τοῦτ' αὐτὸ ὑπάρχον, ποιοῦσιν ὅτι μάλιστα ἀνώδη τὰ δεξόμενα ὑγρὰ τὰς ὀσμάς· ὅσοι τε ἔν τισι τῶν μαλακῶν σχήματα ἀπομάττειν ἐπιχειροῦσι, τὸ παράπαν σχῆμα οὐδὲν ἔνδηλον ὑπάρχειν ἐῶσι, προομαλύναντες δὲ ὅτι λειότατον ἀπεργάζονται. ταὐτὸν οὖν καὶ τῷ τὰ τῶν πάντων ἀεί τε ὄντων κατὰ πᾶν ἑαυτοῦ πολλάκις ἀφομοιώματα καλῶς μέλλοντι δέχεσθαι πάντων ἐκτὸς αὐτῷ προσήκει πεφυκέναι τῶν εἰδῶν. 51

comparare haec ita decet: quod recipit, matri: unde recipit, patri: naturam istorum mediam proli. sed ita intelligendum est, quod cum esse debeat effigies rerum omni formarum varietate distincta, nunquam illud ipsum formationis huius gremium bene erit praeparatum, nisi informe sit et suapte natura omnibus formis, quas recepturum est, careat. nam si erit alicuius eorum, quae in se recipit, simile, cum contrariam eius, cuius simile est, naturam aut aliam prorsus suscipiet, nequaquam eius similitudinem et effigiem exprimet, cum prae se tulerit suam. quo fit, ut nullam sibi propriam habeat speciem, quod est omnia genera susceptorum. ut qui unguenta suaviter redolentia confecturi sunt, humidam materiam, quam certo condire odore volunt, ita praeparant, ut odorem nullum proprium habeat; et qui materiis mollibus impressionique cedentibus figuras imprimere aliquas volunt, nullam omnino priorem in eis figuram apparere patiuntur, sed exactissima quadam laevigatione eas poliunt: ita illud, quod in omnibus passim aeternorum omnium simulacris recte figurandum est, his omnibus formis natura sua carere necesse est. quamob-

δεύτερον, αἰσθητόν, γεννητόν, πεφορημένον ἀεί, γιγνόμενόν τε ἔν τινι τόπῳ καὶ πάλιν ἐκεῖθεν ἀπολλύμενον, δόξῃ μετ' αἰσθήσεως περιληπτόν· τρίτον δὲ αὖ γένος ὂν τὸ τῆς χώρας ἀεί, φθορὰν οὐ προσδεχόμενον, ἕδραν δὲ παρέχον ὅσα ἔχει γένεσιν πᾶσιν, αὐτὸ δὲ μετ' ἀναισθησίας ἅπτὸν λογισμῷ τινὶ νόθῳ, μόγις πιστόν, πρὸς ὃ δὴ καὶ ὀνειροπολοῦμεν βλέποντες καί φαμεν ἀναγκαῖον εἶναί που τὸ ὂν ἅπαν ἔν τινι τόπῳ καὶ κατέχον χώραν τινά, τὸ δὲ μήτε ἐν γῇ μή τέ που κατ' οὐρανὸν οὐδὲν εἶναι. ταῦτα δὴ πάντα καὶ τούτων ἄλλ' ἀδελφὰ 1
καὶ περὶ τὴν ἄϋπνον καὶ ἀληθῶς φύσιν ὑπάρχουσαν ἀπὸ ταύτης τῆς ὀνειρώξεως οὐ δυνατοὶ γιγνόμεθα ἐγερθέντες διοριζόμενοι τἀληθὲς λέγειν, ὡς εἰκόνι μέν, ἐπεί περ οὐδ' αὐτὸ τοῦτο ἐφ' ᾧ γέγονεν ἑαυτῆς ἐσίν, ἑτέρου δέ τινος ἀεὶ φέρεται φάντασμα, διὰ ταῦτα ἐν ἑτέρῳ προσήκει τινὶ γίγνεσθαι, οὐσίας ἁμῶς γέ πως ἀντεχομένην, ἢ μηδὲν τὸ παράπαν αὐτὴν εἶναι, τῷ δὲ ὄντως ὄντι βοηθὸς ὁ δι' ἀκριβείας ἀληθὴς λόγος, ὡς ἕως ἄν τι τὸ μὲν ἄλλο ᾖ, τὸ δὲ ἄλλο, οὐδέτερον ἐν οὐδετέρῳ ποτὲ γεγενημένον ἓν ἅμα ταὐτὸν καὶ δύο 2

convenit, eiusque similitudinem gerit, genitum, sensibus manifestum, quod fertur et sustentatur ab alio semper, et in aliquo loco gignitur, rursusque inde recidit, opinione per sensus comprehendendum. tertium genus locus est, qui interit quidem nunquam, sed omnibus, quae gignuntur, sedem exhibet. hic sine tangentis sensu tangitur, adulterina quadam ratione vix opinabilis. denique cum ad hunc animo respicimus, somniamus quodammodo, necessariumque putamus, ut, quicquid est, in aliquo sit loco positum regionemque obtineat aliquam; et quod neque in terra neque in coelo sit, minime esse credimus: atque has omnes et similes passiones a pervigili vereque exsistente natura, ipsi huiusmodi somniis occupati, secernere non valemus. ideoque nec discernere id etiam possumus, quod imagini quidem, postquam id ipsum, in quo facta est, non ipsius est, sed ea semper alterius fertur simulacrum, non iniuria convenit, ut in alio quodam sit, atque ita quodammodo essentiae fiat particeps, aliter vero esse nullo modo possit. ei autem, quod vere est, vera haec et exquisita ratio suffragatur, docens quod, dum res ita se habet, ut hoc quidem aliud sit et illud aliud, neutrum in neutro unquam factum unum simul

γενήσεσθον. οὗτος μὲν οὖν δὴ παρὰ τῆς ἐμῆς ψήφου λογισθεὶς ἐν κεφαλαίῳ δεδόσθω λόγος, ὅν τε καὶ χώραν καὶ γένεσιν εἶναι, τρία τριχῇ, καὶ πρὶν οὐρανὸν γενέσθαι· τὴν δὲ γενέσεως τιθήνην ὑγραινομένην καὶ πυρουμένην καὶ τὰς γῆς τε καὶ ἀέρος μορφὰς δεχομένην, καὶ ὅσα τούτοις ἄλλα πάθη ξυνέπεται πάσχουσαν, παντοδαπὴν μὲν ἰδεῖν φαίνεσθαι, διὰ δὲ τὸ μήθ' ὁμοίων δυνάμεων μήτ' ἰσορρόπων ἐμπίπλασθαι. κατ' οὐδὲν αὐτῆς ἰσορροπεῖν, ἀλλ' ἀνωμάλως πάντῃ ταλαντουμένην σείεσθαι μὲν ὑπ' ἐκείνων αὐτήν, κινουμένην δ' αὖ πάλιν ἐκεῖνα σείειν· τὰ δὲ κινούμενα ἄλλα ἄλλοσε ἀεὶ φέρεσθαι διαπρινόμενα, ὥς περ τὰ ὑπὸ τῶν πλοκάνων τε καὶ ὀργάνων τῶν περὶ τὴν τοῦ σίτου κάθαρσιν σειόμενα καὶ ἀναλικνώμενα τὰ μὲν πυκνὰ καὶ βαρέα ἄλλῃ, τὰ δὲ μανὰ καὶ κοῦφα εἰς ἑτέραν ἴζει φερόμενα ἕδραν· τότε οὕτω τὰ τέτταρα γένη σειόμενα ὑπὸ τῆς δεξαμενῆς, κινουμένης αὐτῆς οἷον ὀργάνου σεισμὸν παρέχοντος, τὰ μὲν ἀνομοιότατα πλεῖστον αὐτὰ ἀφ' αὑτῶν ὁρίζειν, τὰ δ' ὁμοιότατα μάλιστα εἰς ταὐτὸν ξυνωθεῖν, διὸ δὴ καὶ χώραν ταῦτα ἄλλα ἄλλην ἴσχειν, πρὶν καὶ τὸ πᾶν ἐξ αὐτῶν διακοσμηθὲν γενέσθαι. καὶ τὸ μὲν δὴ πρὸ τούτου πάντα

idem et duo fient. haec tandem meae mentis summatim sententia sit, esse et ante coeli ortum ratione triplici fuisse tria haec, exsistens, locum et generationem. generationis vero nutricem, ignitam et humefactam, terrae item et aëris formas suscipientem, passionesque horum pedissequas perpetientem, omniformen aspectu videri: verum quia nec similibus neque ad pondus exaequatis viribus referta est, nulla ex parte aequilibrem esse, sed inaequaliter undique vergentem declinantemque ab illis quidem, quae diximus, agitari, rursusque ipsam commotam eadem agitare: quo pulsu concita in diversa raptari atque discerni, perinde ut quae in frumenti purgatione pistoriis instrumentis iactata atque excussa discerni videmus, atque alio solida graviaque, alio rara et levia ferri. sic illa tunc quatuor genera ab ipso eorum receptaculo, instrumenti illius pistoril instar, tumultuante et discernente commota, dissimillima quaeque a dissimillimis longe separabantur, simillima vero rursus coibant: atque iccirco etiam ante mundi exornationem sedibus divisa erant. sed neque his ratio inerat neque modus: at vero

ταῦτ' ἔχειν ἀλόγως καὶ ἀμέτρως· ὅτε δ' ἐπεχειρεῖτο κοσμεῖσθαι τὸ πᾶν, πῦρ πρῶτον καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα, ἴχνη μὲν ἔχοντα αὐτῶν ἄττα, παντάπασι μὴν διακείμενα ὥς περ εἰκὸς ἔχειν ἅπαν ὅταν ἀπῇ τινὸς θεός, οὕτω δὴ τότε πεφυκότα ταῦτα πρῶτον διεσχηματίσατο εἴδεσί τε καὶ ἀριθμοῖς. τὸ δὲ ἧ δυνατὸν ὡς κάλλιστα ἄριστά τε ἐξ οὐχ οὕτως ἐχόντων τὸν θεὸν αὐτὰ ξυνιστάναι, παρὰ πάντα ἡμῖν ὡς ἀεὶ τοῦτο λεγόμενον ὑπαρχέτω. νῦν δ' οὖν τὴν διάταξιν αὐτῶν ἐπιχειρητέον ἑκάστων καὶ γένεσιν ἀῤῥθει λόγῳ πρὸς ὑμᾶς δηλοῦν. ἀλλὰ γὰρ ἐπεὶ μετέχετε τῶν κατὰ παίδευσιν ὁδῶν, δι' ὧν ἐνδείκνυσθαι τὰ λεγόμενα ἀνάγκη, ξυνέψεσθε.

Πρῶτον μὲν δὴ πῦρ καὶ γῆ καὶ ὕδωρ καὶ ἀὴρ ὅτι σώματά ἐστι, δῆλόν που καὶ παντί. τὸ δὲ τοῦ σώματος εἶδος πᾶν καὶ βάθος ἔχει. τὸ δὲ βάθος αὖ πᾶσα ἀνάγκη τὴν ἐπίπεδον περιειληφέναι φύσιν. ἡ δὲ ὀρθὴ τῆς ἐπιπέδου βάσεως ἐκ τριγώνων ξυνέστηκε. τὰ δὲ τρίγωνα πάντα ἐκ δυεῖν ἄρχεται τριγώνοιν, μίαν μὲν ὀρθὴν ἔχοντος ἑκατέρου γωνίαν, τὰς δὲ δύο ὀξείας· ὧν τὸ μὲν ἕτερον ἑκατέρωθεν ἔχει μέρος γωνίας ὀρθῆς πλευραῖς ἴσαις διῃρημένης, τὸ δὲ ἕτερον ἀνίσοις ἄνισα

ubi cuncta redigi ad modum placuit, Deus ignem primo ac terram aëremque et aquam, quae quidem elementorum praeferebant vestigia, sed ita erant affecta, ut par est illa, a quibus Deus abest, distinctis figuris, speciebus et numeris exornavit. ea vero apud nos sententia semper rata indubiaque prae ceteris habeatur, quod Deus illa, cum talia non essent, quam pulcherrime optimeque fieri poterat, ordinavit. nunc iam dispositionem geniturumque ipsorum sigillatim demonstrari convenit, novo quidem et inusitato demonstrationis genere, sed vobis, qui omnes eruditionis ingenuae vias peragravistis, plano atque perspicuo. Principio, quod ignis et terra, aqua et aër corpora sint, nemo utique dubitabit. omnis autem corporis species profunditatem habet. profunditatem vero planis constare necessarium est. rectitudo porro planae basis ex triangulis constituitur: atque trianguli omnes ex duobus initium habent, habentibus utrisque rectum angulum unum, acutos duos, quorum alter utrinque anguli recti partem obtinet, aequalibus distincti lateribus; sed in altero inaequalibus inaequalia distribuun-

μέρη γενεμημένης. ταύτην δὴ πυρὸς ἀρχὴν καὶ τῶν ἄλλων σωμάτων ὑποτιθέμεθα κατὰ τὸν μετ' ἀνάγκης εἰκότα λόγον πορευόμενοι· τὰς δ' ἔτι τούτων ἀρχὰς ἄνωθεν θεὸς οἶδε καὶ ἀνδρῶν ὃς ἂν ἐκείνῳ φίλος ᾖ. Δεῖ δὴ λέγειν ποῖα κάλλιστα σώματα γένοιτ' ἂν τέτταρα, ἀνόμοια μὲν ἑαυτοῖς, δυνατὰ δὲ ἐξ ἀλλήλων αὐτῶν ἕκαστα διαλυόμενα γίγνεσθαι. τούτου γὰρ τυχόντες ἕξομεν τὴν ἀλήθειαν γενέσεως πέρι γῆς τε καὶ πυρὸς τῶν τε ἀνὰ λόγον ἐν μέσῳ· τότε γὰρ οὐδενὶ συγχωρησόμεθα καλλίω τούτων ὁρώμενα σώματα εἶναί ποτε καθ' ἓν γένος ἕκαστον ὄν. τοῦτ' οὖν προθυμητέον, τὼ διαφέροντα κάλλει σωμάτων τέτταρα γένη συναρμόσασθαι καὶ φάναι τὴν τούτων ἡμᾶς φύσιν ἱκανῶς εἰλῆφέναι. τοῖν δὴ δυοῖν τριγώνοιν τὸ μὲν ἰσοσκελὲς 54
μίαν εἴληχε φύσιν, τὸ δὲ πρόμηκες ἀπεράντους. προαιρετέον οὖν αὖ τῶν ἀπείρων τὸ κάλλιστον, εἰ μέλλομεν ἄρξεσθαι κατὰ τρόπον. ἂν οὖν τις ἔχῃ κάλλιον ἐκλεξάμενος εἰπεῖν εἰς τὴν τούτων ξύστασιν, ἐκεῖνος οὐκ ἐχθρὸς ὢν ἀλλὰ φίλος κρατεῖ· τιθέμεθα δ' οὖν τῶν πολλῶν τριγώνων κάλλιστον ἕν, ὑπερβάντες τἆλλα, ἐξ

tur. igitur per rationes probabiles necessitati coniunctas incedentes, ignis ceterorumque corporum huiusmodi ponamus exordium. superiora vero his horum principia Deo nota sunt atque ei, qui Dei sit amicus. videamus igitur, qua potissimum ratione quatuor corpora pulcherrima fiant: dissimilia quidem inter se, sed quae in se invicem dissolvantur et ex se invicem generentur. si id comprehenderimus, veritatem ipsam de generatione ignis terraeque et eorum, quae competenti ratione servata horum media fiunt, tenebimus. tunc enim nemini concedemus, dicenti alicubi esse oculis patentia pulchriora his corpora, quorum quodlibet secundum unum sit genus. conandum igitur quattuor corporum genera pulchritudine praecellentia constituere: atque ita asserere horum nos naturam sufficienter comprehendisse. e duobus quidem triangulis isosceles, id est, qui cruribus constat aequalibus, unicam habet naturam: qui vero altera parte est oblongior, infinitas. ergo, si recte exordiri volumus, infinitorum quoque pulcherrimum praeeligere nos oportet. ac si quis pulchriorem a se electum ad horum constitutionem afferre voluerit, eius, non tanquam adversarii, sed tanquam amici, sit sententia potior. unum itaque, reliquis posthabitis, triangulorum multorum pulcherrimum ponimus, a quo

οὗ τὸ ἰσόπλευρον τρίγωνον ἐκ τρίτου συνέστηκε. διότι δέ, ὁ λόγος πλείων· ἀλλὰ τῷ τοῦτο ἐλέγξαντι καὶ ἀνευρόντι δὴ μὴ οὕτως ἔχον κεῖται φιλία τὰ ἄθλα. προῃρήσθω δὴ δύο τρίγωνα, ἐξ ὧν τό τε τοῦ πυρὸς καὶ τὰ τῶν ἄλλων σώματα μεμηχάνηται, τὸ μὲν ἰσοσκελές, τὸ δὲ τριπλῆν κατὰ δύναμιν ἔχον τῆς ἐλάττονος τὴν μείζω πλευρὰν ἀεί. Τὸ δὴ πρόσθεν ἀσαφῶς ῥηθὲν νῦν μᾶλλον διοριστέον. τὰ γὰρ τέτταρα γένη δι' ἀλλήλων εἰς ἄλληλα ἐφαίνετο πάντα γένεσιν ἔχειν, οὐκ ὀρθῶς φανταζόμενα. γίγνεται μὲν γὰρ ἐκ τῶν τριγώνων ὧν προῃ- 1
ρήμεθα γένη τέτταρα, τρία μὲν ἐξ ἑνὸς τοῦ τὰς πλευρὰς ἀνίσους ἔχοντος, τὸ δὲ τέταρτον ἓν μόνον ἐκ τοῦ ἰσοσκελοῦς τριγώνου ξυναρμοσθέν. οὔκουν δυνατὰ πάντα εἰς ἄλληλα διαλυόμενα ἐκ πολλῶν σμικρῶν ὀλίγα μεγάλα καὶ τοὐναντίον γίγνεσθαι, τὰ δὲ τρία οἷόν τε· ἐκ γὰρ ἑνὸς ἅπαντα πεφυκότα, λυθέντων τε τῶν μειζόνων πολλὰ σμικρὰ ἐκ τῶν αὐτῶν ξυστήσεται, δεχόμενα τὰ προσήκοντα ἑαυτοῖς σχήματα, καὶ σμικρὰ ὅταν αὖ πολλὰ κατὰ τρίγωνα διασπαρῇ, γενόμενος εἷς ἀριθμὸς ἑνὸς ὄγκου μέγα ἀποτελέσειεν ἂν ἄλλο εἶδος 2
ἕν. ταῦτα μὲν οὖν λελέχθω περὶ τῆς εἰς ἄλληλα γε-

aequilater triangulus ex tertio constitit. ratio vero, cur ita sit, prolixior esset. at eum, qui diligenti dicussione ita esse comperiet, dulce manet victoriae praemium. Propositi sane nobis sint duo e multis trianguli, ex quibus ignis ceterorumque corpora composita sunt. horum unus isosceles sit, aequalibus cruribus constans triangulus: alter vero sit ille, qui longius latus semper breviore latere potentia triplo maius habet. verum, quod securi nimium in superioribus diximus, nunc magis est distinguendum. videbantur quidem nobis, neque id quidem satis recte, omnia quatuor genera ex se invicem generari. profecto quatuor genera ex triangulis, quos elegimus, generantur. tria quidem ex uno, inaequalia habente latera: quartum vero unicum ex triangulo isoscele componitur. non igitur possunt omnia ita in se invicem resolvi et commutari, ut ex multis parvis pauca ingentia, vel converso, efficiantur. tria certe possunt. cum enim ex uno haec facta sint omnia, quando maiora solvuntur, multa exigua ex eisdem constituuntur, parvas congruasque sibi figuras adepta: rursus, quando multa per triangulos disperguntur amplificata, unum unius molis faciunt numerum, magnamque aliam speciem unam perficiunt. haec utique de mutua

νέσεως. Οἷον δὲ ἕκαστον αὐτῶν γέγονεν εἶδος καὶ ἐξ ὅσων ξυμπεσόντων ἀριθμῶν, λέγειν ἂν ἑπόμενον εἴη. ἄρξει δὴ τό τε πρῶτον εἶδος καὶ σμικρότατον ξυνιστάμενον. στοιχεῖον δ' αὐτοῦ τὸ τὴν ὑποτείνουσαν τῆς ἐλάττονος πλευρᾶς διπλασίαν ἔχον μήκει· ξύνδυο δὲ τοιούτων κατὰ διάμετρον ξυντιθεμένων καὶ τρὶς τούτου γενομένου, τὰς διαμέτρους καὶ τὰς βραχείας πλευρὰς εἰς ταὐτὸν ὡς κέντρον ἐρεισάντων, ἓν ἰσόπλευρον τρίγωνον ἐξ ἓξ τὸν ἀριθμὸν ὄντων γέγονε· τρίγωνα δὲ ἰσόπλευρα ξυνιστάμενα τέτταρα κατὰ σύντρεις ἐπιπέδους γωνίας μίαν στερεὰν γωνίαν ποιεῖ, τῆς ἀμβλυτάτης τῶν ἐπιπέδων γωνιῶν ἐφεξῆς γεγονυῖαν· τοιούτων δὲ ἀποτελεσθεισῶν τεττάρων πρῶτον εἶδος στερεόν, ὅλου περιφεροῦς διανεμητικὸν εἰς ἴσα μέρη καὶ ὅμοια, ξυνίσταται. δεύτερον δὲ ἐκ μὲν τῶν αὐτῶν τριγώνων, κατὰ δὲ ἰσόπλευρα τρίγωνα ὀκτὼ ξυστάντων, μίαν ἀπεργασαμένων στερεὰν γωνίαν ἐκ τεττάρων ἐπιπέδων· καὶ γενομένων ἓξ τοιούτων τὸ δεύτερον αὖ σῶμα οὕτως ἔσχε τέλος. τὸ δὲ τρίτον ἐκ δὶς ἑξήκοντα τῶν στοιχείων ξυμπαγέντων, στερεῶν δὲ γωνιῶν δώδεκα, ὑπὸ πέντε ἐπιπέδων τριγώνων ἰσοπλεύρων περιεχομένης ἑκάστης,

ipsorum generatione dicta sint hactenus. reliquum est, ut, qualis quaeque eorum facta sit species, et ex quibus concurrentibus numeris coacervata, dicamus. erit utique prima species, quae ex paucissimis composita fuerit, elementum eius, quod latus oblongius breviori latere duplo maius habet. cum vero bini huiusmodi secundum diametrum componantur, terque id fiat, et diametri lateraque breviora in idem quasi centrum ducantur, unus triangulus aequilater ex triangulis numero sex conficitur. trianguli autem aequilateres quatuor compositi secundum ternos planos angulos, unum solidum faciunt angulum, qui angulum planorum omnium obtusissimum deinceps ortu subsequitur. atqui triangulis huiusmodi quatuor natis, prima solida species totius circumferentia distributiva in partes aequales ac similes oritur. secunda vero ex eisdem quidem triangulis, sed secundum aequilateres triangulos octo constitutis, unum facientibus solidum angulum ex planis quatuor, factisque sex huiusmodi corpus secundum absolvitur. at tertium ex elementis bis sexaginta copulatis et angulis solidis duodecim, quorum quilibet quinque planis triangulis aequilateri-

εἴκοσι βάσεις ἔχον ἰσοπλεύρους τριγώνους γέγονε. καὶ τὸ μὲν ἕτερον ἀπήλλακτο τῶν στοιχείων ταῦτα γεννῆσαν, τὸ δὲ ἰσοσκελὲς τρίγωνον ἐγέννα τὴν τοῦ τετάρτου φύσιν, κατὰ τέτταρα ξυνιζάμενον, εἰς τὸ κέντρον τὰς ὀρθὰς γωνίας συνάγον, ἓν ἰσόπλευρον τετράγωνον ἀπεργασάμενον· ἓξ δὲ τοιαῦτα ξυμπαγέντα γωνίας ὀκτὼ στερεὰς ἀπετέλεσε, κατὰ τρεῖς ἐπιπέδους ὀρθὰς ξυναρμοσθείσης ἑκάστης· τὸ δὲ σχῆμα τοῦ ξυστάντος σώματος γέγονε κυβικόν, ἓξ ἐπιπέδους τετραγώνους ἰσοπλεύρους βάσεις ἔχον. ἔτι δὲ οὔσης ξυστάσεως μιᾶς πέμπτης, ἐπὶ τὸ πᾶν ὁ θεὸς αὐτῇ κατεχρήσατο ἐκεῖνο διαζωγραφῶν. Ἆ δή τις εἰ πάντα λογιζόμενος ἐμμελῶς ἀποροῖ πότερον ἀπείρους χρὴ κόσμους εἶναι λέγειν ἢ πέρας ἔχοντας, τὸ μὲν ἀπείρους ἡγήσαιτ' ἂν ὄντως ἀπείρου τινὸς εἶναι δόγμα ὧν ἔμπειρον χρεὼν εἶναι, πότερον δὲ ἕνα ἢ πέντε αὐτοὺς ἀληθείᾳ πεφυκότας λέγειν προσήκει, μᾶλλον ἂν ταύτῃ σὰς εἰκότως διαπορήσαι. τὸ μὲν οὖν δὴ παρ' ἡμῶν ἕνα αὐτὸν κατὰ τὸν εἰκότα λόγον πεφυκότα μηνύει, ἄλλος δὲ εἰς ἄλλα πῃ βλέψας ἕτερα δοξάσει. Καὶ τούτων μὲν μεθετέον, τὰ δὲ γεγονότα νῦν τῷ λόγῳ γένη διανείμωμεν εἰς πῦρ καὶ γῆν καὶ ὕδωρ

hus continetur, habens viginti aequilateres bases, nascitur. iam igitur elementum alterum sic hactenus ista genuerit. verum isosceles triangulus quarti generavit naturam, secundum quatuor constitutus, et ad centrum rectos congregans angulos, unumque quadrangulum aequilaterem faciens, sex vero huiusmodi copulati angulos octo solidos, quorum quilibet per tres planos rectos coaptatus est, effecerunt. corporisque ita constituti figura cubica facta est, sex planos quadrangulos aequilateres bases adepta. est et quinta quaedam compositio, qua Deus ad universi constitutionem est usus, eaque descripsit et figuravit, quae contemplatus aliquis non absurde dubitaverit, utrum infinitos esse mundos an finitos existimandum sit. infinitos quidem dicere illius putabit esse proprium, qui nullam rerum cognitione dignarum peritiam habeat. sed utrum unus mundus an quinque revera nati sint, inquirere minus utique putabit absurdum. ratio quidem nostra unum ipsum verisimili probatione asserit esse natum. alius vero quis, ad alia respiciens, aliter opinabitur. sed haec dimittenda sunt, et iam genera quatuor a nobis paulo ante digesta, in ignem, terram, aquam aëremque distribuamus. terrae cubicam speciem assigne-

καὶ ἀέρα. γῇ μὲν δὴ τὸ κυβικὸν εἶδος δῶμεν. ἀκινητοτάτη γὰρ τῶν τεττάρων γενῶν γῆ καὶ τῶν σωμάτων πλαστικωτάτη, μάλιστα δὲ ἀνάγκη γεγονέναι τοιοῦτον τὸ τὰς βάσεις ἀσφαλεστάτας ἔχον· βάσις δὲ ἥ τε τῶν κατ' ἀρχὰς τριγώνων ὑποτεθέντων ἀσφαλεστέρα κατὰ φύσιν, ἡ τῶν ἴσων πλευρῶν, τῆς τῶν ἀνίσων, τό τε ἐξ ἑκατέρου ξυντεθὲν ἐπίπεδον ἰσόπλευρον ἰσοπλεύρου, τετράγωνον τριγώνου, κατά τε μέρη καὶ καθ' ὅλον σασιμωτέρως ἐξ ἀνάγκης βέβηκε. διὸ γῇ μὲν τοῦτο ἀπο- 56
νέμοντες τὸν εἰκότα λόγον διασώζομεν, ὕδατι δ' αὖ τῶν λοιπῶν τὸ δυσκινητότατον εἶδος, τὸ δ' εὐκινητότατον πυρί, τὸ δὲ μέσον ἀέρι· καὶ τὸ μὲν σμικρότατον σῶμα πυρί, τὸ δ' αὖ μέγιστον ὕδατι, τὸ δὲ μέσον ἀέρι· καὶ τὸ μὲν ὀξύτατον αὖ πυρί, τὸ δὲ δεύτερον ἀέρι, τὸ δὲ τρίτον ὕδατι. ταῦτ' οὖν δὴ πάντα, τὸ μὲν ἔχον ὀλιγίστας βάσεις εὐκινητότατον ἀνάγκη πεφυκέναι τμητικώτατόν τε ὀξύτατον ὂν πάντῃ πάντων, ἔτι τε ἐλαφρώτατον, ἐξ ὀλιγίστων ξυνεστὸς τῶν αὐτῶν μερῶν· τὸ δὲ δεύτερον δευτέρως τὰ αὐτὰ ταῦτ' ἔχειν, τρίτως δὲ τὸ τρίτον. ἔχω δὴ κατὰ τὸν ὀρθὸν λόγον καὶ κατὰ τὸν εἰκότα τὸ μὲν τῆς πυραμίδος στερεὸν γεγονὸς εἶδος πυ-

mus. nam omnium quatuor maxime immobilis terra est, et corporalium omnium compacta maxime. tale vero illud praecipue factum esse necessarium est, quod firmissimas tutissimasque possidet bases. in triangulis porro a principio positis, qui aequilateres sunt, firmiorem tutioremque quam inaequilateres basem possident. et quod ex utroque compositum est planum aequilatere aequilateri quadragulum, certe triangulo, tam quoad totum quam quoad partes, stabilius necessario provenit. quamobrem si convenientem probabilemque sequi rationem velimus, terrae id tribuamus: aquae deinde, quod tribus reliquis est immobilius: igni, quod mobilissimum: aëri medium. et corpus quidem minimum igni, aquae maximum, aëri medium. acutissimum quoque igni, secundum ab hoc aëri, aquae tertium. ex his omnibus quod bases paucissimas habet, velocissimum esse necessarium est. est enim ad penetrandum promptissimum, quippe cum prorsus sit omnium acutissimum: levissimum quoque, cum ex paucissimis partibus eisdem constet. quod secundum est, secundo loco habeat haec oportet: tertio tertium. igitur secundum rectam probabilemque rationem

ρὸς στοιχεῖον καὶ σπέρμα· τὸ δὲ δεύτερον κατὰ γένεσιν εἴπωμεν ἀέρος, τὸ δὲ τρίτον ὕδατος. πάντα οὖν δὴ ταῦτα δεῖ διανοεῖσθαι σμικρὰ οὕτως, ὡς καθ' ἓν ἕκαστον μὲν τοῦ γένους ἑκάστου διὰ σμικρότητα οὐδὲν ὁρώμενον ὑφ' ἡμῶν, ξυναθροισθέντων δὲ πολλῶν τοὺς ὄγκους αὐτῶν ὁρᾶσθαι. καὶ δὴ καὶ τὸ τῶν ἀναλογιῶν περί τε τὰ πλήθη καὶ τὰς κινήσεις καὶ τὰς ἄλλας δυνάμεις, πανταχῇ τὸν θεόν, ὅπῃ περ ἡ τῆς ἀνάγκης ἑκοῦσα πεισθεῖσά τε φύσις ὑπεῖκε, ταύτῃ πάντῃ δι' ἀκριβείας ἀποτελεσθεισῶν ὑπ' αὐτοῦ ξυνηρμόσθαι ταῦτα ἑνὶ λόγῳ.

Ἐκ δὴ πάντων ὧν περὶ τὰ γένη προειρήκαμεν, ὧδ' ἂν κατὰ τὸ εἰκὸς μάλιστ' ἔχοι. γῆ μὲν ξυντυγχάνουσα πυρὶ διαλυθεῖσά τε ὑπὸ τῆς ὀξύτητος αὐτοῦ φέροιτ' ἄν, εἴτ' ἐν αὐτῷ πυρὶ λυθεῖσα εἴτ' ἐν ὕδατος ὄγκῳ τύχοι, μέχρι περ ἂν αὐτῆς πῃ ξυντυχόντα τὰ μέρη, πάλιν ξυναρμοσθέντα αὐτὰ αὑτοῖς, γῆ γένοιτο· οὐ γὰρ εἰς ἄλλο γε εἶδος ἔλθοι ποτ' ἄν. ὕδωρ δὲ ὑπὸ πυρὸς μερισθέν, εἴτε καὶ ὑπ' ἀέρος, ἐγχωρεῖ γίγνεσθαι ξυσάντα ἓν μὲν πυρὸς σῶμα, δύο δὲ ἀέρος. τὰ δὲ ἀέρος τμήματα ἐξ ἑνὸς μέρους διαλυθέντος δύ' ἂν γενοίσθην σώματα πυρός. καὶ πάλιν, ὅταν ἀέρι πυρ

pyramidis species solida elementum semenque sit ignis. secundam vero generatione speciem aëri, aquae tertiam tribuamus. de his omnibus adeo parvis ita putandum est, quod, si singula duntaxat singulorum generum capiantur, nullum eorum propter parvitatem cerni a nobis poterit: sin multa invicem congregentur, eorum moles magnitudinesque cernentur. quin etiam haec omnia a Deo tanta ubique, quoad multitudines, motus atque potentias, proportione exacte absoluta connexaque sunt, quantam necessitatis natura libens et persuasa capere poterat. Ex omnibus sane, quorum genera supra narravimus, ita merito se res habere videtur. terra cum in ignem inciderit, eius acumine dissoluta fertur, resoluta in ignem aut aërem aut aquam, quousque partes ipsius congressae iterum sibique invicem copulatae terram reficiant. non enim in aliam unquam speciem transmigraret. aqua praeterea ab igne vel aëre divisa in partes, unum, partibus suis reconciliatis, ignis corpus, aëris duo facit: portiones vero aëris ex una dissoluta parte duo ignis corpora faciunt. rursus quando ignis ab aëre

ὕδασί τε ἤ τινι γῇ περιλαμβανόμενον, ἐν πολλοῖς ὀλίγον, κινούμενον ἐν φερομένοις, μαχόμενον καὶ νικηθὲν καταθραυσθῇ, δύο πυρὸς σώματα εἰς ἓν ξυνίσασθον εἶδος ἀέρος· καὶ κρατηθέντος ἀέρος κερματισθέντος τε ἐκ δυεῖν ὅλοιν καὶ ἡμίσεος ὕδατος εἶδος ἓν ὅλον ἔσαι ξυμπαγές. ὧδε γὰρ δὴ λογισώμεθα αὐτὰ πάλιν, ὡς ὅταν ἐν πυρὶ λαμβανόμενον τῶν ἄλλων ὑπ' αὐτοῦ τι γένος τῇ τῶν γωνιῶν καὶ κατὰ τὰς πλευρὰς 57
ὀξύτητι τέμνηται, ξυσὰν μὲν εἰς τὴν ἐκείνου φύσιν πέ-
10 παυται τεμνόμενον· τὸ γὰρ ὅμοιον καὶ ταὐτὸν αὑτῷ γένος ἔκαζον οὔ τέ τινα μεταβολὴν ἐμποιῆσαι δυνατὸν οὔ τέ τι παθεῖν ὑπὸ τοῦ κατὰ ταὐτὰ ὁμοίως τε ἔχοντος· ἕως δ' ἂν εἰς ἄλλο τι γιγνόμενον ἧττον ὂν πρείττονι μάχηται, λυόμενον οὐ παύεται. τά τε αὖ σμικρότερα ὅταν ἐν τοῖς μείζοσι, πολλοῖς περιλαμβανόμενα ὀλίγα, διαθραυόμενα κατασβεννύηται, ξυνίσασθαι μὲν ἐθέλοντα εἰς τὴν τοῦ κρατοῦντος ἰδέαν πέπαυται κατασβεννύμενα γίγνεσθαί τε ἐκ πυρὸς ἀὴρ ἐξ ἀέρος τε ὕδωρ· ἐὰν δ' εἰς αὐτὰ ἴῃ καὶ τῶν ἄλλων τι
20 ξυνιὸν γενῶν μάχηται, λυόμενα οὐ παύεται, πρὶν ἢ παντάπασιν ὠθούμενα καὶ διαλυθέντα ἐκφύγῃ πρὸς τὸ ξυγγενές, ἢ νικηθέντα, ἓν ἐκ πολλῶν ὅμοιον τῷ

vel aqua vel terra aliqua occupatur, et ipse quidem paucus in multis movetur, atque in agitatis pugnat iactatusque distrahitur, duo corpora ignis in speciem aëris unam concrescunt: deinde superato aëre atque disperso, ex totis duobus atque dimidio una aquae tota species coalescit. denique sic ea rursus consideremus. quotiens ab igne comprehensum aliorum genus aliquod angulorum laterumque ipsius acumine scinditur, tum demum discerpi desinit, cum in ignis naturam transierit: simile enim idemque genus quodlibet a simili eodemque minime patitur: quousque vero in aliud permutatur, imbecilliusque cum potentiore luctatur, dissolvi non desinit. rursus quando minora a multis maioribus circumventa sunt, et pauca lacerata exstinguuntur, cum in vincentis ideam constitui velint, cessant exstingui, fitque ex igni aër, ex aëre aqua. quod si in haec transitus fuerit, et aliorum aliquod genus impugnet, non cessant agitata dissolvi, priusquam aut omnino, cum dissolubilia sint, depulsa ad cognatum refugiant; aut expugnata in unum quiddam ex multis superanti simile tandem evadant, fa-

κρατήσαντι γενόμενον, αὐτοῦ ξύνοικον μείνῃ. καὶ δὴ καὶ κατὰ ταῦτα τὰ παθήματα. διαμείβεται τὰς χώρας ἅπαντα· διέσηκε μὲν γὰρ τοῦ γένους ἑκάσου τὰ πλήθη κατὰ τόπον ἴδιον διὰ τὴν τῆς δεχομένης κίνησιν, τὰ δὲ ἀνομοιούμενα ἑκάστοτε ἑαυτοῖς, ἄλλοις δὲ ὁμοιούμενα φέρεται διὰ τὸν σεισμὸν πρὸς τὸν ἐκείνων οἷς ἂν ὁμοιωθῇ τόπον.

Ὅσα μὲν οὖν ἄκρατα καὶ πρῶτα σώματα, διὰ τοιούτων αἰτιῶν γέγονε· τοῦ δ' ἐν τοῖς εἴδεσιν αὐτῶν ἕτερα ἐμπεφυκέναι γένη τὴν ἑκατέρου τῶν στοιχείων αἰ- 10
τιατέον ξύσασιν, μὴ μόνον ἓν ἑκατέραν μέγεθος ἔχον τὸ τρίγωνον φυτεῦσαι κατ' ἀρχὰς ἀλλὰ ἐλάττω τε καὶ μείζω, τὸν ἀριθμὸν δὲ ἔχοντα τοσοῦτον ὅσα περ ἂν ᾖ τὰν τοῖς εἴδεσι γένη. διὸ δὴ ξυμμιγνύμενα αὐτά τε πρὸς αὐτὰ καὶ πρὸς ἄλληλα τὴν ποικιλίαν ἐξὶν ἄπειρα· ἧς δὴ δεῖ θεωροὺς γίγνεσθαι τοὺς μέλλοντας περὶ φύσεως εἰκότι λόγῳ χρήσεσθαι.

Κινήσεως οὖν στάσεώς τε πέρι, τίνα τρόπον καὶ μεθ' ὧν τινῶν γίγνεσθον, εἰ μή τις διομολογήσεται, πόλλ' ἂν εἴη ἐμποδὼν τῷ κατόπισθεν λογισμῷ. τὰ μὲν 20
οὖν ἤδη περὶ αὐτῶν εἴρηται, πρὸς δὲ ἐκείνοις ἔτι τάδε, ἐν μὲν ὁμαλότητι μηδέποτε ἐθέλειν κίνησιν ἐνεῖναι. τὸ

miliariterque cum victore permaneant. enimvero per has passiones sedes vicissim cuncta commutant. generis namque cuiuslibet multitudines per locum proprium distinguuntur, ob sedis ipsius agitationem: quae vero dissimilia invicem facta sunt, propter fluctum concussionemque ad locum eorum, quibus similia evasere, feruntur. Corpora igitur immixta ac prima ex causis huiusmodi fabricata sunt. quod autem in eorum speciebus alia quoque innata sunt genera, causa est elementi utriusque constitutio, quae non solum ab initio unum cum magnitudine triangulum peperit, sed etiam maiora et minora, tot quidem numero, quot in speciebus sunt genera. quapropter mixta haec in se ipsis atque invicem infinitam habent varietatem: cuius peritos esse eos oportet, qui de natura sunt rationem probabilem reddituri. Igitur nisi quis, quo pacto et cum quibus una motus et constitutio fiat, certe comprehenderit, multa disputationi, quae manet a tergo, impedimento futura videntur. de his partim quidem dictum est, partim vero restat dicendum. in ipsa leni planaque natura motus esse nunquam solet. nam agitandum absque

γὰρ κινησόμενον ἄνευ [τοῦ κινήσοντος ἢ τὸ κινῆσον ἄνευ τοῦ κινησομένου χαλεπόν, μᾶλλον δὲ ἀδύνατον εἶναι· κίνησις δὲ οὐκ ἔξι τούτων ἀπόντων· ταῦτα δὲ ὁμαλὰ εἶναί ποτε ἀδύνατον. οὕτω δὴ ϛάσιν μὲν ἐν ὁμαλότητι, κίνησιν δὲ εἰς ἀνωμαλότητα ἀεὶ τιθῶμεν. 58
αἰτία δὲ ἡ ἀνισότης αὖ τῆς ἀνωμάλου φύσεως. ἀνισότητος δὲ γένεσιν μὲν διεληλύθαμεν· πῶς δέ ποτε οὐ κατὰ γένη διαχωρισθέντα ἔκαϛα πέπαυται τῆς δι' ἀλλήλων κινήσεως καὶ φορᾶς, οὐκ εἴπομεν. ὧδε οὖν πάλιν ἐροῦμεν. Ἡ τοῦ παντὸς περίοδος, ἐπειδὴ συμπεριέλαβε τὰ γένη, κυκλοτερὴς οὖσα καὶ πρὸς αὑτὴν πεφυκυῖα βούλεσθαι ξυνιέναι, σφίγγει πάντα καὶ κενὴν χώραν οὐδεμίαν ἐᾷ λείπεσθαι. διὸ δὴ πῦρ μὲν εἰς ἅπαντα διελήλυθε μάλιϛα, ἀὴρ δὲ δευτέρως, ὡς λεπτότητι δεύτερος ἔφυ, καὶ τἆλλα ταύτῃ. τὰ γὰρ ἐκ μεγίϛων μερῶν γεγονότα μεγίϛην κενότητα ἐν τῇ ξυϛάσει παραλέλοιπε, τὰ δὲ σμικρότατα ἐλαχίϛην. ἡ δὴ τῆς πιλήσεως ξύνοδος τὰ σμικρὰ εἰς τὰ τῶν μεγάλων διάκενα ξυνωθεῖ. σμικρῶν οὖν παρὰ μεγάλα τιθεμένων καὶ τῶν ἐλαττόνων τὰ μείζονα διακρινόντων, τῶν δὲ μειζόνων ἐκεῖνα συγκρινόντων, πάντ' ἄνω κάτω μεταφέ-

agitaturo vel agitaturum absque agitando difficile est, immo impossibile, reperiri. motus autem horum omnium minime est. haec vero lenia planaque esse nunquam possunt. sic itaque statum quidem in planitie lenitateque, motum vero in contraria semper natura ponemus. inaequalitas porro naturae huius est causa, quae leni planoque contraria est. inaequalitatis vero generationem iam tractavimus; sed quonam modo singula secundum genera non divisa moveri invicem ferrique desinunt, nequaquam exposuimus. id ergo deinceps sic explanabimus. universae naturae circuitus cum circulari ambitu suo genera complexus sit, et secum ipso congredi studeat, constringit omnia; locumque vacuum relinqui nusquam patitur. quocirca ignis per omnia maxime penetravit, deinde aër, utpote qui ipsi tenuitate est proximus; et alia simili ratione deinceps. quae enim ex maximis partibus sunt composita, vacuitatem quoque in sua constitutione maximam reliquere: minima contra minimam. coarctationis autem ipsius angustia, parva in magnorum contrudit inania. quare cum parva magnis insinuata sint, et ipsa quidem parva quae magna sunt discernant, maiore vero minora coërceant, omnia sursum deorsumve in sua loca feruntur.

ρεται πρὸς τοὺς ἑαυτῶν τόπους· μεταβάλλον γὰρ τὸ μέγεθος ἕκαστον καὶ τὴν τῶν τόπων μεταβάλλει ξάσιν. οὕτω δὴ διὰ ταῦτά τε ἡ τῆς ἀνωμαλότητος διασωζομένη γένεσις ἀεὶ τὴν ἀεὶ κίνησιν τούτων οὖσαν ἐσομένην τε ἐνδελεχῶς παρέχεται.

Μετὰ δὴ ταῦτα δεῖ νοεῖν ὅτι πυρός τε γένη πολλὰ γέγονεν, οἷον φλὸξ τό τε ἀπὸ τῆς φλογὸς ἅπτόν, ὃ κάει μὲν οὔ, φῶς δὲ τοῖς ὄμμασι παρέχει, τό τε φλογὸς ἀποσβεσθείσης ἐν τοῖς διαπύροις καταλειπόμενον αὐτοῦ. κατὰ ταὐτὰ ἀέρος τὸ μὲν εὐαγέστατον ἐπίκλην 1
αἰθὴρ καλούμενος, ὁ δὲ θολερώτατος ὁμίχλη τε καὶ σκότος, ἕτερά τε ἀνώνυμα εἴδη γεγονότα διὰ τὴν τῶν τριγώνων ἀνισότητα. τὰ δὲ ὕδατος διχῇ μὲν πρῶτον, τὸ μὲν ὑγρόν, τὸ δὲ χυτὸν γένος αὐτοῦ. τὸ μὲν οὖν ὑγρὸν διὰ τὸ μετέχον εἶναι τῶν γενῶν τῶν ὕδατος, ὅσα σμικρά, ἀνίσων ὄντων, κινητὸν αὐτό τε καθ' αὑτὸ καὶ ὑπ' ἄλλου διὰ τὴν ἀνωμαλότητα καὶ τὴν τοῦ σχήματος ἰδέαν γέγονε· τὸ δ' ἐκ μεγάλων καὶ ὁμαλῶν ξασιμώτερον μὲν ἐκείνου καὶ βαρὺ πεπηγὸς ὑπὸ ὁμαλότητός ἐξιν, ὑπὸ δὲ πυρὸς ἐξιόντος καὶ διαλύοντος 2
αὐτὸ τὴν ὁμαλότητα ἀπολέσαν μετίσχει μᾶλλον κινή-

nam quodlibet mutata magnitudine sedem mutat. sic utique et has ob causas naturae lenitati contrariae semper generatio conservata, horum motum et in praesenti et in futuro perpetuum exhibet. Post haec sciendum est multa esse ignis genera: flammam videlicet, et quod ab ea est accensum; quod urit quidem, lumen vero nullum oculis affert: quodve exstincta flamma intra illa, quae accensa fuerant, remanet. similiter aëris genus aliud purissimum agilissimumque, quem aetherem nuncupant; aliud turbulentissimum, caligine nubibusque obscurum: aliasque species sine nomine esse putandum est, propter ipsam triangulorum inaequalitatem. Aquae genera duo sunt praecipua: unum humidum, alterum fusile. humidum quidem, quia generibus aquae parvis et inaequalibus constat, facile a se ipso et ab alio propter inaequalitatis conditionem et figurae speciem moveri solet. quod autem ex grandioribus aequalibusque et lenibus est compositum, stabilius illo, et grave propter lenem aequalitatem compactum est, sed propter ignis penetrantis dissolventisque impetum aequalitate amissa mo-

σεως, γενόμενον δὲ εὐκίνητον, ὑπὸ τοῦ πλησίον ἀέρος ὠθούμενον καὶ κατατεινόμενον ἐπὶ γῆν, τήκεσθαι μὲν τὴν τῶν ὄγκων καθαίρεσιν, ῥοὴν δὲ τὴν κατάσασιν ἐπὶ γῆν ἐπωνυμίαν ἑκατέρου τοῦ πάθους ἔλαβε. πάλιν δὲ ἐκπίπτοντος αὐτόθεν τοῦ πυρός, ἅτε οὐκ εἰς κενὸν 59
ἐξιόντος, ὠθούμενος ὁ πλησίον ἀὴρ εὐκίνητον ὄντα ἔτι τὸν ὑγρὸν ὄγκον εἰς τὰς τοῦ πυρὸς ἕδρας ξυνωθῶν αὐτὸν αὐτῷ ξυμμίγνυσιν· ὁ δὲ ξυνωθούμενος ἀπολαμβάνων τε τὴν ὁμαλότητα πάλιν, ἅτε τοῦ τῆς
10 ἀνωμαλότητος δημιουργοῦ πυρὸς ἀπιόντος, εἰς ταὐτὸν αὑτῷ καθίσταται. καὶ τὴν μὲν τοῦ πυρὸς ἀπαλλαγὴν ψύξιν, τὴν δὲ ξύνοδον ἀπελθόντος ἐκείνου πεπηγὸς εἶναι γένος προσερρήθη. Τούτων δὴ πάντων ὅσα χυτὰ προσείπομεν ὕδατα, τὸ μὲν ἐκ λεπτοτάτων καὶ ὁμαλωτάτων πυκνώτατον γιγνόμενον, μονοειδὲς γένος, σίλβοντι καὶ ξανθῷ χρώματι κοινωθέν, τιμαλφέστατον κτῆμα χρυσὸς ἡθημένος διὰ πέτρας ἐπάγη. χρυσοῦ δὲ ὄζος διὰ πυκνότητα σκληρότατον ὂν καὶ μελανθέν, ἀδάμας ἐκλήθη. τὸ δ' ἐγγὺς μὲν χρυσοῦ τῶν μερῶν,
20 εἴδη δὲ πλείω ἑνὸς ἔχον, πυκνότητι μὲν χρυσοῦ πυκνώτερον ὄν, καὶ γῆς μόριον ὀλίγον καὶ λεπτὸν μετασχόν, ὥστε σκληρότερον εἶναι, τῷ δὲ μεγάλα ἐντὸς αὑτοῦ

tas fit particeps: factumque agile mobileque, a proximo aëre pulsum extensumque per terram, duo quaedam patitur: nam et liquescit et in terram decidit. primum illud molis purgatio, hoc fluxus cognominatur. rursus igne hinc evolante, quippe cum non fiat in vacuum exitus, proximus aër pulsus mobilem adhuc molem humidam in ignis sedes impellit, ipsique ipsam commiscet. moles denique compulsa, iterumque lenem aequalitatem adepta, cum ignis inaequalitatis artifex iam abierit, in idem secum coacervatur: atque ignis abscessum frigefactionem, copulam vero congressumque, igni abeunte factum, conglutinationem gelidamque rigiditatem vocamus. ex his vero quas aquas fusiles appellavimus, quod ex tenuissimis lenissimisque fit densissimum, uniforme, splendidum flavumque, pretiosissima res est, aurum florescens per petram compactum est. auri autem ramus, propter densitatem durissimus et nigro praeterea colore suffusus, adamas appellatur. sed quod auro proximas habet partes, pluresque una species continet, auro quoque densius, et terrenae partis paucae tenuisque particeps, adeo ut asperius duriusque sit, verum ex eo, quod in-

διαλείμματα ἔχειν κουφότερον, τῶν λαμπρῶν πηκτῶν τε ἓν γένος ὑδάτων χαλκὸς ξυσταθεὶς γέγονε. τὸ δ' ἐκ γῆς αὐτῷ μιχθέν, ὅταν παλαιουμένω διαχωρίζησθον πάλιν ἀπ' ἀλλήλων, ἐκφανὲς καθ' αὑτὸ γιγνόμενον ἰὸς λέγεται. τἆλλα δὲ τῶν τοιούτων οὐδὲν ποικίλον ἔτι διαλογίσασθαι τὴν τῶν εἰκότων μύθων μεταδιώκοντα ἰδέαν, ἣν ὅταν τις ἀναπαύσεως ἕνεκα τοὺς περὶ τῶν ὄντων ἀεὶ καταθέμενος λόγους, τοὺς γενέσεως πέρι διαθεώμενος εἰκότας ἀμεταμέλητον ἡδονὴν κτᾶται, μέτριον ἂν ἐν τῷ βίῳ παιδιὰν καὶ φρόνιμον ποιοῖτο. ταύτῃ δὴ καὶ τὰ νῦν ἐφέντες τὸ μετὰ τοῦτο τῶν αὐτῶν πέρι τὰ ἑξῆς εἰκότα δίιμεν τῇδε. Τὸ πυρὶ μεμιγμένον ὕδωρ, ὅσον λεπτὸν ὑγρόν τε διὰ τὴν κίνησιν καὶ τὴν ὁδὸν ἣν κυλινδούμενον ἐπὶ γῆς ὑγρὸν λέγεται, μαλακόν τε αὖ τῷ τὰς βάσεις ἧττον ἑδραίους οὔσας ἢ τὰς γῆς ὑπείκειν, τοῦτο δ' ὅταν πυρὸς ἀποχωρισθὲν ἀέρος τε μονωθῇ, γέγονε μὲν ὁμαλώτερον, ξυνέωσαι δὲ ὑπὸ τῶν ἐξιόντων εἰς αὐτό, παγέν τε οὕτω τὸ μὲν ὑπὲρ γῆς μάλιστα παθὸν ταῦτα χάλαζα, τὸ δ' ἐπὶ γῆς κρύσταλλος, τὸ δὲ ἧττον ἡμιπαγές τε ὂν ἔτι,

tervalla intrinsecus habet magna, levius est, hoc genus nitentium concretarumque aquarum unum est, atque aes nominatur. at quando terrena pars huic immixta propter vetustatem a ceteris partibus eius secernitur, ad extremamque emissa superficiem per se ipsa aspectui patet, rubigo iam nascitur. cetera generis eiusdem verisimilibus rationibus assequi haudquaquam laboriosum est. quod si quis remittendi studii gratia, rationibus eorum, quae semper sunt, intermissis, consideraverit verisimiles de generatione probationes, atque eiusmodi consideratione sine poenitentiae accessione delectetur, moderatum in vita prudentemque ludum consequetur. his utique nunc ita concessis, deinceps, quae de eisdem probabilia videbuntur, ita percurrenda videntur. igni saepe miscetur aquae pars tenuis atque humida fluidaque, sic ideo nominata, quia lubrica terra circumfluit: mollis quoque ob eam causam, quia eius bases minus firmae stabilesque quam terrae, facile cedunt atque labuntur. haec quando ab igni destituta, ab aëre quoque deseritur, fit lenior, et alienis expressis cogitur in se ipsam: atque ita compacta, si supra terram id contigerit, grando fit; si in terra, glacies. quae quidem tunc fiunt, cum riget co-

τὸ μὲν ὑπὲρ γῆς αὖ χιών, τὸ δ' ἐπὶ γῆς ξυμπαγέν, ἐκ δρόσου γενόμενον, πάχνη λέγεται. τὰ δὲ δὴ πλεῖστα ὑδάτων εἴδη μεμιγμένα ἀλλήλοις, ξύμπαν μὲν τὸ γένος, διὰ τῶν ἐκ γῆς φυτῶν ἠθημένα, χυμοὶ λεγόμενοι· διὰ δὲ τὰς μίξεις ἀνομοιότητα ἔκαστοι σχόντες τὰ μὲν ἄλλα πολλὰ ἀνώνυμα γένη παρέσχοντο, τέτταρα δὲ 60
ὅσα ἔμπυρα εἴδη, διαφανῆ μάλιστα γενόμενα εἴληφεν ὀνόματα αὐτῶν, τὸ μὲν τῆς ψυχῆς μετὰ τοῦ σώματος θερμαντικὸν οἶνος, τὸ δὲ λεῖον καὶ διακριτικὸν
10 ὄψεως διὰ ταῦτά τε ἰδεῖν λαμπρὸν καὶ ςίλβον λιπαρόν τε φανταζόμενον ἐλαιηρὸν εἶδος, πίττα καὶ κίκι καὶ ἔλαιον αὐτὸ ὅσα τ' ἄλλα τῆς αὐτῆς δυνάμεως· ὅσον δὲ διαχυτικὸν μέχρι φύσεως τῶν περὶ τὸ ςόμα ξυνόδων, ταύτῃ τῇ δυνάμει γλυκύτητα παρεχόμενον, μέλι τὸ κατὰ πάντων μάλιστα πρόσρημα ἔσχε· τὸ δὲ τῆς σαρκὸς διαλυτικὸν τῷ κάειν ἀφρῶδες γένος, ἐκ πάντων ἀφορισθὲν τῶν χυμῶν, ὀπὸς ἐπωνομάσθη.

Γῆς δὲ εἴδη, τὸ μὲν ἠθημένον δι' ὕδατος τοιῷδε τρόπῳ γίγνεται σῶμα λίθινον. τὸ ξυμμιγὲς ὕδωρ ὅταν
20 ἐν τῇ ξυμμίξει κοπῇ, μετέβαλεν εἰς ἀέρος ἰδέαν· γενόμενος δὲ ἀὴρ εἰς τὸν ἑαυτοῦ τόπον ἀναθεῖ. κενὸν δ' ὑπῆρχεν αὐτῶν οὐδέν· τὸν οὖν πλησίον ἔωσεν ἀέρα.

haerescitque maxime gelu: cum vero minus congelatur, si supra terram accidit, nix, sin in terra ex rore crassior facta, pruina. verum quando plurimae aquae species invicem commiscentur, universum illud genus, a terra per arbores stillans, liquor humorque vocatur. liquores vero singuli, propter mixtiones dissimilitudinem nacti, multa quidem alia sine nomine faciunt genera. sed quatuor igneae species evidentes et perspicuae maxime sortitae sunt nomina. quod enim animam simul cum corpore calefacit, vinum dicitur: quod vero lene est, discernitque visum, ideoque aspectu splendidum atque nitens et pingue nobis apparet, uncta et olearia species est, pix, gummi et oleum ceteraque id genus. at quod oris angustos meatus ad penetralia usque naturae perfundit, hac vi dulcedinem adhibens, mel communiter nuncupatur. denique quod carnem dissolvit uritque et spumeum est, ex omnibus secretum liquoribus, succus vocatur. Terrae vero species per aquam emergens hoc modo fit lapis. congelata enim aqua, quando in commixtione deficit, in aëris speciem transit: hic aër suum in locum recurrit. vacuum autem ipsorum nihil: proximum ergo aë-

ὁ δέ, ἅτε ὢν βαρύς, ὠσθεὶς καὶ περιχυθεὶς τῷ τῆς γῆς ὄγκῳ σφύδρα ἔθλιψε ξυνέωσέ τε αὐτὸν εἰς τὰς ἕδρας ὅθεν ἀνήειν ὁ νέος ἀήρ. ξυνωσθεῖσα δὲ ὑπ' ἀέρος ἀλύτως ὕδατι γῇ ξυνίσταται πέτρα, καλλίων μὲν ἡ τῶν ἴσων καὶ ὁμαλῶν διαφανὴς μερῶν, αἰσχίων δὲ ἡ ἐναντία. τὸ δὲ ὑπὸ πυρὸς τάχους τὸ νοτερὸν πᾶν ἐξαρπασθὲν καὶ κραυρότερον ἐκείνου ξυσάν, ᾧ γένει κέραμον ἐπωνομάκαμεν, τοῦτο γέγονεν. ἔστι δὲ ὅτε νοτίδος ὑπολειφθείσης χυτὴ γῆ γενομένη διὰ πυρός, ὅταν ψυχθῇ, γέγονε τὸ μέλαν χρῶμα ἔχον λίθος. τῷ δ' αὖ κατὰ ταὐτὰ μὲν ταῦτα ἐκ ξυμμίξεως ὕδατος ἀπομονουμένῳ πολλοῦ, λεπτοτέρων δὲ ἐκ γῆς μερῶν ἀλμυρῷ τε ὄντι, ἡμιπαγεῖ γενομένῳ καὶ λυτῷ πάλιν ὑφ' ὕδατος, τὸ μὲν ἐλαίου καὶ γῆς καθαρτικὸν γένος λίτρον, τὸ δ' εὐάρμοστον ἐν ταῖς κοινωνίαις ταῖς περὶ τὴν τοῦ στόματος αἴσθησιν ἁλῶν, κατὰ λόγον νόμου, θεοφιλὲς σῶμα ἐγένετο. Τὰ δὲ κοινὰ ἐξ ἀμφοῖν ὕδατι μὲν οὐ λυτά, πυρὶ δὲ διὰ τὸ τοιόνδε οὕτω ξυμπήγνυται. γῆς ὄγκους πῦρ μὲν ἀήρ τε οὐ τήκει· τῆς γὰρ ξυσάσεως τῶν διακένων αὐτῆς σμικρομερέστερα πεφυκότα, διὰ πολλῆς εὐρυχωρίας ἰόντα, οὐ βιαζόμενα, ἅλυτον

rem pulsat. iste si gravis sit, pulsus circumfususque terrenae molli vehementer illidit, seque ipsum in eas sedes, unde novus ascenderat aër, conducit. terra denique, ab aëre indissolubiliter cum aqua coacta, lapides concreat: pulchriores quidem illos, qui perspicue ex aequalibus planisque partibus emicant; deformiores vero, qui contra. ubi vero ignis acumine humor omnis resolvitur, corpusque illo aridius redditur, ea restat species, quae solida vocatur fusilisque tellus. quandoque etiam humore relicto, terraque fusili per ignem facta, ac deinde accedente gelu, niger fit lapis. quando vero id ipsum similiter ex commixtione multo privatur humore, sed tenuioribus terrae partibus constat, salsumque est, et semiglaciale fit, perque aquam emergit, partim quidem olei terraeque purgatorium genus nitrum dicitur; partim vero quotidiano victui commodissimum legitime, sal Deo amicum corpus. At enim communia ex utrisque, aqua quidem non solubilia, igni vero propter tale aliquid ita conglutinantur. ipsas terrae moles ignis et aër non liquefacit. cum enim duo haec tenuissima sint et vacuitatibus terrae minutiora, ita per capacissimos eius meatus sine ulla vio-

αὐτὴν ἐάσαντα ἄτηκτον παρέσχε· τὰ δὲ ὕδατος ἐπειδὴ μείζω πέφυκε μέρη, βίαιον ποιούμενα τὴν διέξοδον, λύοντα αὐτὴν τήκει. γῆν μὲν ἀξύστατον ὑπὸ βίας οὕτως ὕδωρ μόνον λύει, ξυνεστηκυῖαν δὲ πλὴν πυρὸς οὐδέν· εἴσοδος γὰρ οὐδενὶ πλὴν πυρὶ λέλειπται. τὴν δὲ ὕδατος αὖ ξύνοδον τὴν μὲν βιαιοτάτην πῦρ μόνον, τὴν δὲ ἀσθενεσέραν ἀμφότερα, πῦρ τε καὶ ἀήρ, διαχεῖτον, ὃ μὲν κατὰ τὰ διάκενα, τὸ δὲ καὶ κατὰ τὰ τρίγωνα. βίᾳ δὲ ἀέρα ξυστάντα οὐδὲν λύει πλὴν κατὰ τὸ στοιχεῖον, ἀβίαστον δὲ κατατήκει μόνον πῦρ. τὰ δὲ δὴ τῶν ξυμμίκτων ἐκ γῆς τε καὶ ὕδατος σωμάτων, μέχρι περ ἂν ὕδωρ αὐτοῦ τὰ τῆς γῆς διάκενα καὶ βίᾳ ξυμπεπιλημένα κατέχῃ, τὰ μὲν ὕδατος ἐπιόντα ἔξωθεν εἴσοδον οὐκ ἔχοντα μέρη περιῤῥέοντα τὸν ὅλον ὄγκον ἄτηκτον εἶασε, τὰ δὲ πυρὸς εἰς τὰ τῶν ὑδάτων διάκενα εἰσιόντα, ὅ περ ὕδωρ γῆν, τοῦτο δὲ πῦρ ἀέρα ἀπεργαζόμενα, τηχθέντι τῷ κοινῷ σώματι ῥεῖν μόνα αἴτια ξυμβέβηκε. τυγχάνει δὲ ταῦτα ὄντα, τὰ μὲν ἔλαττον ἔχοντα ὕδατος ἢ γῆς τό τε περὶ τὴν ὕαλον γένος ἅπαν ὅσα τε λίθων χυτὰ εἴδη καλεῖται, τὰ δὲ πλέον ὕδατος αὖ πάντα ὅσα κηροειδῆ καὶ ὑμενικὰ σώματα ξυμπήγνυται.

lentia permanant, ut neque eam dissolvant neque liquefaciant. aquae vero partes, quia maiores sunt, violento fluxu liquefaciunt. terram itaque male compactam sic sola aqua vi solvit, compactam vero dumtaxat ignis: nihil enim praeter ignem hanc penetrat. aquae rursus concretionem, violentissimam quidem solus ignis, debiliorem vero utraque, et ignis et aër, diffundunt: aër, inquam, per vacua, ignis etiam per triangulos. aërem vero vi constrictum nihil nisi per elementum solvit: sine vi cohaerentem solus resolvit ignis. corpora ex aqua terraque ita composita. ut aqua terrae inania vi coarctata obstruat, sic prorsus se habent, ut aqua exterior influere per ea non possit, ideoque minime liquefaciat: sed ignis, aquae meatus penetrans, quemadmodum et aqua terrae inania, atque ita aquam afficiens, ut ignis aërem, communi corpori liquefactionis causam praebeat. haec vero partim aquae minus habent quam terrae, quemadmodum vitri genus, et lapides illi, qui fusiles apellantur: partim contra plus aquae, qualia sunt omnia, quae conglutinata sunt cereaque evadunt et vapores emittunt.

Καὶ τὰ μὲν δὴ σχήμασι κοινωνίαις τε καὶ μεταλλαγαῖς εἰς ἄλληλα πεποικιλμένα εἴδη σχεδὸν ἐπιδέδεικται, τὰ δὲ παθήματα αὐτῶν δι' ἃς αἰτίας γέγονε πειρατέον ἐμφανίζειν. πρῶτον μὲν οὖν ὑπάρχειν αἰσθησιν δεῖ τοῖς λεγομένοις ἀεί. σαρκὸς δὲ καὶ τῶν περὶ σάρκα γένεσιν, ψυχῆς τε ὅσον θνητόν, οὔπω διειλήλυθαμεν. τυγχάνει δὲ οὔτε ταῦτα χωρὶς τῶν περὶ τὰ παθήματα ὅσα αἰσθητικά, οὔτ' ἐκεῖνα ἄνευ τούτων δυνατὰ ἱκανῶς λεχθῆναι· τὸ δὲ ἅμα σχεδὸν οὐ δυνατόν. ὑποθετέον δὴ πρότερον θάτερα, τὰ δ' ὕστερα 1
ὑποτεθέντα ἐπάνιμεν αὖθις. ἵνα οὖν ἑξῆς τὰ παθήματα λέγηται τοῖς γένεσιν, ἔσω πρότερα ἡμῖν τὰ περὶ σῶμα καὶ ψυχὴν ὄντα. Πρῶτον μὲν οὖν ἥ πῦρ θερμὸν λέγομεν, ἴδωμεν ὧδε σκοποῦντες, τὴν διάκρισιν καὶ τομὴν αὐτοῦ περὶ τὸ σῶμα ἡμῶν γιγνομένην ἐννοηθέντες. ὅτι μὲν γὰρ ὀξύ τι τὸ πάθος, πάντες σχεδὸν αἰσθανόμεθα· τὴν δὲ λεπτότητα τῶν πλευρῶν καὶ γωνιῶν ὀξύτητα τῶν τε μορίων σμικρότητα καὶ τῆς φορᾶς τὸ τάχος, οἷς πᾶσι σφοδρὸν ὂν καὶ τομὸν ὀξέως
62 *τὸ προστυχὸν ἀεὶ τέμνει, λογιστέον ἀναμιμνησκομένοις* 2

Hactenus eas species, quae figuris, communionibus commutationibusque invicem variantur, paene iam demonstravimus: quas vero ob causas passiones earum nascantur, deinceps demonstrare conabimur. principio sensum his, quae dicta sunt, adesse semper oportet. carnis vero et eorum, quae ad carnem attinent, generationem, animae quoque quantum mortale est, nondum declaravimus. sunt enim haec a passionibus, quaecunque cum sensu sunt, minime separata, et illae sine his exponi sufficienter non possunt; simul vero expleri ferme nequeunt. primo igitur alia ponenda sunt, deinde, quae sequuntur, expedienda. ut ergo deinceps in disputando genera passiones ipsae sequantur, prima nobis exstent, quae ad corpus et animam pertinent. In primis, qua ratione ignis calidus dicitur, videamus: quod ita demum perspiciemus, si discretionem divisionemque, ab eo in nostro corpore factam, consideremus. quod enim acumen quoddam ea passio est, ferme est omnibus manifestum: tenuitatem vero angulorum laterumque subtilitatem, parvitatem particularum, motus velocitatem, quibus omnibus vehemens et penetrans est, velociterque, quod occurrit, dividit semper et dissipat, considerare debemus, figurae ipsius generationem

τὴν τοῦ σχήματος αὐτοῦ γένεσιν, ὅτι μάλιστα ἐκείνη καὶ οὐκ ἄλλη φύσις διακρίνουσα ἡμῶν κατὰ σμικρά τε τὰ σώματα κερματίζουσα, τοῦτο ὃ νῦν θερμὸν λέγομεν, εἰκότως τὸ πάθημα καὶ τοὔνομα παρέσχε. Τὸ δ' ἐναντίον τούτῳ κατάθηλον μέν, ὅμως δὲ μηδὲν ἐπιδεὲς ἔξω λόγου. τὰ γὰρ δὴ τῶν περὶ τὸ σῶμα ὑγρῶν μεγαλομερέστερα εἰσιόντα, τὰ σμικρότερα ἐκθοῦντα, εἰς τὰς ἐκείνων οὐ δυνάμενα ἕδρας ἐνδῦναι, ξυνωθοῦντα ἡμῶν τὸ νοτερόν, ἐξ ἀνωμάλου κεκινημένου τε ἀκίνητον διὰ ὁμαλότητα καὶ τὴν ξύνωσιν ἀπεργαζόμενα πήγνυσι· τὸ δὲ παρὰ φύσιν ξυναγόμενον μάχεται κατὰ φύσιν αὐτὸ ἑαυτὸ εἰς τοὐναντίον ἀπωθοῦν. τῇ δὴ μάχῃ καὶ τῷ σεισμῷ τούτῳ τρόμος καὶ ῥῖγος ἐτέθη, ψυχρόν τε τὸ πάθος ἅπαν τοῦτο καὶ τὸ δρῶν αὐτὸ ἔσχεν ὄνομα. Σκληρὸν δέ, ὅσοις ἂν ἡμῶν ἡ σὰρξ ὑπείκῃ· μαλακὸν δέ, ὅσα ἂν τῇ σαρκί· πρὸς ἄλληλά τε οὕτως. ὑπείκει δὲ ὅσον ἐπὶ σμικροῦ βαίνει· τὸ δὲ ἐκ τετραγώνων ὂν βάσεων, ἅτε βεβηκὸς σφόδρα, ἀντιτυπώτατον εἶδος, ὅ τί τε ἂν εἰς πυκνότητα ξυνιὸν πλείστην ἀντίτονον ἧ μάλιστα. Βαρὺ δὲ καὶ κοῦφον μετὰ τῆς κάτω φύσεως

memoria repetentes. ea quippe, non alia natura, corpora nostra dividens, et in partes exiguas partiens, merito passionem illam, quae legitime calor nominatur, inducit. contraria vero huic passio, licet cuique manifesta, sua tamen explanatione non careat. humidae namque partes corporum, partibus nostris humidis grandiores, cum in corpus influunt nostrum, minores quidem partes extrudunt, sed in earum sedes sese insinuare non possunt: humorem autem nostrum coagulant, atque ex inaequali et agitato immobilem propter aequalitatem coagulumque faciunt, inque angustum cogunt. quod autem praeter naturam coactum est, secundum naturam renititur seque revocat in contrarium. in hac reluctatione quassationeque tremor rigorque consistit: omnisque huiusmodi passio frigus, quodve eam infert, frigidum nominatur. Durum autem dicimus illud, cui caro nostra cedit: molle, quod carni: resque ipsas invicem et duras et molles eadem ratione vocamus. cedit autem, quicquid parvo nititur. quod vero ex triangularibus basibus firmamentisque est, utpote plano vehementer innixum, renititur maxime atque resistit: quodve summopere densum est, contra venientia vehementer repercutit. Grave praeterea et leve

ἄνω τε λεγομένης ἐξεταζόμενον ἂν δηλωθείη σαφέστατα. φύσει γὰρ δή τινας τόπους δύο εἶναι διειληφότας διχῇ τὸ πᾶν, ἐναντίους, τὸν μὲν κάτω, πρὸς ὃν φέρεται πάνθ' ὅσα τινὰ ὄγκον σώματος ἔχει, τὸν δ' ἄνω, πρὸς ὃν ἀκουσίως ἔρχεται πᾶν, οὐκ ὀρθὸν οὐδαμῇ νομίζειν. τοῦ γὰρ παντὸς οὐρανοῦ σφαιροειδοῦς ὄντος, ὅσα μὲν ἀφεξῆτα ἴσον τοῦ μέσου γέγονεν ἔσχατα, ὁμοίως αὐτὰ χρὴ ἔσχατα πεφυκέναι, τὸ δὲ μέσον τὰ αὐτὰ μέτρα τῶν ἐσχάτων ἀφεξηκὸς ἐν τῷ καταντικρὺ νομίζειν δεῖ πάντων εἶναι. τοῦ δὴ κόσμου ταύτῃ πεφυκότος τί τῶν 1
εἰρημένων ἄνω τις ἢ κάτω τιθέμενος οὐκ ἐν δίκῃ δόξει τὸ μηδὲν προσῆκον ὄνομα λέγειν; ὁ μὲν γὰρ μέσος ἐν αὐτῷ τόπος οὔτε κάτω πεφυκὼς οὔτε ἄνω λέγεσθαι δίκαιος, ἀλλ' αὐτὸ ἐν μέσῳ· ὁ δὲ περὶξ οὔτε δὴ μέσος οὔτ' ἔχων διάφορον αὑτοῦ μέρος ἕτερον θατέρου μᾶλλον πρὸς τὸ μέσον ἢ τι τῶν καταντικρύ. τοῖ δὲ ὁμοίως πάντῃ πεφυκότος ποιά τις ἐπιφέρων ὀνόματα αὐτῷ ἐναντία καὶ πῇ καλῶς ἂν ἡγοῖτο λέγειν; εἰ γάρ τι
63 καὶ σφαιρεὸν εἴη κατὰ μέσον τοῦ παντὸς ἰσοπαλές, εἰς οὐδὲν ἄν ποτε τῶν ἐσχάτων ἐνεχθείη διὰ τὴν πάντῃ 2
ὁμοιότητα αὐτῶν· ἀλλ' εἰ καὶ περὶ αὐτὸ πορεύοιτό τις

cum ea natura simul, quae sursum deorsumve dicitur, commodissime declarabitur. sed illud dictu absurdum est, esse duo quaedam natura loca, a se invicem longo intervallo distincta, et unum quidem deorsum vocari, ad quem locum ea deferantur omnia, quaecunque molem quandem corporis habent; alterum vero sursum, ad quem vi omnia moveantur. cum enim coelum omne rotundum sit, quaecunque a medio aeque distantia extrema facta sunt, similiter esse oportet extrema. medium quoque aequalibus lineis ab extremis undique distans, e regione aeque omnia respicit. quoniam igitur ita mundus dispositus est, si quis dictorum quicquam sursum esse dixerit vel deorsum, non iniuria errare videbitur. medius enim locus in ipso neque sursum neque deorsum dici debet, sed medius. quod rursus undique circuit, neque medium est neque partem in se habet aliam ab alia differentem, quoad ipsum medium, et omnino quicquid sit e regione locatum. ei vero, quod sui ipsius simillimum est, contraria nomina iure nullus attribuet. si quid enim solidum aequilibratumque in universi medio sit, ad nullam extremorum partem propter perfectam ipsorum similitudinem declinabit: at si quis circa illud obambulet, saepe sibimet plantis stabit

ἐν κύκλῳ, πολλάκις ἂν ϛὰς ἀντίπους ταὐτὸν αὐτοῦ κάτω καὶ ἄνω προϵίποι. τὸ μὲν γὰρ ὅλον, καθά περ ἐῤῥηται νῦν δή, σφαιροειδὲς ὂν τόπον τινὰ κάτω, τὸν δὲ ἄνω λέγειν ἔχειν οὐκ ἔμφρονος· ὅθεν δὲ ὠνομάσθη ταῦτα καὶ ἐν οἷς ὄντα ϵἰθίσμεθα δι' ἐκεῖνα καὶ τὸν οὐρανὸν ὅλον οὕτω διαιρούμενοι λέγειν, ταῦτα διομολογητέον ὑποθεμένοις τάδ' ἡμῖν. ϵἴ τις ἐν τῷ τοῦ παντὸς τόπῳ καθ' ὃν ἡ τοῦ πυρὸς ϵἴληχϵ μάλιϛα φύσις, οὗ καὶ πλεῖϛον ἂν ἠθροισμένον ϵἴη πρὸς ὃ φέρϵται, ἐπαναβὰς ἐπ' ἐκεῖνο καὶ δύναμιν ϵἰς τοῦτο ἔχων, μέρη τοῦ πυρὸς ἀφαιρῶν ἰϛαίη τιθϵὶς ϵἰς πλάϛιγγας, αἴρων τὸν ζυγὸν καὶ τὸ πῦρ ἕλκων ϵἰς ἀνόμοιον ἀέρα βιαζόμϵνος, δῆλον ὡς τοὖλαττόν που τοῦ μείζονος ῥᾷον βιᾶται· ῥώμῃ γὰρ μιᾷ δυϵῖν ἅμα μϵτϵωριζομένοιν τὸ μὲν ἔλαττον μᾶλλον, τὸ δὲ πλέον ἧττον ἀνάγκη που κατατϵινόμϵνον ξυνέπϵϛθαι τῇ βίᾳ, καὶ τὸ μὲν πολὺ βαρὺ καὶ κάτω φϵρόμϵνον κληθῆναι, τὸ δὲ σμικρὸν ἐλαφρὸν καὶ ἄνω. ταὐτὸν δὴ τοῦτο δϵῖ φωρᾶσαι δρῶντας ἡμᾶς περὶ τόνδϵ τὸν τόπον. ἐπὶ γὰρ γῆς βϵβῶτϵς, γεώδη γένη διιϛάμϵνοι καὶ γῆν ἐνίοτϵ αὐτὴν ἕλκομϵν ϵἰς ἀνόμοιον ἀέρα βίᾳ καὶ παρὰ φύσιν, ἀμι-

oppositis, eandemque illius partem tum sursum tum deorsum vocabit. itaque universum, quemadmodum paulo ante diximus, cum sit rotundum, locum habere superiorem aut inferiorem vir prudens minime affirmabit. sed unde nomiṇata sunt ista, et in quibus ea intuiti, ex illis ad mundum totum transtulimus, huiusmodi quaedam in primis ponentes investigemus. si quis in ea mundi regione, quam ut plurimum sortitus est ignis et ad quam undique fertur, insideat, vimque aliquam nanciscatur, per quam ignis partes arripiat libretque, aut ubi in staterae lancibus collocavit, ut deorsum in dissimilem detorqueat aërem: constat plane minorem ignis portionem maiori facilius coactum iri. ubi enim duo simul uno robore suspenduntur, minus quidem magis, plus aurem minus inferenti vim cedit. et unum quidem grave deorsumque ferri dicitur, alterum vero sursum ac leve. idem nobis terram habitantibus accidit. nam terrae innixi perque eam gradientes terrena genera invicem separamus atque distinguimus, et saepe terram in dissimilem aërem iacimus violenter praeterque naturam, saepe

φότερα τοῦ ξυγγενοῦς ἀντεχόμενα. τὸ δὲ σμικρότερον ῥᾷον τοῦ μείζονος βιαζομένοις εἰς τὸ ἀνόμοιον πρότερον ξυνέπεται· κοῦφον οὖν αὐτὸ προσειρήκαμεν, καὶ τὸν τόπον εἰς ὃν βιαζόμεθα ἄνω, τὸ δ' ἐναντίον τούτοις πάθος βαρὺ καὶ κάτω. ταῦτ' οὖν δὴ διαφόρως ἔχειν αὐτὰ πρὸς αὐτὰ ἀνάγκη διὰ τὸ τὰ πλήθη τῶν γενῶν τόπον ἐναντίον ἄλλα ἄλλοις κατέχειν· τὸ γὰρ ἐν ἑτέρῳ κοῦφον ὂν τόπῳ τῷ κατὰ τὸν ἐναντίον τόπον ἐλαφρῷ καὶ τὸ βαρὺ τῷ βαρεῖ τῷ τε κάτω τὸ κάτω καὶ τὸ ἄνω τῷ ἄνω πάντ' ἐναντία καὶ πλάγια καὶ πάντως διάφορα πρὸς ἄλληλα ἀνευρεθήσεται γιγνόμενα καὶ ὄντα· τόδε γε μὴν ἕν τι διανοητέον περὶ πάντων αὐτῶν, ὡς ἡ μὲν πρὸς τὸ ξυγγενὲς ὁδὸς ἑκάστοις οὖσα βαρὺ μὲν τὸ φερόμενον ποιεῖ, τὸν δὲ τόπον εἰς ὃν τὸ τοιοῦτον φέρεται κάτω, τὰ δὲ τούτοις ἔχοντα ὡς ἑτέρως θάτερα. περὶ δὴ τούτων αὖ τῶν παθημάτων ταῦτα αἴτια εἰρήσθω. Λείου δ' αὖ καὶ τραχέος παθήματος αἰτίαν πᾶς που κατιδὼν καὶ ἑτέρῳ δυνατὸς ἂν εἴη λέγειν· σκληρότης γὰρ ἀνωμαλότητι μιχθεῖσα, τὸ δ' ὁμαλότης πυκνότητι παρέχεται.

64 Μέγιζον δὲ καὶ λοιπὸν τῶν κοινῶν περὶ ὅλον τὸ

partes utrasque, cognatae naturae participes, hic portio minor facilius quam maior, ad dissimilem locum iacta, prius violentiae cedit: eamque levem cognominamus, et locum, ad quem compellimus, sursum: contrariam his affectionem grave quiddam atque deorsum. haec utique differre invicem necessarium est, propterea quod genera multitudines locum aliis contrarium obtinent. quod enim in alio loco leve est, levi, quod in loco est contrario: et grave simimiliter, gravi: et ei, quod deorsum dicitur, id quod deorsum: eique, quod sursum, id quod dicitur sursum. omnia enim haec transversa invicem et contraria ac penitus differentia esse fierique reperientur. unum tamen id de his omnibus cogitandum, quod via gressioque singulorum, ad simile atque cognatum ferens, grave facit id, quod fertur: locum vero, in quem tale quid fertur, deorsum. quae aliter se habent, aliter afficit. harum igitur passionum huiusmodi quaedam dictae sint causae. Laevis item et asperae passionis causam quilibet intuitus aperire aliis poterit, duritiei enim hanc inaequalitati permixta, illam vero aequalitas exhibet densitati. Sed earum passionum, quae circa totum

σῶμα παθημάτων τὸ τῶν ἡδέων καὶ τῶν ἀλγεινῶν αἴτιον ἐν οἷς διειλήλύθαμεν καὶ ὅσα διὰ τῶν τοῦ σώματος μορίων αἰσθήσεις κεκτημένα καὶ λύπας ἐν αὑτοῖς ἡδονάς θ' ἅμα ἑπομένας ἔχει. ὧδ' οὖν κατὰ παντὸς αἰσθητοῦ καὶ ἀναισθήτου παθήματος τὰς αἰτίας λαμβάνωμεν, ἀναμιμνησκόμενοι τὸ τῆς εὐκινήτου τε καὶ δυσκινήτου φύσεως ὅτι διειλόμεθα ἐν τοῖς πρόσθεν· ταύτῃ γὰρ δὴ μεταδιωκτέον πάντα ὅσα ἐπινοοῦμεν ἑλεῖν. τὸ μὲν γὰρ κατὰ φύσιν εὐκίνητον, ὅταν καὶ βραχὺ πάθος εἰς αὐτὸ ἐμπίπτῃ, διαδίδωσι κύκλῳ μόρια ἕτερα ἑτέροις ταὐτὸν ἀπεργαζόμενα, μέχρι περ ἂν ἐπὶ τὸ φρόνιμον ἐλθόντα ἐξαγγείλῃ τοῦ ποιήσαντος τὴν δύναμιν· τὸ δ' ἐναντίον ἑδραῖον ὂν κατ' οὐδένα τε κύκλον ἰὸν πάσχει μόνον, ἄλλο δὲ οὐ κινεῖ τῶν πλησίον, ὥστε οὐ διαδιδόντων μορίων μορίοις ἄλλων ἄλλοις τὸ πρῶτον πάθος ἐν αὐτοῖς ἀκίνητον εἰς τὸ πᾶν ζῶον γενόμενον ἀναίσθητον παρέσχε τὸ παθόν. ταῦτα δὲ περί τε ὀξᾶ καὶ τρίχας ἐξὶ καὶ ὅσα ἄλλα γήϊνα τὸ πλεῖστον ἔχομεν ἐν ἡμῖν μόρια· τὰ δὲ ἔμπροσθεν περὶ τὰ τῆς ὄψεως καὶ ἀκοῆς μάλιστα, διὰ τὸ πυρὸς ἀέρος τε ἐν αὖ-

corpus communiter accidunt, ea restat maxima, quae voluptatis delorisque est causa in his, quae diximus: similiter quaecunque per corporis partes sensibus patent, doloresque et voluptates cient. ita igitur omnis tam sensibilis quam insensibilis passionis causas capiamus, inprimis memoria repetentes, quod de ea natura, quae facile movetur, deque ea, quae movetur difficile, supra distinximus. hoc enim pacto ea persequi debemus omnia, quae comprehendere cupimus. quando in id, quod facile moveri solet, aliqua vel brevis incidit passio, partes eius quaelibet sequentibus partibus undique passionem ipsam transfundunt, quousque ad prudentiae sedem perveniatur, ubi per hos quasi nuntios potentia illius, quod passionem [illegible]ulit, noscitur. quod vero contra est affectum et immobile quo[illegible]modo permanet, circularem illam transfusionem non habet, et ipsum quidem patitur solum, prozima vero minime movet. quapropter cum partes aliae aliis passionem primam non impertiant, totumque animal hinc minime agitetur, sensus expers id, quod patitur, exstat. id profecto circa ossa capillosque et reliquas partes, quae terrenae ut pluri mum in nobis sunt, accidit. visus vero et auditus instrumenta aliter omnino efficiunt, quia illis ignis aërisque vis maxima

τοῖς δύναμιν ἐνεῖναι μεγίστην. τὸ δὴ τῆς ἡδονῆς καὶ λύπης ὧδε δεῖ διανοεῖσθαι. τὸ μὲν παρὰ φύσιν καὶ βίαιον γιγνόμενον ἄθρόον παρ' ἡμῖν πάθος ἀλγεινόν, τὸ δ' εἰς φύσιν ἀπιὸν πάλιν ἄθρόον ἡδύ, τὸ δὲ ἠρέμα καὶ κατὰ σμικρὸν ἀναίσθητον, τὸ δ' ἐναντίον τούτοις ἐναντίως. τὸ δὲ μετ' εὐπετείας γιγνόμενον ἅπαν αἰσθητὸν μὲν ὅτι μάλιστα, λύπης δὲ καὶ ἡδονῆς οὐ μετέχον, οἷον τὰ περὶ τὴν ὄψιν αὐτὴν παθήματα, ἢ δὴ σῶμα ἐν τοῖς πρόσθεν ἐρρήθη καθ' ἡμέραν ξυμφυὲς ἡμῶν γίγνεσθαι. ταύτῃ γὰρ τομαὶ μὲν καὶ καύσεις καὶ ὅσα ἄλλα πάσχει λύπας οὐκ ἐμποιοῦσιν, οὐδὲ ἡδονὰς πάλιν ἐπὶ ταὐτὸν ἀπιούσης εἴδος, μέγιστα δὲ αἰσθήσεις καὶ σαφέστατα καθότι τ' ἂν| πάθῃ καὶ ὅσων ἂν αὐτὴ πῇ προσβάλλουσα ἐφάπτηται· βία γὰρ τὸ πάμπαν οὐκ ἔνεστι διακρίσει τε αὐτῆς καὶ συγκρίσει. τὰ δὲ ἐκ μειζόνων μερῶν σώματα μόγις εἴκοντα τῷ δρῶντι, διαδιδόντα δὲ εἰς ὅλον τὰς κινήσεις, ἡδονὰς ἴσχει καὶ λύπας, ἀλλοτριούμενα μὲν λύπας, καθιστάμενα δὲ εἰς ταὐτὸν πάλιν ἡδονάς. ὅσα δὲ κατὰ σμικρὸν τὰς ἀποχωρήσεις ἑαυτῶν καὶ κενώσεις εἴληφε, τὰς δὲ πληρώσεις ἀθρόας καὶ κατὰ μεγάλα, κενώσεως μὲν ἀναί-

inest. quod praeterea ad voluptatem attinet et dolorem, ita considerandum. passio violenter praeterque naturam abunde simulque nobis illata molesta fit: rursus quae in naturam abunde simulque revertitur, dulcis: quae contra fit, contra. passio vero magna cum facilitate illata sentitur quidem maxime, voluptatis autem et doloris minime particeps est. huiusmodi sunt, quae ex aspectu proveniunt, cui quidem corpus nostrum cognatum fieri in die supra narravimus. huic adustiones sectionesve, et quaecunque passiones huiusmodi, dolorem non inferunt; nec etiam, quando in suam speciem fit restitutio, voluptatem. sensus tamen vehementes clarissimique ipsi competunt, quatenus aliquid patitur, incurritque in aliquid et attingit. violentia siquidem huius discretioni concretionive nulla penitus inest. Corpora vero ex partibus grandioribus constituta et vix agenti cedentia, quando motiones illatas in totum corpus traiiciunt, voluptates doloresque continent: quando videlicet e suo statu moventur, dolores; quando redeunt, voluptates. quaecunque paulatim abscessus evacuationesque sui perpetiuntur, repletiones vero simul atque abunde, cum evacua-

σθητα, πληρώσεως δὲ αἰσθητικὰ γιγνόμενα, λύπας μὲν οὐ παρέχει τῷ θνητῷ τῆς ψυχῆς, μεγίσας δὲ ἡδονάς· ἕξι δ' ἔνδηλα περὶ τὰς εὐωδίας. ὅσα δὲ ἀπαλλοτριοῦται μὲν ἀθρόα, κατὰ σμικρὰ δὲ μόγις τε εἰς ταὐτὸν πάλιν ἑαυτοῖς καθίσταται, τοὐναντίον τοῖς ἔμπροσθεν πάντα ἀποδίδωσι· ταῦτα δ' αὖ περὶ τὰς καύσεις καὶ τομὰς τοῦ σώματος γιγνόμενά ἐξι κατάδηλα.

Καὶ τὰ μὲν δὴ κοινὰ τοῦ σώματος παντὸς παθήματα, τῶν τε ἐπωνυμιῶν ὅσαι τοῖς δρῶσιν αὐτὰ γε-
10 γόνασι, σχεδὸν εἴρηται· τὰ δ' ἐν ἰδίοις μέρεσιν ἡμῶν γιγνόμενα, τά τε πάθη καὶ τὰς αἰτίας τῶν δρώντων αὐτά, πειρατέον εἰπεῖν, ἄν πῃ δυνώμεθα. Πρῶτον μὲν οὖν ὅσα τῶν χυμῶν πέρι λέγοντες ἐν τοῖς πρόσθεν ἀπελίπομεν, ἴδι' ὄντα παθήματα περὶ τὴν γλῶτταν, ἐμφανιξέον ᾗ δυνατόν. φαίνεται δὲ καὶ ταῦτα, ὥς περ οὖν καὶ τὰ πολλά, διὰ συγκρίσεών τέ τινων καὶ διακρίσεων γίγνεσθαι, πρὸς δὲ αὐταῖς κεχρῆσθαι μᾶλλόν τι τῶν ἄλλων τραχύτησί τε καὶ λειότησιν. ὅσα μὲν γὰρ ἰξιόντα περὶ τὰ φλέβια, οἷόν περ δοκιμεῖα τῆς γλώτ-
20 της τεταμένα ἐπὶ τὴν καρδίαν, εἰς τὰ νοτερὰ τῆς σαρκὸς καὶ ἁπαλὰ ἐμπίπτοντα γήϊνα μέρη κατατηκόμενα ξυνάγει τὰ φλέβια καὶ ἀποξηραίνει, τραχύτερα μὲν

tionis quidem sensum habeant nullum, repletionis autem habeant; mortali animae ipsius potentiae dolores nullos, voluptates vero maximas afferunt: quod ex suavium odorum perceptione cognoscitur. at quae e sua natura simul et abunde pelluntur, paulatim vero vix in eam restituuntur, contra quam superiora affici solent. hoc plane in secandis urendisque membris apparet. Iam communes toti corpori passiones easque inferentium cognomenta tractavimus. nunc igitur eas, quae certis nostri corporis partibus accidunt, et unde proveniunt, quibusve causis inferuntur, pro viribus exponamus. principio, quae supra, quando de humoribus agebamus, reliquimus, cum linguae passiones sint, si quo modo possumus, declaremus. videntur autem haec, quemadmodum et alia multa, discretionibus quibusdam et concretionibus fieri, ac praeterea laevitate asperitateque magis quam cetera uti. tenduntur a lingua venae ad cordis sedem, saporum nuntiae: in quas si qua ita inciderint, ut humidam carnis mollitiem penetrantia, terrestri sua natura modice liquefacta, venas ipsas contrahant arefaciantque, sapores huiusmodi pariunt: videlicet, si asperiora sunt, acerbos

ὄντα ξηρά, ἧττον δὲ τραχύνοντα αὐξηρὰ φαίνεται. τὰ δὲ τούτων τε ῥυπτικὰ καὶ πᾶν τὸ περὶ τὴν γλῶτταν ἀποπλύνοντα πέρα μὲν τοῦ μετρίου τοῦτο δρῶντα καὶ προσεπιλαμβανόμενα, ὥστε ἀποτήκειν αὐτῆς τῆς φύσεως, οἷον ἡ τῶν λίτρων δύναμις, πικρὰ πάνθ' οὕτως ὠνόμαζαι· τὰ δὲ ὑποδεέστερα τῆς λιτρώδους ἕξεως ἐπὶ τὸ μετριόν τε τῇ ῥύψει χρώμενα ἁλυκὰ ἄνευ πικρότητος τραχείας καὶ φίλα μᾶλλον ἡμῖν φαντάζεται. τὰ δὲ τῇ τοῦ ξόματος θερμότητι κοινωνήσαντα καὶ λειαινόμενα ὑπ' αὐτοῦ, ξυνεκπυρούμενα καὶ πάλιν 1
αὐτὰ ἀντικάοντα τὸ διαθερμῆναν, φερόμενά τε ὑπὸ κουφότητος ἄνω πρὸς τὰς τῆς κεφαλῆς αἰσθήσεις, τέ-
66 μνοντά τε πάνθ' ὁπόσοις ἂν προσπίπτῃ, διὰ ταύτας τὰς δυνάμεις δριμέα πάντα τὰ τοιαῦτα ἐλέχθη. τῶν δὲ αὐτῶν προλελεπτυσμένων μὲν ὑπὸ σηπεδόνος, εἰς δὲ τὰς ξενὰς φλέβας ἐνδυομένων, καὶ τοῖς ἐνοῦσιν αὐτόθι μέρεσι γεώδεσι καὶ ὅσα ἀέρος ξυμμετρίαν ἔχοντα, ὥστε κινήσαντα περὶ ἄλληλα ποιεῖν κυκᾶσθαι, κυκώμενα δὲ περιπίπτειν τε καὶ εἰς ἕτερα ἐνδυόμενα ἕτερα κοῖλα ἀπεργάζεσθαι, περιτεινόμενα τοῖς εἰσιοῦ- 2
σιν· ἃ δὴ νοτίδος περὶ ἀέρα κοίλης περιταθείσης, τοτὲ μὲν γεώδους, τοτὲ δὲ καὶ καθαρᾶς, νοτερὰ ἀγγεῖα ἀέ-

acresque; sin aspera minus, austeros et ponticos. quae et illas purgant, et, si qua linguae inhaerescunt, abluunt: si ultra modum id faciant, naturaeque ipsius nonnihil liquefaciant, qualis est in nitro potentia, amara omnia nominantur. sin autem vim nitro temperatiorem habent leniusque abstergunt, salsa, sine amaritudinis asperitate, magisque amica nobis apparent. quae autem applicata oris caliditati, ab eoque mollita et fervefacta ipsum vicissim ferveſaciunt, suaque levitate sursum ad sensus capitis elevantur, suoque attactu singula dividunt propter huiusmodi vires, acuta vocantur. quandoque vero haec eadem, ex putredine attenuata, angustas venas ingrediuntur, coguntque partes interiores, tam terrenas quam quodammodo aëreas, iactatas invicem commisceri, permixtasque circumlabi alias, et alias ingredi, ingressuque suo penetratas concavas tensasque efficere: ubi concavus et ampullosus humor aëri circumfunditur, isque humor alias terreus quoquo modo est, alias purus, fitque ex aqua concava vasculum aëris

ρος ὕδατα κοῖλα περιφερῆ τε γενέσθαι, καὶ τὰ μὲν τῆς καθαρᾶς διαφανεῖς περιξῆναι, κληθείσας ὄνομα φομφάλυγας, τὰ δὲ τῆς γεώδους, ὁμοῦ κινουμένης τε καὶ αἰρομένης, ζέσιν τε καὶ ζύμωσιν ἐπίκλην λεχθῆναι, τὸ δὲ τούτων αἴτιον τῶν παθημάτων ὀξὺ προσρηθῆναι. ξύμπασι δὲ τοῖς περὶ ταῦτα εἰρημένοις πάθος ἐναντίον ἀπ' ἐναντίας ἕξεως προφάσεως, ὁπόταν ἡ τῶν εἰσιόντων ξύσασις ἐν ὑγροῖς, οἰκεία τῇ τῆς γλώττης ἕξει πεφυκυῖα, λειαίνῃ μὲν ἐπιλείφουσα τὰ τραχυνθέντα, τὰ δὲ παρὰ φύσιν ξυνεχῶτα ἢ κεχυμένα τὰ μὲν ξυνάγῃ, τὰ δὲ χαλᾷ, καὶ πάνθ' ὅτι μάλιστα ἱδρύῃ κατὰ φύσιν· ἡδὺ καὶ προσφιλὲς παντὶ πᾶν τὸ τοιοῦτον ἴαμα τῶν βιαίων παθημάτων γιγνόμενον κέκληται γλυκύ.

Καὶ τὰ μὲν δὴ ταύτῃ ταῦτα· περὶ δὲ δὴ τὴν τῶν μυκτήρων δύναμιν εἴδη μὲν οὐκ ἔνι. τὸ γὰρ τῶν ὀσμῶν πᾶν ἡμιγενές, εἴδει δὲ οὐδενὶ ξυμβέβηκε ξυμμετρία πρὸς τό τινα σχεῖν ὀσμήν. ἀλλ' ἡμῶν αἱ περὶ ταῦτα φλέβες πρὸς μὲν τὰ γῆς ὕδατός τε γένη σενώτεραι ξυνέστησαν, πρὸς δὲ τὰ πυρὸς ἀέρος τε εὐρύτεραι, διὸ τούτων οὐδεὶς οὐδενὸς ὀσμῆς πώποτε ἤσθετό τινος, ἀλλ' ἀεὶ βρεχομένων ἢ σηπομένων ἢ τηκομένων

humidum atque clarum. sed quod ex pura nascitur aqua, perlucet undique, ampullaque vocatur; quod autem ex lutulento magis humore, simul agitato quidem elatoque et circumtenso, conficitur, ebullitio, bulla fermentumque dicitur. harum omnium passionum causa acida qualitas appellatur. his omnibus, quae de his dicta sunt, contraria passio a contraria causa proficiscitur. quando vero ingredientium qualitas humida est linguae qualitati naturaliter concors et consentanea, ac lenit mollitque eam, contractamque demulcet asperitatem, et quae in nobis praeter naturam contracta vel sparsa fuerunt, relaxat vel colligit, ac summatim naturalem singulis restituit habitum, suave huiusmodi omne amicumque est omnibus, violentarum quoque passionum medicina atque remedium, dulceque vocatur. Circa narium vim species non sunt. semigenia enim odorum natura, speciei vero nulli competit odorem ullum habere: sed nostrae circa haec venae ad terrae et aquae genera angustiores sunt, ad ignis vero aërisque genera latiores. quocirca nemo unquam istorum aliquem sensit odorem: sed in madefactione quorundam vel liquefa-

ἢ θυμιωμένων γίγνονταί τινων· μεταβάλλοντος γὰρ
ὕδατος εἰς ἀέρα ἀέρος τε εἰς ὕδωρ ἐν τῷ μεταξὺ τού-
των γεγόνασιν, εἰσί τε ὀσμαὶ ξύμπασαι καπνὸς ἢ ὁμί-
χλη. τούτων δὲ τὸ μὲν ἐξ ἀέρος εἰς ὕδωρ ἰὸν ὁμίχλη,
τὸ δὲ ἐξ ὕδατος εἰς ἀέρα καπνός. ὅθεν λεπτότεραι μὲν
ὕδατος, παχύτεραι δὲ ὀσμαὶ ξύμπασαι γεγόνασιν ἀέ-
ρος. δηλοῦνται δέ, ὁπόταν τινὸς ἀντιφραχθέντος περὶ
τὴν ἀναπνοὴν ἄγῃ τις βίᾳ τὸ πνεῦμα εἰς αὑτόν· τότε
γὰρ ὀσμὴ μὲν οὐδεμία ξυνδιηθεῖται, τὸ δὲ πνεῦμα
67 τῶν ὀσμῶν ἐρημωθὲν αὐτὸ μόνον ἕπεται. δύ' οὖν
ταῦτα ἀνώνυμα τὰ τούτων ποικίλματα γέγονεν, οὐκ
ἐκ πολλῶν οὐδ' ἁπλῶν εἰδῶν ὄντα, ἀλλὰ διχῇ τό θ' ἡδὺ
καὶ τὸ λυπηρὸν αὐτόθι μόνω διαφανῆ λέγεσθον, τὸ
μὲν τραχῦνόν τε καὶ βιαζόμενον τὸ κύτος ἅπαν, ὅσον
ἡμῶν μεταξὺ κορυφῆς τοῦ τε ὀμφαλοῦ κεῖται, τὸ δὲ
ταὐτὸν τοῦτο καταπραῦνον καὶ πάλιν ἧ πέφυκεν ἀγα-
πητῶς ἀποδιδόν.

Τρίτον δὲ αἰσθητικὸν ἐν ἡμῖν μέρος ἐπισκοποῦσι
τὸ περὶ τὴν ἀκοήν, δι' ἃς αἰτίας τὰ περὶ αὐτὸ ξυμ-
βαίνει παθήματα, λεκτέον. ὅλως μὲν οὖν φωνὴν θῶ-
μεν τὴν δι' ὠτῶν ὑπ' ἀέρος ἐγκεφάλου τε καὶ αἵματος

ction vel evaporatione gignuntur odores. cum enim in aërem aqua vel aër in aquam transit, in medio istorum odores fiunt, omnisque odor aut fumus est aut caligo. sed horum quod ex aëre mutatur in aquam, caligo; quod vero ex aqua in aërem, fumus. hinc fit, ut aqua odores tenuiores sint, aëre crassiores. quod maxime perspicuum fit, quando, certa quadam re naribus occurrente, aliquis in se ipsum vehementer spiritum retrahit. tunc sane nullus simul influit odor, spiritus autem ab odore nudus solus sequitur. duae igitur hae in his varietates absque nomine sunt, nec ex pluribus nec ex simplicibus speciebus: sed duo ibi nomina tantum manifesta sunt, suave scilicet et molestum. hoc quidem disturbat violatque omnem eam capacitatem, quae a summo capitis vertice ad umbilicum protenditur. illud vero eandem mulcet, et amico quodam ingressu naturalem eius servat habitum. Tertiam praeterea vim sentiendi, auditum videlicet, ita considerare debemus, ut, quibus ex causis passiones eius proveniant, exponamus. omnino igitur vocem ponamus pulsationem quandam ab aëre per aures

μέχρι ψυχῆς πληγὴν διαδιδομένην, τὴν δὲ ὑπ' αὐτῆς κίνησιν, ἀπὸ τῆς κεφαλῆς μὲν ἀρχομένην, τελευτῶσαν δὲ περὶ τὴν τοῦ ἥπατος ἕδραν, ἀκοήν· ὅση δ' αὐτῆς ταχεῖα, ὀξεῖαν, ὅση δὲ βραδυτέρα, βαρυτέραν· τὴν δὲ ὁμοίαν ὁμαλήν τε καὶ λείαν, τὴν δ' ἐναντίαν τραχεῖαν· μεγάλην δὲ τὴν πολλήν, ὅση δ' ἐναντία, σμικράν. τὰ δὲ περὶ ξυμφωνίας αὐτῶν ἐν τοῖς ὕστερον λεχθησομένοις ἀνάγκη ῥηθῆναι.

Τέταρτον δὴ λοιπὸν ἔτι γένος ἡμῖν αἰσθητικόν, ὃ διελέσθαι δεῖ συχνὰ ἐν ἑαυτῷ ποικίλματα κεκτημένον, ἃ ξύμπαντα μὲν χρόας ἐκαλέσαμεν, φλόγα τῶν σωμάτων ἑκάστων ἀποῤῥέουσαν, ὄψει ξύμμετρα μόρια ἔχουσαν πρὸς αἴσθησιν· ὄψεως δὲ ἐν τοῖς πρόσθεν αὐτῶν περὶ τῶν αἰτίων τῆς γενέσεως ἐῤῥήθη. τῇδ' οὖν τῶν χρωμάτων πέρι μάλιστα εἰκὸς πρέποι τ' ἂν ἐπεικεῖ λόγῳ διεξελθεῖν, τὰ φερόμενα ἀπὸ τῶν ἄλλων μόρια ἐμπίπτοντά τε εἰς τὴν ὄψιν τὰ μὲν ἐλάττω, τὰ δὲ μείζω, τὰ δ' ἴσα τοῖς αὐτῆς τῆς ὄψεως μέρεσιν εἶναι, τὰ μὲν οὖν ἴσα ἀναίσθητα, ἃ δὴ καὶ διαφανῆ λέγομεν, τὰ δὲ μείζω καὶ ἐλάττω, τὰ μὲν συγκρίνοντα, τὰ δὲ διακρίνοντα αὐτήν, τοῖς περὶ τὴν σάρκα θερμοῖς καὶ ψυχροῖς καὶ τοῖς περὶ τὴν γλῶτταν στυφνοῖς καὶ ὅσα θερμαν-

cerebrumque et sanguinem usque ad animam penetrantem. natam quoque ex ea motionem, incipientem a capite et in sedem iecoris desinentem, auditum vocemus. motio quidem velox acuta provenit, tarda gravis: una aequalis atque laevis, contraria vero aspera, magna, quae multa: parva, quae pauca. harum vocum concordiam consonantiasque in sequentibus declarabimus. Sequitur quartum sentiendi genus exponendum, quod varietatem in se plurimam continet: et quae sub eo sunt omnia, colores vocantur. est autem color veluti flammula quaedam fulgorque a singulis corporibus emanans, partes habens visui ad sentiendum accommodatas. causas vero, ex quibus visus gignitur, supra tractavimus: nunc de coloribus potissimum hoc pacto probabilia dicenda videntur. quae ab aliis delata partibus in aspectum cadunt. partim minora, partim maiora, partim visus ipsius partibus aequalia sunt. aequalia quidem sentiri non possunt, quae diaphana, id est utrinque perspicua, nominantur. minora vero aut maiora partim discernere partim contrahere visum dicimus, instar eorum quae caliditate vel frigiditate carnem, aut eorum quae acrimonia vel acumine caliditateve linguam contrahunt

τικὰ ὄντα ὁρισμέα ἐκαλέσαμεν ἀδελφὰ εἶναι, τά τε λευκὰ καὶ τὰ μέλανα, ἐκείνων παθήματα γεγονότα ἐν ἄλλῳ γένει ταὐτά, φανταζόμενα δὲ ἄλλα διὰ ταύτας τὰς αἰτίας. οὕτως οὖν αὐτὰ προσρητέον, τὸ μὲν διακριτικὸν τῆς ὄψεως λευκόν, τὸ δ' ἐναντίον αὐτοῦ μέλαν, τὴν δ' ὀξυτέραν φορὰν καὶ γένους πυρὸς ἑτέρου προσπίπτουσαν καὶ διακρίνουσαν τὴν ὄψιν μέχρι τῶν ὀμμάτων, αὐτάς τε τῶν ὀφθαλμῶν τὰς διεξόδους βία
68 διωθοῦσαν καὶ τήκουσαν, πῦρ μὲν καὶ ὕδωρ ἀθρόον, ὃ δάκρυον καλοῦμεν, ἐκεῖθεν ἐκχέουσαν, αὐτὴν δὲ οὖ- I.
σαν πῦρ, ἐξ ἐναντίας ἁπαντῶσαν, καὶ τοῦ μὲν ἐκπηδῶντος πυρὸς οἷον ἀπ' ἀξραπῆς, τοῦ δ' εἰσιόντος καὶ περὶ τὸ νοτερὸν καταβεννυμένου, παντοδαπῶν ἐν τῇ κυκήσει ταύτῃ γιγνομένων χρωμάτων, μαρμαρυγὰς μὲν τὸ πάθος προσείπομεν, τὸ δὲ τοῦτο ἀπεργαζόμενον λαμπρόν τε καὶ σίλβον ἐπωνομάσαμεν. τὸ δὲ τούτων αὖ μεταξὺ πυρὸς γένος, πρὸς μὲν τὸ τῶν ὀμμάτων ὑγρὸν ἀφικνούμενον καὶ περαννύμενον αὐτῷ, σίλβον δὲ οὔ, τῇ δὲ διὰ τῆς νοτίδος αὐγῇ τοῦ πυρὸς μιγνυμένη χρῶμα ἔναιμον παρασχομένῃ, τοὔνομα ἐρυθρὸν 2
λέγομεν. λαμπρόν τε ἐρυθρῷ λευκῷ τε μιγνύμενον ξαν-

vel discernunt. atque ea, quae visum sic afficiunt, alba nigrave vocamus: quae quidem passiones eorum sunt, quae modo narrabam, et illorum quidem germana eademque quodammodo, sed in genere alio, diversa tamen propter has causas esse videntur. sic utique appellanda sunt ista: quod visum disgregat, album; nigrum vero, quod congregat. motionem profecto acutiorem alteriusque generis ignis, incidentem dispergentemque visum usque ad oculos, orbesque ipsos oculorum meatusque vi diverberantem liquefacientemque, ignem esse dicimus ex opposito obviantem, cuius occursu lacrima, corpus ex igni et aqua mixtum, effunditur. et uno quidem igne velut e coruscatione quadam exsiliente, altero vero penetrante et ab humore exstincto, varii creantur ex huiusmodi mixtione colores: atque ipsam passionem fulgorem coruscationemque vocamus; quodve id facit, splendidum atque coruscum. horum medium ignis genus ad oculorum humorem perveniens, illique se miscens, minime quidem coruscum, sed ex ipsa ignei radii ad humorem admixtione, sanguineum creante colorem, rubeum nominamus. splendidum albumque rubeo mixtum flavum procreat.

θὸν γέγονε· τὸ δ' ὅσον μέτρον ὅσοις, οὐδ' εἴ τις εἰδείη, νοῦν ἔχει τὸ λέγειν, ὧν μή τέ τινα ἀνάγκην μήτε τὸν εἰκότα λόγον καὶ μετρίως ἄν τις εἰπεῖν εἴη δυνατός. ἐρυθρὸν δὲ δὴ μέλανι λευκῷ τε κραθὲν ἀλουργοῦν· ὄρφνινον δέ, ὅταν τούτοις μεμιγμένοις καυθεῖσί τι μᾶλλον συγκραθῇ μέλαν. πυρρὸν δὲ ξανθοῦ τε καὶ φαιοῦ πράσει γίγνεται, φαιὸν δὲ λευκοῦ τε καὶ μέλανος, τὸ δὲ ὠχρὸν λευκοῦ ξανθῷ μεμιγμένου. λαμπρῷ δὲ λευκὸν ξυνελθὸν καὶ εἰς μέλαν κατακορὲς ἐμπεσὸν κυανοῦν χρῶμα ἀποτελεῖται, κυανοῦ δὲ λευκῷ περαννυμένου γλαυκόν, πυρροῦ δὲ μέλανι πράσιον. τὰ δὲ ἄλλα ἀπὸ τούτων σχεδὸν δῆλα, αἷς ἂν ἀφομοιούμενα μίξεσι διασώζοι τὸν εἰκότα μῦθον. Εἰ δέ τις τούτων ἔργῳ σκοπούμενος βάσανον λαμβάνοι, τὸ τῆς ἀνθρωπίνης καὶ θείας φύσεως ἠγνοηκὼς ἂν εἴη διάφορον, ὅτι θεὸς μὲν τὰ πολλὰ εἰς ἓν ξυγκεραννύναι καὶ πάλιν ἐξ ἑνὸς εἰς πολλὰ διαλύειν ἱκανὸς ὡς ἐπισάμενος ἅμα καὶ δυνατός, ἀνθρώπων δὲ οὐδεὶς οὐδέτερα τούτων ἱκανὸς οὔτε ἔξι νῦν οὔτ' εἰσαῦθίς ποτ' ἔσαι.

Ταῦτα δὴ πάντα τότε ταύτῃ πεφυκότα ἐξ ἀνάγκης ὁ τοῦ καλλίστου τε καὶ ἀρίστου δημιουργὸς ἐν τοῖς

quo autem mensurae modo singula singulis misceantur, etiamsi quis noverit, narrare prudentis non est: praesertim cum neque necessariam neque verisimilem de his rationem afferre ullo modo possit. rubeum cum albo nigroque purpureum generat. paulo obscurior moreus luteolusque fit color, quando his invicem confiatis adustisque magis est adiuncta nigredo. fulvum flavi fuscique temperatione producitur. fuscum vero albi et nigri confusione. pallorem albi flavique copula generat. splendidum albo adiunctum plurimaque offusum nigredine caeruleum efficit. caeruleum cum albo glaucum creat. fulvi nigrique temperie color viridis nascitur. cetera ferme ex his omnia manifesta fiunt. si quis enim superiores mixtiones imitatus reliquos colores exsequitur, probabilibus rationibus disputabit. at si quis horum discussionem probationemque opere ipso aggredietur, quid inter humanam divinamque naturam intersit, ignorare videbitur. nempe Deus multa in unum colligere rursusque unum in multa producere sufficiens est: scit enim simul ac potest. homo autem nullus, qui alterutrum valeat, aut est nunc aut unquam erit. Haec sane omnia, ita tunc naturaliter affecta, ex necessitate ille pulcherrimi optimique operis fa-

γιγνομένοις παρελάμβανεν, ἡνίκα τὸν αὐτάρκη τε καὶ τὸν τελεώτατον θεὸν ἐγέννα, χρώμενος μὲν ταῖς περὶ ταῦτα αἰτίαις ὑπηρετούσαις, τὸ δὲ εὖ τεκταινόμενος ἐν πᾶσι τοῖς γιγνομένοις αὐτός. διὸ δὴ χρὴ δύ' αἰτίας εἴδη διορίζεσθαι, τὸ μὲν ἀναγκαῖον, τὸ δὲ θεῖον, καὶ τὸ μὲν θεῖον ἐν ἅπασι ζητεῖν κτήσεως ἕνεκα εὐδαίμονος βίου, καθ' ὅσον ἡμῶν ἡ φύσις ἐνδέχεται, τὸ δὲ ἀναγκαῖον ἐκείνων χάριν, λογιζομένους ὡς ἄνευ τούτων οὐ δυνατὰ αὐτὰ ἐκεῖνα, ἐφ' οἷς σπουδάζομεν, μόνα κατανοεῖν οὐδ' αὖ λαβεῖν οὐδ' ἄλλως μετασχεῖν.

69 Οὐ οὖν δὴ τὰ νῦν οἷα τέκτοσιν ἡμῖν ὕλη παρώκειται τὰ τῶν αἰτίων γένη διυλασμένα, ἐξ ὧν τὸν ἐπίλοιπον λόγον δεῖ ξυνυφανθῆναι, πάλιν ἐπ' ἀρχὴν ἀνέλθωμεν διὰ βραχέων ταχύ τε εἰς ταὐτὸν πορευθῶμεν ὅθεν δεῦρο ἀφικόμεθα, καὶ τελευτὴν ἤδη κεφαλήν τε τῷ μύθῳ πειρώμεθα ἁρμόττουσαν ἐπιθεῖναι τοῖς πρόσθεν. ὡς περ γὰρ οὖν καὶ κατ' ἀρχὰς ἐλέχθη, ταῦτα ἀτάκτως ἔχοντα ὁ θεὸς ἐν ἑκάστῳ τε αὐτῷ πρὸς αὑτὸ καὶ πρὸς ἄλληλα συμμετρίας ἐνεποίησεν, ὅσας τε καὶ ὅπῃ δυνατὸν ἦν ἀνάλογα καὶ σύμμετρα εἶναι. τότε γὰρ οὔτε

bricator in his, quae gignebantur, assumebat, quando Deum se ipso sufficientem et perfectissimum generabat, utens quidem causis ad haec ministris; quod autem bene se habebat, ipse in singulis agens. duas enim causarum species distinguere decet, unam quidem necessariam, alteram vero divinam: ac divinam in omnibus quaerere, ut beatam vitam, quoad naturae nostrae possibile est, adipiscamur: necessariam quoque causam illorum gratia perscrutari. cogitare enim oportet, absque his illa, in quibus studium ponimus, non posse intelligi vel comprehendi vel quomodocunque aliter percipi. Quoniam vero nobis in praesentia veluti fabris materia subiacet, causarum videlicet genera, vicem ferme iam praeparatae materiae obtinentia, ex quibus est sequens disputatio contexenda, rursus ad principium breviter redeamus, citoque illuc regrediamur, unde hucusque processimus, atque ita demum finem apicemque disputationi, qualem superiora exigunt, imponamus. quemadmodum ab initio diximus, cum haec ordine carerent, singulis Deus, et ad sese et ad alia invicem, eatenus modum rationemque proportionis indidit, quatenus suscipere singula poterant.

τούτων ὅσον μὴ τύχῃ τι μετεῖχεν, οὔτε τὸ παράπαν ὀνομάσαι τῶν νῦν ὀνομαζομένων ἀξιόλογον ἦν οὐδέν, οἷόν πῦρ καὶ ὕδωρ καὶ εἴ τι τῶν ἄλλων. ἀλλὰ πάντα ταῦτα πρῶτον διεκόσμησεν, ἔπειτα ἐκ τούτων πᾶν τόδε ξυνεχήσατο, ζῷον ἔν ζῶα ἔχον ἅπαντα ἐν αὑτῷ θνητὰ ἀθάνατά τε. καὶ τῶν μὲν θείων αὐτὸς γίγνεται δημιουργός, τῶν δὲ θνητῶν τὴν γένεσιν τοῖς ἑαυτοῦ γεννήμασι δημιουργεῖν προσέταξεν. οἱ δὲ μιμούμενοι, παραλαβόντες ἀρχὴν ψυχῆς ἀθάνατον, τὸ μετὰ τοῦτο θνητὸν σῶμα αὐτῇ περιετόρνευσαν ὄχημά τε πᾶν τὸ σῶμα ἔδοσαν ἄλλο τε εἶδος ἐν αὐτῷ ψυχῆς προσῳκοδόμουν τὸ θνητόν, δεινά καὶ ἀναγκαῖα ἐν ἑαυτῷ παθήματα ἔχον, πρῶτον μὲν ἡδονήν, μέγιστον κακοῦ δέλεαρ, ἔπειτα λύπας, ἀγαθῶν φυγάς, ἔτι δ' αὖ θάῤῥος καὶ φόβον, ἄφρονε ξυμβούλω, θυμὸν δὲ δυσπαραμύθητον, ἐλπίδα δ' εὐπαράγωγον αἰσθήσει τε ἀλόγῳ καὶ ἐπιχειρητῇ παντὸς. ἔρωτι· ξυγκερασάμενοί τ' αὐτὰ ἀναγκαίως τὸ θνητὸν γένος ξυνέθεσαν. καὶ διὰ ταῦτα δὴ σεβόμενοι μιαίνειν τὸ θεῖον, ὅ τι μὴ πᾶσα ἦν ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην τοῦ σώματος οἴκησιν τὸ θνητόν, ἰσθμὸν καὶ ὅρον διοικοδομήσαντες τῆς τε κεφαλῆς καὶ

tunc profecto nihil erat ordinis, nisi forte casu aliquo, particeps; nec quicquam tunc aqua vel ignis vel aliud aliquid eorum, quae modo apud nos nominantur, iure vocandum erat: verum haec primum omnia exornavit, deinde ex iis hoc universum constituit, animal unum, animalia in se omnia mortalia et immortalia continens. et divinorum quidem ipse est auctor, mortalium vero generationem natis suis tradidit absolvendam. illi igitur, suum imitati parentem, principiumque animae immortale suscipientes, animam ipsam mortali corpore clauserunt, totumque corpus animae quasi vehiculum subdidere, atque in eo aliam animae speciem mortalem fabricaverunt, quae gravibus necessariisque perturbationibus afficeretur: quarum prima foret voluptas, esca maxima mali; dolor deinde, fuga impedimentumque bonorum, audacia praeterea metusque, consultores amentes: accederet et implacabilis iracundia, spes etiam blanda conciliatrixque, cum irrationali sensu amoreque omnium invasore. illi ergo, ista miscentes, necessario mortale genus composuerunt. Ceterum, ne divinum ulla mortalium contagione, nisi quantum summa necessitas cogeret, pollueretur, seorsum ab illo in alia corporis sede mortale collocaverunt, atque a pectore caput cer-

τοῦ στήθους, αὐχένα μεταξὺ τιθέντες, ἵνα εἴη χωρὶς. ἐν δὴ τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδυσαν. καὶ ἐπειδὴ τὸ μὲν ἄμεινον αὐτῆς, τὸ δὲ χεῖρον πεφύκει, διῳκοδόμουν τοῦ θώρακος αὖ τὸ κύτος, διορίζοντες οἷον γυναικῶν, τὴν δὲ ἀνδρῶν χωρὶς οἴκησιν, τὰς φρένας διάφραγμα εἰς τὸ μέσον αὐτῶν τιθέντες. τὸ μετέχον οὖν τῆς ψυχῆς ἀνδρίας καὶ θυμοῦ, φιλόνεικον ὄν, κατῴκισαν ἐγγυτέρω τῆς κεφαλῆς μεταξὺ τῶν φρενῶν τε καὶ αὐχένος, ἵνα τοῦ λόγου κατήκοον ὂν κοινῇ μετ' ἐκείνου βίᾳ τὸ τῶν ἐπιθυμιῶν κατέχοι γένος, ὁπότ' ἐκ τῆς ἀκροπόλεως τῷ ἐπιτάγματι καὶ λόγῳ μηδαμῇ πείθεσθαι ἑκὸν ἐθέλοι. Τὴν δὲ δὴ καρδίαν ἅμμα τῶν φλεβῶν καὶ πηγὴν τοῦ περιφερομένου κατὰ πάντα τὰ μέλη σφοδρῶς αἵματος εἰς τὴν δορυφορικὴν οἴκησιν κατέζησαν, ἵνα, ὅτε ζέσειε τὸ τοῦ θυμοῦ γένος τοῦ λόγου παραγγείλαντος ὥς τις ἄδικος περὶ αὐτὰ γίγνεται πρᾶξις ἔξωθεν ἢ καί τις ἀπὸ τῶν ἔνδοθεν ἐπιθυμιῶν, ὀξέως διὰ πάντων τῶν στενωπῶν πᾶν, ὅσον αἰσθητικὸν ἐν τῷ σώματι, τῶν τε παρακελεύσεων καὶ ἀπειλῶν αἰσθανόμενον γίγνοιτο ἑπήκοον καὶ ἕποιτο πάντῃ καὶ τὸ βέλτιστον οὕτως ἐν αὐτοῖς πᾶσιν ἡγεμονεῖν ἐῴη. Τῇ δὲ δὴ πηδήσει τῆς

vice et collo interiecto separavere. in pectore igitur et thorace mortale genus animae posuerunt: cumque id naturaliter partim melius partim deterius esset, disposuerunt rursus thoracis capacitatem, discernentes sedem tanquam virorum alteram, alteram feminarum. cartilaginem enim quandam, nomine diaphragma, quod etiam phrenas vocant, inter haec mediam interiecerunt. partem igitur animae fortitudinis iracundiaeque particípem contentiosamque capiti propinquiorem fecere, inter diaphragma cervicemque mediam: ut haec obediens rationi una cum ipsa cupiditatum genus vi illata coërceat, si quando rationis, in arce capitis habitantis, iussa cupiditas respuat. Cor vero, venarum originem fontemque sanguinis per omne corpus impetu quodam manantis, in stipatorum regione suspendere voluerunt, ut, quando irae vis exardescit, ratione nuntiante, si quid extrinsecus iniuste fiat vel intrinsecus aliqua concupiscentia turbet, tunc celeriter per angustos quoslibet meatus, quicquid in corpore sensus est particeps, iussa minasque persentiat, atque ita obediat obsequaturque omnino, toleretque in omnibus praestantissimi illius imperium. Cum vero

καρδίας ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ καὶ τῇ τοῦ θυμοῦ ἐγέρσει, προγιγνώσκοντες ὅτι διὰ πυρὸς ἡ τοιαύτη πᾶσα ἔμελλεν οἴδησις γίγνεσθαι τῶν θυμουμένων, ἐπικουρίαν αὐτῇ μηχανώμενοι τὴν τοῦ πλεύμονος φύσιν ἐνεφύτευσαν πρῶτον μὲν μαλακὴν καὶ ἄναιμον, εἶτα σήραγγας ἐντὸς ἔχουσαν οἷον σπόγγου κατατετρημένας, ἵνα τό τε πνεῦμα καὶ τὸ πῶμα δεχομένη, ψύχουσά, ἀναπνοὴν καὶ ῥᾳστώνην ἐν τῷ καύματι παρέχοι. διὸ δὴ τῆς ἀρτηρίας ὀχετοὺς ἐπὶ τὸν πλεύμονα ἔτεμον, καὶ περὶ τὴν καρδίαν αὐτὸν περιέῤῥησαν οἷον ἧλμα μαλακόν, ἵνα ὁ θυμὸς ἡνίκα ἐν αὐτῇ ἀκμάζοι, πηδῶσα εἰς ὑπεῖκον καὶ ἀναψυχομένη, πονοῦσα ἧττον μᾶλλον τῷ λόγῳ μετὰ θυμοῦ δύναιτο ὑπηρετεῖν. Τὸ δὲ δὴ σίτων τε καὶ ποτῶν ἐπιθυμητικὸν τῆς ψυχῆς καὶ ὅσων ἔνδειαν διὰ τὴν τοῦ σώματος ἴσχει φύσιν, τοῦτο εἰς τὰ μεταξὺ τῶν τε φρενῶν καὶ τοῦ πρὸς τὸν ὀμφαλὸν ὅρου κατῴκισαν, οἷον φάτνην ἐν ἅπαντι τούτῳ τῷ τόπῳ τῇ τοῦ σώματος τροφῇ τεκτηνάμενοι· καὶ κατέδησαν δὴ τὸ τοιοῦτον ἐνταῦθα ὡς θρέμμα ἄγριον, τρέφειν δὲ ξυνημμένον ἀναγκαῖον, εἴ περ τε μέλλοι ποτὲ θνητὸν ἔσεσθαι γένος. ἵν' οὖν ἀεὶ νεμό-

cognoscerent cor rerum terribilium obiectu trepidaturum et ira saepius flagraturum, idque opus omne per ignem fore, aestus huiusmodi temperandi gratia pulmonum tegmen cordi adhibuerunt, molle primum atque exsangue, deinde cavis intrinsecus fistulis spongiae instar distinctum, ut, spiritu potuque hausto, cordis ardorem huiusmodi respiratione et refrigerio tepefaciat. quam ob causam arterias, tanquam aquaeductus, per pulmonum substantiam derivarunt, eamque cordi, quasi mollem saltum, circumdedere, ut, quando nimia fervet ira, inde ad faciliorem obedientiam temperatum deferveat, sedatoque tumultu rationi facilius cum ira ministrare et obsequi valeat. postremo eam animae partem, quae esculenta et poculenta cupit, et reliqua omnino, quibus corpus indiget, concupiscit, mediae regioni inter diaphragma et umbilicum applicavere: ubi quoddam quasi praesepe ad totius corporis alimoniam exstare volebant, et ibidem illam vim animae, tanquam agreste animal, alligaverunt. hic sane illam corpus suum alere necessarium est, si quidem mortale quandoque futurum est genus. ut

μενον πρὸς φάτνῃ καὶ ὅτι πορρωτάτω τοῦ βουλευομένου κατοικοῦν, θόρυβον καὶ βοὴν ὡς ἐλαχίστην παρέχον, τὸ κράτιστον καθ' ἡσυχίαν περὶ τοῦ πᾶσι κοινῇ
71 ξυμφέροντος ἐᾷ βουλεύεσθαι, διὰ ταῦτ' ἐνταῦθα ἔθεσαν αὐτῷ τὴν τάξιν. Εἰδότες δὲ αὐτὸ ὡς λόγου μὲν οὔτε ξυνήσειν ἔμελλεν, εἴ τέ πῃ καὶ μεταλαμβάνοι τινὸς αὖ τῶν αἰσθήσεων, οὐκ ἔμφυτον αὐτῷ τὸ μέλειν τινῶν ἔσοιτο λόγων, ὑπὸ δὲ εἰδώλων καὶ φαντασμάτων νυκτός τε καὶ μεθ' ἡμέραν μάλιστα ψυχαγωγήσοιτο, τούτῳ δὴ θεὸς ἐπιβουλεύσας αὐτῷ τὴν τοῦ ἥπατος 1
ἰδέαν ξυνέζησε καὶ ἔθηκεν εἰς τὴν ἐκείνου κατοίκησιν, πυκνὸν καὶ λεῖον καὶ λαμπρὸν καὶ γλυκὺ καὶ πικρότητα ἔχον μηχανησάμενος, ἵν' ἐν αὐτῷ τῶν διανοημάτων ἡ ἐκ τοῦ νοῦ φερομένη δύναμις, οἷον ἐν κατόπτρῳ δεχομένῳ τύπους καὶ κατιδεῖν εἴδωλα παρέχοντι, φοβοῖ μὲν αὐτό, ὁπότε μέρει τῆς πικρότητος χρωμένη ξυγγενεῖ, χαλεπὴ προσενεχθεῖσα ἀπειλῇ, κατὰ πᾶν ὑπομιγνῦσα ὀξέως τὸ ἦπαρ χολώδη χρώματα ἐμφαίνοι, ξυνάγουσά τε πᾶν ῥυσὸν καὶ τραχὺ ποιοῖ, λοβὸν δὲ καὶ δοχὰς πύλας τε τὸ μὲν ἐξ ὀρθοῦ κατοκάμπτουσα καὶ ξυσπῶσα, τὰ δ' ἐμπράττουσα συγκλείουσά 2

ergo ad praesepe semper illa pascatur, habitetque procul a consultore, ideoque illum clamore et strepitu suo minime turbet, sed permittat praecipuum nostri ducem tranquillo in otio communi omnium utilitati consulere, regionem iccirco inferiorem ipsi habitandam Dii dedisse videntur. Quoniam vero videbat Deus partem illam animae talem fore, ut rationem non exaudiret et, si quo sensu pulsaretur; nullo modo rationibus obtemperaret, sed simulacris visisque nocte dieque maxime raperetur: iccirco naturam iecoris procreavit, et in eius habitationem disposuit, densam, inquam, naturam, laevem, claram, dulcem et amaritudinis non expertem: ut cogitationum ex mente descendens potentia in ipso iecore, velut in speculo figuras suscipiente aspectuique simulacra reddente, quandoque recepta terreat ipsum, quandocunque cognata amaritudinis parte usa minasque intendens et toti repente suffusa iecori felleos terribilesque colores ostendat; contrahens praeterea ipsum rugosum et asperum totum reddat, ac fibras eius, bilem eiusque ventriculum et venas, quae portae vocantur, sic afficiat, ut partim ex habitu recto deflectens atque contorquens, partim obstruens et concludens, dolores detrimentaque praebeat.

ἔτε, λύπας καὶ ἄσας παρέχοι, καὶ ὅτ' αὖ τὰ ἐναντία φάσματα ἀποζωγραφοι πραότητός τις ἐκ διανοίας ἐπίπνοια, τῆς μὲν πικρότητος ἡσυχίαν παρέχουσα τῷ μήτε κινεῖν μήτε προσάπτεσθαι τῆς ἐναντίας ἑαυτῇ φύσεως ἐθέλειν, γλυκύτητι δὲ τῇ κατ' ἐκεῖνο ξυμφύτῳ πρὸς αὐτὸ χρωμένη καὶ πᾶντα ὀρθὰ καὶ λεῖα αὐτοῦ καὶ ἐλεύθερα ἀπευθύνουσα ἵλεών τε καὶ εὐήμερον ποιοῖ τὴν περὶ τὸ ἧπαρ ψυχῆς μοῖραν κατῳκισμένην, ἔν τε τῇ νυκτὶ διαγωγὴν ἔχουσαν μετρίαν, μαντείᾳ χρωμέ-
10 νην καθ' ὕπνον, ἐπειδὴ λόγου καὶ φρονήσεως οὐ μετεῖχε. μεμνημένοι γὰρ τῆς τοῦ πατρὸς ἐπιξολῆς οἱ ξυνιέντες ἡμᾶς, ὅτε τὸ θνητὸν ἐπέξελλε γένος ὡς ἄριζον εἰς δύναμιν ποιεῖν, οὕτω δὴ κατορθοῦντες καὶ τὸ φαυλον ἡμῶν, ἵνα ἀληθείας πῃ προσάπτοιτο, κατέῃσαν ἐν τούτῳ τὸ μαντεῖον. ἱκανὸν δὲ σημεῖον ὡς μαντικὴν ἀφροσύνῃ θεὸς ἀνθρωπίνῃ δέδωκεν· οὐδεὶς γὰρ ἔννους ἁφάπτεται μαντικῆς ἐνθέου καὶ ἀληθοῦς, ἀλλ' ἢ καθ' ὕ-
πνον, τὴν τῆς φρονήσεως πεδηθεὶς δύναμιν ἢ διὰ νόσον ἤ τινα ἐνθουσιασμὸν παραλλάξας. ἀλλὰ ξυννοῆσαι
20 μὲν ἔμφρονος τά τε ῥηθέντα ἀναμνησθέντα ὄναρ ἢ ὕπαρ ὑπὸ τῆς μαντικῆς τε καὶ ἐνθουσιαστικῆς φύσεως,

ac rursus quando mansuetudinis ex mente inspiratio contraria visa effingit, amaritudinem quidem sedans ex eo, quod adversam sibi naturam neque ciere neque attingere velit; dulcedine vero illi ingenita utens, et omnia recta, laevia, libera in ipso digerens: tunc sane pacatam mansuetamque partem animae in iecore habitantem facit, adeo ut etiam in somno moderate affecta sit, vaticinioque utatur, quando rationis prudentiaeque est expers, qui enim nos composuerunt paterni illius mandati memores, quo mortale genus praeceperat quam optimum pro viribus fieri, ita deteriorem nostri partem instituerunt, ut ipsa quoque veritatis foret quodammodo particeps, siquidem in ea expleri vaticinium statuerunt. quod autem dementiae humanae Deus divinandi vim dederit, illud argumento esse nobis potest, quod nemo, dum sanae mentis est, divinum et verum vaticinium ullum assequitur; sed cum vel somno prudentia vis praepedita est, vel oppressa morbo, vel divino aliquo raptu e suo statu dimota, fieri divinatio solet. prudentis vero duntaxat officium est, quae a fatidico furenteque ingenio dormiendo vel vigilando pronuntiata sunt, intelligere: et quaecunque

καὶ ὅσα ἂν φάσματα ὀφθῇ, πάντα λογισμῷ διελέσθαι, ὅτῳ τι σημαίνει καὶ ὅτῳ μέλλοντος ἢ παρελθόντος ἢ παρόντος κακοῦ ἢ ἀγαθοῦ· τοῦ δὲ μανέντος ἔτι τε ἐν τούτῳ μένοντος οὐκ ἔργον τὰ φανέντα καὶ φωνηθέντα ὑφ' ἑαυτοῦ κρίνειν, ἀλλ' εὖ καὶ πάλαι λέγεται τὰ πράττειν καὶ γνῶναι τά τε αὑτοῦ καὶ ἑαυτὰν σώφρονι μόνῳ προσήκειν. ὅθεν δὴ καὶ τὸ τῶν προφητῶν γένος ἐπὶ ταῖς ἐνθέοις μαντείαις κριτὰς ἐπικαθιζάναι νόμος· οἷς μάντεις αὐτοὺς ἐπονομάζουσί τινες, τὸ πᾶν ἠγνοηκότες ὅτι τῆς δι' αἰνιγμῶν οὗτοι φήμης καὶ φαντάσεως ὑπο- 1(
κριταί, καὶ οὔ τι μάντεις, προφῆται δὲ μαντευομένων δικαιότατα ὀνομάζοιντ' ἄν. ἡ μὲν οὖν φύσις τοῦ ἤπατος διὰ ταῦτα τοιαύτη τε καὶ ἐν τόπῳ ᾧ λέγομεν πέφυκε, χάριν μαντικῆς, καὶ ἔτι μὲν δὴ ζῶντος ἑκάστου τὸ τοιοῦτον σημεῖα ἐναργέστερα ἔχει, σεσηθὲν δὲ τοῦ ζῆν γέγονε τυφλὸν καὶ τὰ μαντεῖα ἀμυδρώτερα ἔσχε τοῦ τι σαφὲς σημαίνειν. Ἡ δ' αὖ τοῦ γείτονος αὐτῷ ξύσασις καὶ ἕδρα σπλάγχνου γέγονεν ἐξ ἀριστερᾶς χάριν ἐκείνου, τοῦ παρέχειν αὐτὸ λαμπρὸν ἀεὶ καὶ καθαρόν, οἷον κατόπτρῳ παρεσκευασμένον καὶ ἕτοιμον ἀεὶ πα- 2(
ρακείμενον ἐκμαγεῖον, διὸ δὴ καὶ ὅταν τινὲς ἀκαθαρ-

visa illuxerint, ratiocinatione ita discernere, ut qua quidque ratione, et cui futurum aliquid vel praeteritum praesensve bonum vel malum portendere videatur, explanet. illius autem, qui mansit manetque adhuc in furore, non est officium, quae viderit aut protulerit, iudicare, scitum profecto priscum id dictum: agere sua seque ipsum cognoscere solius prudentiae est opus. hinc lex iubet divinis vaticiniis iudices praeesse prophetas, quos vates quidam nominant, ignorantes prorsus eos oraculorum visorumque, quae obscuris velaminibus involvuntur, interpretes esse, non vates. quare qui vaticinia iudicant, non vates illi quidem, sed prophetae, id est vaticiniorum interpretes pronuntiatoresque, vocandi. atque iecoris quidem natura ob hanc causam talis facta est et in ea sede, qua diximus, collocata, divinationis scilicet gratia, ac etiam vivente unoquoque talium signa clariora exprimi solent: vita vero privato caecitas accidit, nec evidens quicquam fit vaticinii signum. proximum huic ad sinistram locatum est huius gratia morbum, ut purum hoc semper clarumque reddat, et instar speculi nitens atque perspicum, ad imaginesque exprimendas accom-

σιαι γίγνωνται διὰ νόσους σώματος περὶ τὸ ἦπαρ, πάντα ἡ σπληνὸς καθαίρουσα αὐτὰ δέχεται μανότης, ἅτε κοίλου καὶ ἀναίμου ὑφανθέντος· ὅθεν πληρούμενος τῶν ἀποκαθαιρομένων μέγας καὶ ὕπουλος αὐξάνεται, καὶ πάλιν, ὅταν καθαρθῇ τὸ σῶμα, ταπεινούμενος εἰς ταὐτὸν ξυνίζει.

Τὰ μὲν οὖν περὶ ψυχῆς, ὅσον θνητὸν ἔχει καὶ ὅσον θεῖον, καὶ ὅπῃ, καὶ μεθ' ὧν, καὶ δι' ἃ χωρὶς ᾠκίσθη, τὸ μὲν ἀληθές, ὡς εἴρηται, θεοῦ ξυμφήσαντος τότ' ἂν οὕτω μόνως διισχυριζοίμεθα· τὸ γε μὴν εἰκὸς ἡμῖν εἰρῆσθαι, καὶ νῦν καὶ ἔτι μᾶλλον ἀνασκοποῦσι διακινδυνευτέον τὸ φάναι καὶ πεφάσθω. Τὸ δ' ἑξῆς δὴ τούτοισι κατὰ ταὐτὰ μεταδιωκτέον· ἦν δὲ τὸ τοῦ σώματος ἐπίλοιπον ᾗ γέγονεν. ἐκ δὴ λογισμοῦ τοιῶνδε ξυνίσασθαι μᾶλις' ἂν αὐτὸ πάντων πρέποι.

Τὴν ἐσομένην ἐν ἡμῖν ποτῶν καὶ ἐδεσμῶν ἀκολασίαν ᾔδεσαν οἱ ξυντιθέντες ἡμῶν τὸ γένος, καὶ ὅτι τοῦ μετρίου καὶ ἀναγκαίου διὰ μαργότητα πολλῷ χρησοίμεθα πλέονι· ἵν' οὖν μὴ φθορὰ διὰ νόσους ὀξεῖα γίγνοιτο καὶ ἀτελὲς τὸ γένος εὐθὺς τὸ θνητὸν τελευτήῃ, ταῦτα προορώμενοι τῇ τοῦ περιγενησομένου πώ- 73

mundatum. quapropter, quando propter corporis morbum sordibus iecur abundat, lienis raritas id purgans eas combibit, cum membrum hoc concavum sit et exsangue. unde purgamentis impletum excrescit tumetque sanie; ac rursus, cum mundatum corpus est, restrictum in se ipsum considet. Quid igitur anima mortale, quid divinum habeat, et ubi, et quibuscum, et quare haec inter se disiuncta sint, diximus. at quod revera ita sit, ut diximus, ita demum assereremus, si divinum confirmaret oraculum. quod vero verisimile sit ita esse, et nunc et deinceps diligentius etiam investigando asseverare non dubitamus. atque in praesentia ita sit nobis assertum: quod autem haec sequitur, similiter est tractandum. reliquum est enim, qua ratione cetera corporis membra digesta sunt, enarrare. itaque hac potissimum ratione constare haec decet. Cognoscebant illi profecto nostri generis fabricatores nos ad cibum potumque intemperatos fore, ac propter ingluviem plus, quam modus aut necessitas postularit, ex his sumpturos. igitur ne subitus propter morbos interitus proveniret, atque ita imperfectum mox genus mortale desineret, inferiorem ventrem fabricaverunt ad

ματος ἐδέσματός τε ἕξει τὴν ὀνομαζομένην κάτω κοι-
λίαν ὑποδοχὴν ἔθεσαν, εἰλιξάν τε πέριξ τὴν τῶν ἐντέ-
ρων γένεσιν, ὅπως μὴ ταχὺ διεκπερῶσα ἡ τροφὴ ταχὺ
πάλιν τροφῆς ἑτέρας δεῖσθαι τὸ σῶμα ἀναγκάζοι, καὶ
παρέχουσα ἀπλησίαν διὰ γαστριμαργίαν ἀφιλόσοφον καὶ
ἄμουσον πᾶν ἀποτελοῖ τὸ γένος, ἀνυπήκοον τοῦ θειο-
τάτου τῶν παρ' ἡμῖν.

Τὸ δὲ ὀστῶν καὶ σαρκῶν καὶ τῆς τοιαύτης φύσεως
πέρι πάσης ὧδε ἔσχε. τούτοις ξύμπασιν ἀρχὴ μὲν ἡ
τοῦ μυελοῦ γένεσις· οἱ γὰρ τοῦ βίου δεσμοὶ τῆς ψυ- 1
χῆς τῷ σώματι ξυνδουμένης ἐν τούτῳ διαδούμενοι
κατερρίζουν τὸ θνητὸν γένος· αὐτὸς δὲ ὁ μυελὸς γέ-
γονεν ἐξ ἄλλων. τῶν γὰρ τριγώνων ὅσα πρῶτα ἀσραβῆ
καὶ λεῖα ὄντα πῦρ τε καὶ ὕδωρ καὶ ἀέρα καὶ γῆν
δι' ἀκριβείας μάλιστα ἦν παρασχεῖν δυνατά, ταῦτα ὁ
θεὸς ἀπὸ τῶν ἑαυτῶν ἕκαστα γενῶν χωρὶς ἀποκρίνων, μι-
γνὺς δ' ἀλλήλοις σύμμετρα, πανσπερμίαν παντὶ θνητῷ
γένει μηχανώμενος, τὸν μυελὸν ἐξ αὐτῶν ἀπειργάσατο, 2
καὶ μετὰ ταῦτα δὴ φυτεύων ἐν αὐτῷ κατέδει τὰ τῶν
ψυχῶν γένη, σχημάτων τε ὅσα ἔμελλεν αὖ σχήσειν οἷά
τε καθ' ἕκαστα εἴδη, τὸν μυελὸν αὐτὸν τοσαῦτα καὶ

esculentorum poculentorumve superabundantiam capiendam. eum praeterea spiris intestinorum circumplicavere, ne subito alimenta nobis assumpta defluerent, ac rursus novi alimenti confestim necessitas immineret. ob illam enim inexplebilem perpetuamque voraginem genus nostrum philosophiae musicaeque et moderationis omnis expers relictum fuisset, illi parti, quae in nobis divinissima est, minime obsecutum. Ossium vero et carnis ceterorumque huiusmodi ita est natura composita. his nempe omnibus medullae generatio initium praebuit. vincula enim vitae illius, quam anima corpori iuncta ducit, applicata medullae, ex eaque per omne diducta, vinciunt fulciuntque corporis nostri compaginem: ipsa vero medulla est ex aliis generata. sunt quidem trianguli primi quidam et indeflexi laevesque, ad ignis, aëris, aquae, terrae exactissimam generationem acommodatissimi: e quorum generibus singulis Deus secernens singulos, et invicem contemperatos permiscens, totius generationis mortalium sementem fomitemque constituit, dum medullae ex his substantiam procrearet: postea vero serens in ea animarum genera alligavit. figuras praeterea, quotcunque et qualescunque ex singulis speciebus adesse medullae opor-

τοιαῦτα διῃρεῖτο σχήματα εὐθὺς ἐν τῇ διανομῇ τῇ κατ' ἀρχάς. καὶ τὴν μὲν τὸ θεῖον σπέρμα, οἷον ἄρουραν, μέλλουσαν ἕξειν ἐν αὑτῇ περιφερῆ πανταχῇ πλάσας, ἐπωνόμασε τοῦ μυελοῦ ταύτην τὴν μοῖραν ἐγκέφαλον, ὡς ἀποτελεσθέντος ἑκάστου ζῴου τὸ περὶ τοῦτο ἄγγειον κεφαλὴν γενησόμενον· ὃ δ' αὖ τὸ λοιπὸν καὶ θνητὸν τῆς ψυχῆς ἔμελλε καθέξειν, ἅμα στρογγύλα καὶ προμήκη διῃρεῖτο σχήματα, μυελὸν δὲ πάντα ἐπεφήμισε, καὶ καθάπερ ἐξ ἀγκυρῶν βαλλόμενος ἐκ τούτων πάσης ψυχῆς δεσμοὺς περὶ τοῦτο ξύμπαν ἤδη τὸ σῶμα ἡμῶν ἀπειργάζετο, στέγασμα μὲν αὐτῷ πρῶτον ξυμπηγνὺς περὶ ὅλον ὀστέινον. Τὸ δὲ ὀστοῦν ξυνίστησιν ὧδε. γῆν διαττήσας καθαρὰν καὶ λείαν ἐφύρασε καὶ ἔθευσε μυελῷ, καὶ μετὰ τοῦτο εἰς πῦρ αὐτὸ ἐντίθησι, μετ' ἐκεῖνο δὲ εἰς ὕδωρ βάπτει, πάλιν δὲ εἰς πῦρ αὖθίς τε εἰς ὕδωρ· μεταφέρων δ' οὕτω πολλάκις εἰς ἑκάτερον ὑπ' ἀμφοῖν ἄτηκτον ἀπειργάσατο. καταχρώμενος δὴ τούτῳ περὶ μὲν τὸν ἐγκέφαλον αὐτοῦ σφαῖραν περιστόρνευσεν ὀστέϊνην, ταύτῃ δὲ στενὴν διέξοδον κατέλιπετο· καὶ περὶ τὸν διαυχένιον ἅμα καὶ νωτιαῖον μυελὸν ἐξ αὐτοῦ σφονδύλους πλάσας ὑπέστεινεν οἷον στρό- 74

tuit, tot penitus atque tales statim in prima illa distributione distinxit. et illam quidem medullae partem, in quam, velut agrum quendam, divinum semen iaciundum erat, globosam et undique teretem finxit: atque encephalum, id est cerebrum, iccirco voluit nominari, quia, unoquoque animali deniquc absoluto, vasculum cerebri capax cephalum, id est caput, vocandum erat. quod autem reliquas mortalesque animae vires comprehensurum erat, rotundis simul oblongisque figuris ornavit, totumque medullam voluit nominari: atque ex iis, quasi quibusdam ancoris, iaciens totius animae vincula, circa illas iam universum nostrum corpus absolvit, ossiumque textura extrinsecus eas fulcivit. os vero ipsum ita composuit. terram atterens puram laevemque miscuit madefecitque medulla. id postea in ignem iecit: deinde in aquam mersit, rursus in ignem, iterum et in aquam. atque ita saepe transferens in utrumque, tale reddidit, ut a neutro liquefieri posset. hoc igitur usus sphaera ossea, quasi torno facta, cerebrum circumsepsit. huic angustos reliquit meatus, et circa cervicis simul dorsique medullam ex ipso rotulas vertiginesque effingens, quasi cardines sub-

φιγγας, ἀρξάμενος ἀπὸ τῆς κεφαλῆς, διὰ παντὸς τοῦ
κύτους. καὶ τὸ πᾶν δὴ σπέρμα διασώζων οὕτω λιθοει-
δεῖ περιβόλῳ ξυνέφραξον, ἐμποιῶν ἄρθρα, τῇ θατέρου
προσχρώμενος ἐν αὐτοῖς ὡς μέσῃ ἐνισαμένῃ δυνάμει,
κινήσεως καὶ κάμψεως ἕνεκα. Τὴν δ' αὖ τῆς ὀστέινης
φύσεως ἕξιν ἡγησάμενος τοῦ δέοντος κραυροτέραν εἶ-
ναι καὶ ἀκαμπτοτέραν, διάπυρόν τ' αὖ γιγνομένην καὶ
πάλιν ψυχομένην σφακελίσασαν ταχὺ διαφθερεῖν τὸ
σπέρμα ἐντὸς αὑτῆς, διὰ ταῦτα οὕτω τὸ τῶν νεύρων
καὶ τὸ τῆς σαρκὸς γένος ἐμηχανᾶτο, ἵνα τῷ μὲν 1
πάντα τὰ μέλη ξυνδήσας ἐπιτεινομένῳ καὶ ἀνιεμένῳ
περὶ τοὺς στρόφιγγας καμπτόμενον τὸ σῶμα καὶ ἐκτει-
νόμενον παρέχοι, τὴν δὲ σάρκα προβολὴν μὲν καυμά-
των, πρόβλημα δὲ χειμώνων, ἔτι δὲ πτωμάτων οἷον
τὰ πιλητὰ ἔσεσθαι κτήματα, σώμασι μαλακῶς καὶ
πράως ὑπείκουσαν, θερμὴν δὲ νοτίδα ἐντὸς ἑαυτῆς
ἔχουσαν θέρους μὲν ἀνιδίουσαν καὶ νοτιζομένην ἔξω-
θεν ψύχος κατὰ πᾶν τὸ σῶμα παρέξειν οἰκεῖον, διὰ
χειμῶνος δὲ πάλιν αὖ τούτῳ τῷ πυρὶ τὸν προσφερόμε-
νὸν ἔξωθεν καὶ περιεχόμενον πάγον ἀμυνεῖσθαι με- 2
τρίως. ταῦτα ἡμῶν διανοηθεὶς ὁ ποιητὴς, ὕδατι

didit, ita ut a capite per totum protenderit. sic utique semen omne servavit, dum lapideo ambitu circumvallavit. articulos insuper addidit, alterius ipsius natura usus in ipsis, tanquam media quadam exsistente potentia, motus flexionisque gratia, arbitratus vero ossium naturam aridiorem rigidioremque quam oporteat fore, et, cum ignita evaserit atque etiam frigefacta, illiusque corrupturamque cito semen internum, nervorum carnisque genus effinxit, ut nervis quidem membra reliqua vincientibus, intensis remissisque circa cardines ipsos, corpus omnem ad flexionem tensionemve promptum et agile redderet: caro vero tegmen foret adversus frigus atque calorem, et, quemadmodum externa corporis fulcimenta solent, ad casus varios munimentum; praesertim quia talis erat futura, ut molliter leniterque corporibus cederet. cui calidum iccirco humorem indidit, ut aestate quidem roscida madidaque extrinsecus toti corpori domesticum praebeat refrigerium, hieme vero rursus proprio igni exteriorem glaciem moderate repellat. haec cum fictor ille nostri corporis cogitaret. mixtione quadam ex

μὲν καὶ πυρὶ καὶ γῇ ξυμμίξας καὶ ξυναρμόσας, ἐξ ὀξέος καὶ ἁλμυροῦ ξυνθεὶς ζύμωμα καὶ ὑπομίξας αὐτοῖς, σάρκα ἔγχυμον καὶ μαλακὴν ξυνέςησε· τὴν δὲ τῶν νεύρων φύσιν ἐξ ὀςοῦ καὶ σαρκὸς ἀζύμου κράσεως, μίαν ἐξ ἀμφοῖν μέσην δυνάμει ξυνεκεράσατο, ξανθῷ χρώματι προςχρώμενος, ὅθεν συντονωτέραν μὲν καὶ γλισχροτέραν σαρκῶν, μαλακωτέραν δὲ ὀςῶν ὑγρωτέραν τε ἐκτήσατο δύναμιν νεῦρα· οἷς ξυμπεριλαβὼν ὁ θεὸς ὀςᾶ καὶ μυελόν, δήσας πρὸς ἄλληλα νεύροις, μετὰ ταῦτα σαρξὶ πάντα αὐτὰ κατεσκίασεν ἄνωθεν. ὅσα μὲν οὖν ἐμψυχότατα τῶν ὀςῶν ἦν, ὀλιγίςαις ξυνέφραττε σαρξίν, ἃ δ' ἀψυχότατα ἐντός, πλείςαις καὶ πυκνωτάταις, καὶ δὴ κατὰ τὰς ξυμβολὰς τῶν ὀςῶν. ὅπῃ μή τινα ἀνάγκην ὁ λόγος ἀπέφαινε δεῖν αὐτ[illegible] εἶναι, βραχεῖαν σάρκα ἔφυσεν, ἵνα μήτε ἐμποδὼν [illegible] καμπαῖσιν οὖσαι δύςφορα τὰ σώματα ἀπεργάζ[illegible], ἅτε δυςκίνητα γιγνόμενα, μήτ' αὖ πολλαὶ καὶ [illegible] σφόδρα τε ἐν ἀλλήλαις ἐμπεπιλημέναι, διὰ ςε[illegible] ἀναισθησίαν ἐμποιοῦσαι, δυςμνημονευτότερα [illegible] φότερα τὰ περὶ τὴν διάνοιαν ποιοῖεν, διὸ δὴ τ[illegible] τῶν μηρῶν καὶ κνημῶν καὶ τὸ περὶ τὴν τῶν [illegible] φύσιν τά τε τῶν βραχιόνων ὀςᾶ καὶ τὰ τῶν πήχ[illegible] καὶ ὅσα ἄλλα ἡμῶν ἄναρθρα, ὅσα τε ἐντὸς ὀςᾶ δι' [illegible]

aqua, igne et terra contemperata, et acuto illis salsoque ferme[illegible] adhibito, succi plenam ac mollem carnem conflavit: nat[illegible] nervorum ex osse et carne non fermentata, unam ex u[illegible] tentia mediam temperavit, flavoque infecit colore. hinc fit, [illegible] quidem tensior et aridior, ossibus autem agilior mollior, nervorum substantia. his Deus medullam simul et ossa dev[illegible] et haec omnia carnibus cooperuit. quae igitur ossa animata [illegible] xime erant, paucissimis carnibus adoperuit; quae vero min[illegible] contra plurimis atque crassissimis. iuncturis insuper o[illegible] praeterquam ubi necessitatis ratio aliter postulabat, paucas c[illegible] adiecit, ne flexionibus impedimento forent, tardaque ad m[illegible] corpora facerent, neve sua quadam solida crassitudine obtu[illegible] que mole sensuum aciem hebetarent, memoriam impedir[illegible] genii acumen obtunderent, quamobrem inguinum, tibiar[illegible] rum, brachiorum, lacertorum ossa, et cetera omnia, qua[illegible] culis carent, quaeve intus latentia ossa propter animae paucit[illegible]

γίττητα ψυχῆς ἐν μυελῷ κενά ἐξι φρονήσεως, ταῦτα πάντα ξυμπεπλήρωται σαρξίν, ὅσα δ' ἐμφρονα, ἧττον, εἰ μή πού τινα αὐτὴν καθ' αὑτὴν αἰσθήσεων ἕνεκα σάρκα οὕτω ξυνέξησεν, οἷον τὸ τῆς γλώττης εἶδος. τὰ δὲ πλεῖξα ἐκείνως· ἡ γὰρ ἐξ ἀνάγκης γιγνομένη καὶ ξυντρεφομένη φύσις οὐδαμῇ προσδέχεται πυκνὸν ὀξοῦν καὶ σάρκα πολλὴν ἅμα τε αὐτοῖς ὀξυήκοον αἴσθησιν. μάλιξα γὰρ ἂν αὐτὰ πάντων ἔσχεν ἡ περὶ τὴν κεφαλὴν ξύσασις, εἴ περ ἅμα ξυμπίπτειν ἠθελησάτην, καὶ τὸ τῶν ἀνθρώπων γένος σαρκώδη ἔχον ἐφ' ἑαυτῷ καὶ νευ- 1
ρώδη κρατεράν τε κεφαλὴν βίον ἂν διπλοῦν καὶ πολλαπλοῦν καὶ ὑγιεινότερον καὶ ἀλυπότερον τοῦ νῦν κατεκτήσατο· νῦν δὲ τοῖς περὶ τὴν ἡμετέραν γένεσιν δημιουργοῖς, λογιζομένοις πότερον πολυχρονιώτερον χεῖρον ἢ βραχυχρονικώτερον βέλτιον ἀπεργάσαιντο γένος, ξυνέδοξε τοῦ πλείονος βίου φαυλοτέρου δὲ τὸν ἐλάττονα ἀμείνονα ὄντα παντὶ πάντως αἱρετέον, ὅθεν δὴ μανῷ μὲν ὀξῷ, σαρξὶ δὲ καὶ νεύροις κεφαλήν, ἅτε οὐδὲ καμπὰς ἔχουσαν, οὐ ξυνεξέγασαν. κατὰ πάντ' οὖν ταῦτα εὐαισθητοτέρα μὲν καὶ φρονιμωτέρα, πολὺ δὲ 2
ἀσθενεξέρα παντὸς ἀνδρὸς προσετέθη κεφαλὴ σώματι.

in medulla prudentia vacua sunt, multis sunt carnibus adoperta; paucioribus vero, quae prudentiam habent: nisi forte carnosa quaedam moles proprie ad sensum aliquem aptata sit, qualis est lingua. in ceteris est, ut diximus. natura enim, ex necessitate genita atque nutrita, nullo modo os compactum carnemque multam simul et acutum sensum admittit. maxime namque omnium ea capitis compositio habuisset, si una concurrere potuissent: genusque hominum pingue, nervosum robustumque habens caput vitam duplam ac etiam multo diuturniorem, validiorem, placidiorem, quam nos, possedisset. ceterum nostris illis fabricatoribus, de nosto genere consultantibus, utrum diuturnius quidem, sed deterius, an brevioris quidem vitae, sed melioris efficerent, visum fuit vitam brevem melioremque diuturnae et deteriori esse omnino anteponendam. itaque caput osse raro texere, sed carnibus nervisque, quia flexiones non erat habiturum, non fulciverunt. his omnibus de causis caput membris omnibus acutius ad sentiendum prudentiusque, sed imbecillius est constitutum. nervos autem ob

τὰ δὲ νεῦρα διὰ ταῦτα καὶ οὕτως ὁ θεὸς ἐπ' ἐσχάτην τὴν κεφαλὴν περιςήσας κύκλῳ περὶ τὸν τράχηλον ἐκόλλησεν ὁμοιότητι, καὶ τὰς σιαγόνας ἄκρας αὐτοῖς ξυνέδησεν ὑπὸ τὴν φύσιν τοῦ προςώπου· τὰ δ' ἄλλα εἰς ἅπαντα τὰ μέλη διέσπειρε, ξυνάπτων ἄρθρον ἄρθρῳ. Τὴν δὲ δὴ τοῦ σώματος ἡμῶν δύναμιν ὀδοῦσι καὶ γλώττῃ καὶ χείλεσιν ἕνεκα τῶν ἀναγκαίων καὶ τῶν ἀρίςων διεκόσμησαν οἱ διακοσμοῦντες, ᾗ νῦν διατέτακται, τὴν μὲν εἴςοδον τῶν ἀναγκαίων μηχανώμενοι χάριν, τὴν δὲ ἔξοδον τῶν ἀρίςων· ἀναγκαῖον μὲν γὰρ πᾶν ὅσον εἰςέρχεται τροφὴν διδὸν τῷ σώματι, τὸ δὲ λόγων νᾶμα ἔξω ῥέον καὶ ὑπηρετοῦν φρονήσει κάλλιςον καὶ ἄριςον πάντων ναμάτων. Τὴν δ' αὖ κεφαλὴν οὔτε μόνον ὀςεΐνην ψιλὴν δυνατὸν ἐᾶν ἦν διὰ τὴν ἐν ταῖς ὥραις ἐφ' ἑκάτερον ὑπερβολήν, οὔτ' αὖ ξυσκιασθεῖσαν κοφὴν καὶ ἀναίσθητον διὰ τὸν τῶν σαρκῶν ὄγκον περιδεῖν γιγνομένην. τῆς δὴ σαρκοειδοῦς φύσεως οὐ καταξηραινομένης λέμμια μεῖζον περιγιγνόμενον ἐχωρίζετο, τὸ νῦν λεγόμενον δέρμα. τοῦτο δὲ διὰ τὴν περὶ τὸν ἐγκέφαλον ποτίδα ξυνιὸν αὐτὸ πρὸς αὑτὸ καὶ βλαςάνον κύκλῳ περιημφιέννυ τὴν κεφαλήν. ἡ δὲ νοτὶς ὑπὸ τὰς ῥαφὰς ἀνιοῦσα ἥρδε καὶ συνέκλεισεν αὐτὸ ἐπὶ τὴν κο-

hanc rationem atque hoc pacto Deus extremae parti capitis circumponens, spinae dorsi eos quadam similitudine circumplicavit, summasque illis maxillas sub vultu devinxit: reliquos per omnia membra disseminavit, articulum connectens articulo. Nostri praeterea illi exornatores oris naturam dentibus, lingua, labiis, ita ut nunc videmus, necessariorum simul et optimorum gratia ornaverunt. nam ingressum quidem necessariorum, egressum vero optimorum gratia excogitavere. nempe necessarium est, quicquid ad alimoniam in corpus admittitur; verborum autem effluxio, ministra prudentiae, effluxionum omnium optima est atque pulcherrima. Caput praeterea nudo osse relinqui, omni alio tegmine destitutum, non poterat propter caloris frigorisque excessum: neque rursus carnium pondere praegravatum, sensus expers obtusumque reddendum erat. carne igitur non penitus desiccata residuum, quod maius supererat, segregatum est, cutisque ipsa, circa cerebri humorem sibi ipsi iuncta et germinans, caput circumvestivit. humiditas autem, sub iunctura scaturiens, irrigavit com-

ρυφήν, οἷον ἄμμια ξυναγαγοῦσα. τὸ δὲ τῶν ζαφῶν παν-
τοδαπὸν εἶδος γέγονε διὰ τὴν τῶν περιόδων δύναμιν
καὶ τῆς τροφῆς, μᾶλλον μὲν ἀλλήλοις μαχομένων τού-
των πλείους, ἧττον δὲ ἐλάττους. τοῦτο δὴ πᾶν τὸ
δέρμα κύκλῳ κατεκέντει πυρὶ τὸ θεῖον, τρηθέντος δὲ
καὶ τῆς ἰκμάδος ἔξω δι' αὐτοῦ φερομένης τὸ μὲν
ὑγρὸν καὶ θερμὸν ὅσον εἰλικρινὲς ἀπῄει, τὸ δὲ μι-
κτὸν ἐξ ὧν καὶ τὸ δέρμα ἦν, αἰρόμενον μὲν ὑπὸ τῆς
φορᾶς ἔξω μικρὸν ἐτείνετο, λεπτότητα ἴσην ἔχον τῷ
κατακεντήματι, διὰ δὲ βραδυτῆτα ἀπωθούμενον ὑπὸ
τοῦ περιεχῶτος ἔξωθεν πνεύματος πάλιν ἐντὸς ὑπὸ τὸ
δέρμα εἰλλόμενον κατερρίζοῦτο, καὶ κατὰ ταῦτα δὴ τὰ
πάθη τὸ τριχῶν γένος ἐν τῷ δέρματι πέφυκε, ξυγγε-
νὲς μὲν ἰμαντώδες ὂν αὐτοῦ, σκληρότερον δὲ καὶ πυ-
κνώτερον τῇ πιλήσει τῆς ψύξεως, ἣν ἀποχωριζομένη
δέρματος ἐκάτη θρὶξ ψυχθεῖσα ξυνεπιλήφθη. τούτῳ δὴ
λασίαν ἡμῶν ἀπειργάσατο τὴν κεφαλὴν ὁ ποιῶν, χρώ-
μενος μὲν αἰτίοις τοῖς εἰρημένοις, διανοούμενος δὲ
ἀντὶ σαρκὸς αὐτὸ δεῖν εἶναι ζέγασμα τῆς περὶ τὸν
ἐγκέφαλον ἕνεκα ἀσφαλείας κοῦφον καὶ θέρους χειμῶ-
νός τε ἱκανὸν ῥιᾶν καὶ σκέπην παρέχειν, εὐαισθησίας

pegitque ipsam ad verticem. iuncturarum vero species varia propter circuitionum alimoniaeque potentiam facta est: et his quidem magis invicem pugnantibus plures minus vero pauciores. hanc omnem cutem undique igne pupugit percussitque Deus. per cutis inde quasi sauciae rimulas humor effluxit: quodve illic humidum calidumque sincerum erat, abiit; quod vero ex iisdem, quibus et cutis, erat permixtum, emanationis impetu extra productum, in longum extensum est, tenuitatem punctioni penetrationique illi aequalem habens: sed propter tarditatem a spiritu circumstante retusum, rursusque sub cutem revolutum, radices egit. his utique causis capilli in cute sunt nati, secundum pellis coriique similitudinem cuti quam proximi, sed propter coagulationem a frigiditate factam duriores cute atque densiores. nempe capillus extra cutem productus frigore riguit. hoc pacto constipatum hirsutumque caput nobis Deus instituit, causis quidem usus illis, quas diximus: tegmen vero ipsum ad cerebri tutelam non carnibus ponderosum, sed leve esse voluit, quod ad frigoris caloriseve intemperiem repel-

δὲ οὐδὲν διακώλυμα ἐμποδὼν γενησόμενον. Τὸ δὲ ἐν τῇ περὶ τοὺς δακτύλους καταπλοκῇ τοῦ νεύρου καὶ τοῦ δέρματος ὀξοῦ τε, ξυμμιχθὲν ἐκ τριῶν, ἀποξηρανθὲν ἓν κοινὸν ξυμπάντων σκληρὸν γέγονε δέρμα, τοῖς μὲν ξυναιτίοις τούτοις δημιουργηθέν, τῇ δ' αἰτιωτάτῃ διανοίᾳ τῶν ἔπειτα ἐσομένων ἕνεκα εἰργασμένον· ὡς γάρ ποτε ἐξ ἀνδρῶν γυναῖκες καὶ τἆλλα θηρία γεννήσοιντο, ᾔπίσαντο οἱ ξυνιζάντες ἡμᾶς, καὶ δὴ καὶ τῆς τῶν ὀνύχων χρείας ὅτι πολλὰ τῶν θρεμμάτων καὶ ἐπὶ πολλὰ δεήσοιτο ᾔδεσαν, ὅθεν ἐν ἀνθρώποις εὐθὺς γιγνομένοις ὑπετυπώσαντο τὴν τῶν ὀνύχων γένεσιν. τούτῳ δὴ τῷ λόγῳ καὶ ταῖς προφάσεσι ταύταις δέρμα, τρίγας ὄνυχάς τε ἐπ' ἄκροις τοῖς κώλοις ἔφυσαν.

Ἐπειδὴ δὲ πάντ' ἦν τὰ τοῦ θνητοῦ ζώου ξυμπεφυκότα μέρη καὶ μέλη, τὴν δὲ ζωὴν ἐν πυρὶ καὶ ταῦτα πνεύματι ξυνέβαινεν ἐξ ἀνάγκης ἔχειν αὐτῷ, καὶ διὰ ταῦτα ὑπὸ τούτων τηκόμενον κενούμενόν τε ἔφθινε, βοήθειαν αὐτῷ θεοὶ μηχανῶνται. τῆς γὰρ ἀνθρωπίνης ξυγγενῆ φύσεως φύσιν ἄλλαις ἰδέαις καὶ αἰσθήσεσι κεραννύντες, ὥσθ' ἕτερον ζῶον εἶναι, φυτεύουσιν· ἃ δὴ νῦν ἥμερα δένδρα καὶ φυτὰ καὶ σπέρματα παιδευθέντα ὑπὸ γεωργίας τιθασῶς πρὸς ἡμᾶς ἔσχε, πρὶν δ' ἦν μόνα 77

laudam sufficeret et sensus acumen minime impediret. ea vero, quae in digitis est, nervi, pellis et ossis complexio, aridior facta, communi quodam uno duriorique cutis tegmine est adoperta. cuius quidem accessoria ministraque causa in iis, quae diximus, constitit: principalis autem causa in ea intelligentia, quae id futurae commoditatis gratia fabricavit. quod enim ex viris quandoque mulieres et ceterae animantes erant futurae, nostri illi opifices non ignorabant. quin etiam, quod unguium usum bestiae quoque multae ad opera multa erant habiturae, intelligebant. quapropter homines statim genitos unguibus armaverunt. hac utique ratione et his de causis pelle, capillis, unguibus extrema membra operuere. Quoniam vero partes et membra omnia mortalis animantis in mutua quadam cognatione genita erant, vitamque necessario in igne ac spiritu possidebant, ne animal ipsum ab his resolutum exhaustumque cito deficeret, hoc Dii consilio providere. quippe humani generis naturam quandam cognatam aliis formis sensibusque miscentes, quasi animal quoddam aliud plantaverunt. talia sunt domesticae arbores, plantae, semina, quae consita nunc cultaque ab

τὰ τῶν ἀγρίων γένη, πρεσβύτερα τῶν ἡμέρων ὄντα. πᾶν γὰρ οὖν, ὅ τί περ ἂν μετάσχῃ τοῦ ζῆν, ζῷον μὲν ἂν ἐν δίκῃ λέγοιτο ὀρθότατα· μετέχει γε μὴν τοῦτο ὃ νῦν λέγομεν τοῦ τρίτου ψυχῆς εἴδους, ὃ μεταξὺ φρενῶν ὀμφαλοῦ τε ἱδρύσθαι λόγος, ᾧ δόξης μὲν λογισμοῦ τε καὶ νοῦ μέτεστι τὸ μηδέν, αἰσθήσεως δὲ ἡδείας καὶ ἀλγεινῆς μετὰ ἐπιθυμιῶν. πάσχον γὰρ διατελεῖ πάντα, σφαίρᾳ δ' αὐτῷ ἐν ἑαυτῷ περὶ ἑαυτό, τὴν μὲν ἔξωθεν ἀπωσαμένῳ κίνησιν, τῇ δ' οἰκείᾳ χρησαμένῳ, τῶν αὐταῦ τι λογίσασθαι κατιδόντι φύσιν οὐ παραδέδωκεν ἡ γένεσις. διὸ δὴ ζῇ μὲν ἕξι τε οὐχ ἕτερον ζώου, μόνιμον δὲ καὶ κατερριζωμένον πέπηγε διὰ τὸ τῆς ὑφ' ἑαυτοῦ κινήσεως ἐξερῆσθαι.

Ταῦτα δὴ τὰ γένη πάντα φυτεύσαντες οἱ κρείττους τοῖς ἥττοσιν ἡμῖν τροφήν, τὸ σῶμα αὐτὸ ἡμῶν διωχέτευσαν τέμνοντες οἷον ἐν κήποις ὀχετούς, ἵν' ὡς περ ἐκ νάματος ἐπιόντος ἄρδοιτο. καὶ πρῶτον μὲν ὀχετοὺς κρυφαίους ὑπὸ τὴν ξύμφυσιν τοῦ δέρματος καὶ τῆς σαρκὸς δύο φλέβας ἕτερον νωτιαίας, δίδυμον, ὡς τὸ σῶμα ἐτύγχανεν δεξιοῖς τε καὶ ἀριστεροῖς ὄν. ταύτας δὲ καθῆκαν παρὰ τὴν ῥάχιν, καὶ τὸν γόνιμον

arte mitia nobis sunt; quondam vero sine cultura agrestia. quicquid enim vitae est particeps, iure animal nominabitur. quod autem nunc dicimus, tertiae animae speciei est particeps, quam inter diaphragma et umbilicum locavimus: cui opinio, ratio, mens nulla penitus inest; sensus vero suavis et tristis una cum cupiditatibus convenit. omnia siquidem continue patitur. cum vero in se ipso ad semet convertatur, externumque respuat motum, et proprio motu domesticoque utatur, iccirco huic natura non tribuit, ut quicquam pensi habens suorum aliquid consideraret. quapropter vita quidem fungitur, nec est ab animali diversum: quia vero illa vi, qua quid se ipsum transfert, orbatum fuit, stetit rigens et fixum radicibus haesit. Cum haec omnia superiores illi nostri ad nutrimentum nobis inferioribus suppeditassent, in nostro corpore, quasi quodam horto, meatus veluti aquaeductus varios diduxerunt, ut liquoris derivatione irrigaretur. principio meatus occultos sub conflatione cutis et carnis, duas scilicet venas in tergo diviserunt, secundum geminam corporis ipsius figuram, ad dextram et sinistram. has utique ad spinam demiserunt, mediamque

μεταξὺ λαβόντες μυελόν, ἵνα οὗτός τε ὅτι μάλιστα θάλλοι, καὶ ἐπὶ τἆλλα εὔρους ἐντεῦθεν ἅτ' ἐπὶ κάταντες ἡ ἐπίχυσις γιγνομένη παρέχοι τὴν ὑδρείαν ὁμαλήν. μετὰ δὲ ταῦτα σχίσαντες περὶ τὴν κεφαλὴν τὰς φλέβας καὶ δι' ἀλλήλων ἐναντίας πλέξαντες διεῖσαν, τὰς μὲν ἐκ τῶν δεξιῶν ἐπὶ τἀριστερὰ τοῦ σώματος, τὰς δ' ἐκ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ κλίναντες, ὅπως δεσμὸς ἅμα τῇ κεφαλῇ πρὸς τὸ σῶμα εἴη μετὰ τοῦ δέρματος, ἐπειδὴ νεύροις οὐκ ἦν κύκλῳ κατὰ κορυφὴν περιειλημμένη, καὶ δὴ καὶ τὸ τῶν αἰσθήσεων πάθος ἵν' ἀφ' ἑκατέρων τῶν μερῶν εἰς ἅπαν τὸ σῶμα εἴη διαδιδόμενον. τὸ δ' ἐντεῦθεν ἤδη τὴν ὑδραγωγίαν παρεσκεύασαν τρόπῳ τινὶ τοιῷδε; ὃν κατοψόμεθα ῥᾷον προδιομολογησάμενοι τὸ τοιόνδε; ὅτι πάντα ὅσα ἐξ 78
ἐλαττόνων ξυνίσταται στέγει τὰ μείζω, τὰ δ' ἐκ μειζόνων τὰ σμικρότερα οὐ δύναται, πῦρ δὲ πάντων γενῶν σμικρομερέστατον; ὅθεν δι' ὕδατος καὶ γῆς ἀέρος τε καὶ ὅσα ἐκ τούτων ξυνίσταται διαχωρεῖ καὶ στέγειν οὐδὲν αὐτὸ δύναται. ταὐτὸν δὴ καὶ περὶ τῆς παρ' ἡμῖν κοιλίας διανοητέον, ὅτι σιτία μὲν καὶ ποτὰ ὅταν εἰς αὐτὴν ἐμπέσῃ στέγει, πνεῦμα δὲ καὶ πῦρ σμικρομερέ-

medullam genitalem comprehendere, ut et haec quam maxime vigeat pulluletque, et uberior hinc ad alia, quasi declivis effusio, irrigationem aequabilem praebeat. Post haec partientes circa caput venas, easque invicem ex opposito implicantes, partim a dextris ad sinistra, partim a sinistris ad dextra corporis dispertierunt: ut capiti ad reliquum corpus una cum cute connexio foret, postquam nervis quidem non erat circulo quodam secundum verticem comprehensum atque distinctum: atque etiam ut sentiendi vis ab utrisque partibus per totum corpus undique demanaret. hinc vero aquaeductum hoc ordine deduxerunt: quem plane perspiciemus, si hoc inter nos primum asseverabimus. quaecunque ex minutioribus componuntur, maiora detinent: quae vero ex grandioribus, minutiora cohibere non possunt. ignis autem prae ceteris generibus minutissimis constat particulis: ideoque aquam, aërem, terram, et quae ex his componuntur omnia, penetrat transilitque usque adeo, ut nihil ipsum valeat cohibere. idem quoque de nostro utero cogitandum. nempe cibos et potus ingestos retinet, spiritum vero et ignem, quia eius compositione tenuiores sunt,

ξερα ὄντα τῆς αὐτῆς ξυσάσεως οὐ δύναται. τούτοις οὖν κατεχρήσατο ὁ θεὸς εἰς τὴν ἐκ τῆς κοιλίας ἐπὶ τὰς φλέβας ὑδρείαν, πλέγμα ἐξ ἀέρος καὶ πυρὸς οἷον οἱ κύρτοι ξυνυφηνάμενος, διπλᾶ κατὰ τὴν εἴσοδον ἐγκύρτια ἔχον, ὧν θάτερον αὖ πάλιν διέπλεξε δίκρουν· καὶ ἀπὸ τῶν ἐγκυρτίων δὴ διετείνατο οἷον σχοίνους κύκλῳ διὰ παντὸς πρὸς τὰ ἔσχατα τοῦ πλέγματος· τὰ μὲν οὖν ἔνδον ἐκ πυρὸς ξυνεξήσατο τοῦ πλοκάνου ἅπαντα, τὰ δ' ἐγκύρτια καὶ τὸ κύτος ἀεροειδῆ. καὶ λαβὼν αὐτὸ περιέξησε τῷ πλασθέντι ζώῳ τρόπον τοιόνδε. τὸ μὲν τῶν ἐγκυρτίων εἰς τὸ σόμα μεθῆκε, διπλοῦ δὲ ὄντος αὐτοῦ κατὰ μὲν τὰς ἀρτηρίας εἰς τὸν πλεύμονα καθῆκε θάτερον, τὸ δ' εἰς τὴν κοιλίαν παρὰ τὰς ἀρτηρίας· τὸ δ' ἕτερον σχίσας τὸ μέρος ἑκάτερον κατὰ τοὺς ὀχετοὺς τῆς ῥινὸς ἀφῆκε κοινόν, ὥσθ' ὅτε μὴ κατὰ σόμα ἴοι θάτερον, ἐκ τούτου πάντα καὶ τὰ ἐκείνου ῥεύματα ἀναπληροῦσθαι. τὸ δ' ἄλλο κύτος τῷ κύρτου περὶ τὸ σῶμα ὅσον κοῖλον ἡμῶν περιέφυσε, καὶ πᾶν δὴ τοῦτο τοτὲ μὲν εἰς τὰ ἐγκύρτια ξυῤῥεῖν μαλακῶς, ἅτε ἀέρα ὄντα, ἐποίησε, τοτὲ δὲ ἀναῤῥεῖν μὲν τὰ ἐγκύρτια, τὸ δὲ πλέγμα, ὡς ὄντος τοῦ σώματος μανοῦ,

demorari non potest. his igitur usus est Deus ad irrigationem ab utero in venas perficiendam. rete enim quoddam ex aëre atque igne instar gibbosae sagenae contexuit. ubi duo sunt ad ipsum introitum gibbi convexa: quorum alterum bifariam bino pulsu iterum implicavit, et ab ipsis gibbi convexis veluti funes per totum corpus usque ad texturae illius extrema circumtetendit. interiora igitur ipsius tricae omnia ex igne composuit, convexa vero et receptaculum ipsum ex aëre. demum haec assumens in animali formato, hoc pacto disposuit: convexa quidem in os demisit. cum vero convexum gibbosumque sit duplex, per arterias alterum in pulmonem usque traiecit, alterum circa arterias in uterum. alterum vero partitus utramque illius partem ad fistulas narium communiter duxit, ita ut, quando alterum ad os non pervenit, ex hoc ipso omnes illius fluxus meatusque repleantur. alteram vero gibbi retisque capacitatem circa omnes partes corporis concavas esse voluit; idque omne alias quidem in convexa incurvaque confluere molliter, quasi aër illic sit, effecit; alias autem convexa incurvaque ipsa refluere. rete vero, quoniam rarum sit corpus, penetrare per ip-

θύεσθαι εἴσω δι' αὐτοῦ καὶ πάλιν ἔξω, τὰς δ' ἐντὸς τοῦ πυρὸς ἀκτῖνας διαδεδεμένας ἀκολουθεῖν ἐφ' ἑκάτερα ἰόντος τοῦ ἀέρος, καὶ τοῦτο, ἕως περ ἂν τὸ ἔμψυτον ξυνεχὴς ζῷον, μὴ διαπαύεσθαι γιγνόμενον, οὕτω δὲ δὴ τῷ γένει τὸν τὰς ἐπωνυμίας θέμενον ἀναπνοὴν καὶ ἐκπνοὴν λέγομεν θεῖσθαι τοὔνομα. πᾶν δὲ δὴ τὸ τ' ἔργον καὶ τὸ πάθος τοῦθ' ἡμῶν τῷ σώματι γέγονεν ἀρδομένῳ καὶ ἀναψυχομένῳ τρέφεσθαι καὶ ζῆν· ὁπόταν γὰρ ἔσω καὶ ἔξω τῆς ἀναπνοῆς ἰοῦσης τὸ πῦρ
10 ἐντὸς ξυνημμένον ἕπηται, διαιωρούμενον δὲ ἀεὶ διὰ τῆς κοιλίας εἰσελθὸν τὰ σιτία καὶ ποτὰ λάβῃ, τήκει 79
δή, καὶ κατὰ σμικρὰ διαιροῦν, διὰ τῶν ἐξόδων ᾗ περ πορεύεται διάγον, οἷον ἐκ κρήνης ἐπ' ὑγετοὺς ἐπὶ τὰς φλέβας ἀντλοῦν αὐτά, ῥεῖν ὥς περ δι' αὐλῶνος τοῦ σώματος τὰ τῶν φλεβῶν ποιεῖ ῥεύματα.

Πάλιν δὲ τὸ τῆς ἀναπνοῆς ἴδωμεν πάθος, οἷς χρώμενον αἰτίαις τοιοῦτον γέγονεν οἷόν περ τὰ νῦν ἐστίν. ὧδ' οὖν. ἐπειδὴ κενὸν οὐδὲν ἔστιν εἰς ὃ τῶν φερομένων δύναιτ' ἂν εἰσελθεῖν τι, τὸ δὲ πνεῦμα φέρε-
10 ται πρὸ ἡμῶν ἔξω, τὸ μετὰ τοῦτο ἤδη παντὶ δῆλον ὡς οὐκ εἰς κενόν, ἀλλὰ τὸ πλησίον ἐκ τῆς ἕδρας ὠθεῖ·

tum rursusque emergere: radios autem ignis interiores successione continua subsequi, in utramque partem aëre traseunte. idque, donec mortale consistit animal, fieri nunquam cessat. huiusmodi agitationem merito exspirationem respirationemque nominatam esse censemus. omne autem hoc opus omnisque nostra haec passio in corpore fit irrigatione quadam et refrigerio ad vitam et nutrimentum. quando enim exspirante et respirante halitu ignis simul interior sequitur, perque uterum diffusus poculenta esculentaque offendit, liquefacit protinus ipsa, partitur in minima, per exitus, qua progressio patet, tanquam ex fonte quodam educit: in meatus videlicet venarum traiicit, quaecunque exhausit, atque per corpus quasi vallem venarum fluenta diducit. sed videamus iterum, quibus causis respiratio hunc in modum, quem nunc cernimus, fuerit instituta. cuius quidem rei talis erit consideratio. quoniam vacuum nusquam est, quo quicquam eorum, quae perferuntur, ingredi queat, spiritus autem e nobis evolat: cuivis constat non in vacuum quidem hunc spiritum evolare, sed proximum sibi e sua

τὸ δὲ ὠθούμενον ἐξελαύνει τὸ πλησίον ἀεί, καὶ κατὰ ταύτην τὴν ἀνάγκην πᾶν περιελαυνόμενον εἰς τὴν ἕδραν, ὅθεν ἐξῆλθε τὸ πνεῦμα, εἰσιὸν ἐκεῖσε καὶ ἀναπληροῦν αὐτὴν ξυνέπεται τῷ πνεύματι, καὶ τοῦτο ἅμα πᾶν οἷον τροχοῦ περιαγομένου γίγνεται διὰ τὸ κενὸν μηδὲν εἶναι. διὸ δὴ τὸ τῶν ῥηθῶν καὶ τὸ τοῦ πλεύμονος ἔξω μεθιὲν τὸ πνεῦμα πάλιν ὑπὸ τοῦ περὶ τὸ σῶμα ἀέρος, εἴσω διὰ μανῶν τῶν σαρκῶν δυομένου καὶ περιελαυνομένου, γίγνεται πλῆρες· αὖθις δὲ ἀποτρεπόμενος ὁ ἀὴρ καὶ διὰ τοῦ σώματος ἔξω ἰὼν εἴσω 1
τὴν ἀναπνοὴν περιωθεῖ κατὰ τὴν τοῦ στόματος καὶ τὴν τῶν μυκτήρων δίοδον. Τὴν δὲ αἰτίαν τῆς ἀρχῆς αὐτῶν θετέον τήνδε. πᾶν ζῶον αὐτοῦ τάντὸς περὶ τὸ αἷμα καὶ τὰς φλέβας θερμότατα ἔχει, οἷον ἐν ἑαυτῷ πηγήν τινα ἐνοῦσαν πυρός· ὃ δὴ καὶ προσηκάζομεν τῷ τοῦ κύρτου πλέγματι, κατὰ μέσον διατεταμένον ἐκ πυρὸς πεπλέχθαι πᾶν, τὰ δὲ ἄλλα, ὅσα ἔξωθεν, ἀέρος. τὸ θερμὸν δὴ κατὰ φύσιν εἰς τὴν αὑτοῦ χώραν ἔξω πρὸς τὸ ξυγγενὲς ὁμολογητέον ἰέναι. δυεῖν δὲ ταῖν διεξόδοιν οὐσαιν, τῆς μὲν κατὰ τὸ σῶμα ἔξω, τῆς δὲ 2
αὖ κατὰ τὸ στόμα καὶ τὰς ῥῖνας, ὅταν μὲν ἐπὶ θάτερα ὁρμήσῃ, θάτερα περιωθεῖ· τὸ δὲ περιωσθὲν εἰς τὸ

sede depellere; depulsum rursus illum proximum sibi semper extrudere, ac secundum necessitatem huiusmodi quicquid in sedem illam repercutitur atque impellitur, unde exclusus est halitus, ingressum illuc replensque halitum ipsum subsequi: idque totum simul revolutione quadam, quia nusquam sit vacuum, fieri. quamobrem cum pectus pulmonesque spiritum efflaverint, mox aëre corpori circumfuso meatus corporis penetrante, replentur. ac rursus evolans a corpore aër et emissus anhelitus inspirationem intro retrahi cogit per oris nariumque meatus. Causam vero, quae his principium dat, huiusmodi ponimus. omne universi huius animal in venis et sanguine calorem, quasi fontem ignis aliquem, possidet. idque reti sagenae comparavimus, per medium extensum, totumque ex igne contextum, cum exteriora omnia ex aëre sint. calorem sane putandum est natura sua in regionem suam extra ad id, quod sibi cognatum est, emanare. cum vero discursiones duae sint, una per corpus extra, altera rursus per os ac nares: cum anhalitus ad alia impetum facit detruditque, alia contra retrahit atque repercu-

πῦρ ἐμπῖπτον θερμαίνεται, τὸ δ' ἐξιὸν ψύχεται. μεταβαλλούσης δὲ τῆς θερμότητος καὶ τῶν κατὰ τὴν ἑτέραν ἔξοδον θερμοτέρων γιγνομένων πάλιν ἐκείνῃ ῥέπον αὖ τὸ θερμότερον μᾶλλον, πρὸς τὴν αὑτοῦ φύσιν φερόμενον, περιωθεῖ τὸ κατὰ θάτερα· τὸ δὲ τὰ φύσει πάσχον καὶ τὰ αὐτὰ ἀνταποδιδὸν ἀεί, κύκλον οὕτω σαλευόμενον ἔνθα καὶ ἔνθα ἀπειργασμένον ὑπ' ἀμφοτέρων τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν γίγνεσθαι παρέχεται.

19. Καὶ δὴ καὶ τὰ τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημάτων αἴτια καὶ τὰ τῆς καταπόσεως τά τε τῶν ῥιπτουμένων, ὅσα ἀφεθέντα μετέωρα καὶ ὅσα ἐπὶ γῆς φέρεται, ταύτῃ διωκτέον, καὶ ὅσοι φθόγγοι ταχεῖς καὶ βραδεῖς ὀξεῖς τε καὶ βαρεῖς φαίνονται, τοτὲ μὲν ἀνάρμοστοι φερόμενοι δι' ἀνομοιότητα τῆς ἐν ἡμῖν ὑπ' αὐτῶν κινήσεως, τοτὲ δὲ ξύμφωνοι δι' ὁμοιότητα. τὰς γὰρ τῶν προτέρων καὶ θαττόνων οἱ βραδύτεροι κινήσεις ἀποπαυομένας ἤδη τε εἰς ὅμοιον ἐληλυθυίας, αἷς ὕστερον αὐτοὶ προσφερόμενοι κινοῦσιν ἐκείνας, καταλαμβάνουσι, καταλαμβάνοντες δὲ οὐκ ἄλλην ἐπεμβάλ-

tit. quod autem retractum est, in ignem incurrens calescit: quod exhalavit, friget. dum ergo calíditas permutatur, et, quae alio transitu utuntur, calescunt, ac rursus, quod fervet, ad naturam suam emigrat, et hac emigratione alia in aliud iter repercutit, rursusque haec idem perpetiuntur aguntque semper: certe anhelitus hic, circulo quodam hinc et illinc iugiter fluctuans, exspirationem et inspirationem continet. Quin etiam causae passionum, quae ex attractu ampullarum ex corpore a medicis fiunt, atque etiam potionis, et eorum insuper, quae iaciuntur, sive emittantur sublimia seu deferantur humi, hac utique ratione tractandae videntur. voces praeterea, quaecunque veloces et tardae, acutae et graves audiri solent: alias dissonae propter motus eius, qui in nobis ab ipsis fit; dissimilitudinem, alias propter similitudinem consonae. priorum enim velociorumque cessantes motus, iamque ad simile quiddam progressos, tardiores ipsae voces succedentes illis, eosque moventes, occupant comprehendendo ac superant: comprehendentes vero non alium quidem motum iniiciendo perturbant

λοντες ἀνετάραξαν κίνησιν, ἀλλ' ἀρχὴν βραδυτέρας φορᾶς κατὰ τὴν τῆς θάττονος ἀπολειπούσης δὲ ὁμοιότητα προσάψαντες μίαν ἐξ ὀξείας καὶ βαρείας ξυνεκεράσαντο πάθην, ὅθεν ἡδονὴν μὲν τοῖς ἄφροσιν, εὐφροσύνην δὲ τοῖς ἔμφροσι διὰ τὴν τῆς θείας ἁρμονίας μίμησιν ἐν θνηταῖς γενομένην φοραῖς παρέσχον. Καὶ δὴ καὶ τὰ τῶν ὑδάτων πάντα ῥεύματα, ἔτι δὲ τὰ τῶν κεραυνῶν πτώματα καὶ τὰ θαυμαζόμενα ἠλέκτρων περὶ τῆς ἕλξεως καὶ τῶν Ἡρακλείων λίθων, πάντων τούτων ὁλκὴ μὲν οὐκ ἔστιν οὐδενί ποτε, τὰ δὲ κενὸν εἶναι μηδὲν περιωθεῖν τε αὐτὰ ταῦτα εἰς ἄλληλα, τό τε διακρινόμενα καὶ συγκρινόμενα πρὸς τὴν αὐτῶν διαμειβόμενα ἕδραν ἕκαστα ἴέναι πάντα, τούτοις τοῖς παθήμασι πρὸς ἄλληλα συμπλεχθεῖσι τεθαυματουργημένα τῷ κατὰ τρόπον ζητοῦντι φανήσεται.

Καὶ δὴ καὶ τὰ τῆς ἀναπνοῆς, ὅθεν ὁ λόγος ὥρμησε, κατὰ ταῦτα καὶ διὰ τούτων γέγονεν, ὡς πρὸ ἐν τοῖς πρόσθεν εἴρηται, τέμνοντος μὲν τὰ σιτία τοῦ πυρός, αἰωρουμένου δὲ ἐντὸς τῷ πνεύματι ξυνεπομένου, τὰς φλέβας δὲ ἐκ τῆς κοιλίας τῇ ξυναιωρήσει πληροῦντος τῷ τὰ τετμημένα αὐτόθεν ἐπαντλεῖν καὶ διὰ ταῦτα δὴ καθ' ὅλον τὸ σῶμα πᾶσι τοῖς ζῴοις τὰ

sed tardioris lationis initium, secundum principium velocioris, inducunt. dum vero desinentis motionis similitudinem sibi quandam accommodant, unum ex acuta et gravi concentum contemperant, unde insipientibus voluptatem, sapientibus gaudium, propter divinae harmoniae imitationem in lationibus mortalibus repertam, tribuunt. Eadem ratio est de aquarum fluxibus, de fulminum impetu, de electri mirabili illo attractu, lapidisve illius, qui Heraclius nominatur, revera nullius horum attractio fit; sed cum nusquam sit vacuum, et haec se invicem pulsent atque repulsent, concretaque et discreta suum locum singula poscant, diligenti harum rerum investigatori ex his mutuis passionibus eventus illi mirabiles contingere videbuntur, atque respiratio, unde huc digressi sumus, ab his causis et hunc in modum, ut supra diximus, provenit, dum videlicet ignis cibos dividit, elevaturque intrinsecus assecutus spiritum, venas a ventre communi elevatione huiusmodi replet, ex eo quod attrita inde haurit; et ob hanc rationem per totam animalium omnium corpus alimentorum liquores penitus dif-

τῆς τροφῆς νάματα οὕτως ἐπίῤῥυτα γεγονέναι. νεότμητα δὲ καὶ ἀπὸ ξυγγενῶν ὄντα, τὰ μὲν καρπῶν, τὰ δὲ χλόης, ἃ θεὸς ἐπ' αὐτὸ τοῦθ' ἡμῖν ἐφύτευσεν, εἶναι τροφήν, παντοδαπὰ μὲν χρώματα ἴσχει διὰ τὴν ξύμμιξιν, ἡ δ' ἐρυθρὰ πλείστη περὶ αὐτὸ χρόα διαθεῖ, τῆς τοῦ πυρὸς τομῆς τε καὶ ἐξομιόρξεως ἐν ὑγρῷ δεδημιουργημένη φύσις· ὅθεν τοῦ κατὰ τὸ σῶμα ῥέοντος τὸ χρῶμα ἔσχεν οἵαν ὄψιν διειληλύθαμεν. ὃ καλοῦμεν αἷμα, νομὴν σαρκῶν καὶ ξύμπαντος τοῦ σώματος, ὅθεν ὑδρευόμενα ἕκαστα πληροῖ τὴν τοῦ κενουμένου βάσιν. ὁ δὲ τρόπος τῆς πληρώσεως ἀποχωρήσεώς τε γίγνεται, καθά περ ἐν τῷ παντὶ παντὸς ἡ φορὰ γέγονεν, ἣν τὸ ξυγγενὲς πᾶν φέρεται πρὸς ἑαυτό. τὰ μὲν γὰρ δὴ περιεχῶντα ἐκτὸς ἡμᾶς τήκει τε ἀεὶ καὶ διανέμει πρὸς ἕκαστον εἶδος τὸ ὁμόφυλον ἀποπέμπον, τὰ δὲ ἔναιμα αὖ, κερματισθέντα ἐντὸς παρ' ἡμῖν καὶ περιειλημμένα ὥς περ ὑπ' οὐρανοῦ ξυνεχῶντος ἑκάστου τοῦ ζώου, τὴν τοῦ παντὸς ἀναγκάζεται μιμεῖσθαι φοράν· πρὸς τὸ ξυγγενὲς οὖν φερόμενον ἕκαστον τῶν ἐντὸς μερισθέντων τὸ κενωθὲν τότε πάλιν ἀνεπλήρωσεν. ὅταν μὲν δὴ πλέον τοῦ ἐπιῤῥέοντος ἀπίῃ, φθίνει πᾶν, 81

funduntur. statim vero attrita et a cognatis suis ablata, partim fructibus partim graminibus, quae Deus ad alimoniam corporis nostri produxit, colores propter mixtionem omnino varios habent: sed plurimus in his rubeus praevalet color, cujus natura ex ignis portione et abstersione in humido facta provenit. propterea eius, quod in totum corpus permanat, color talis aspectu est, qualem diximus. id sanguinem nominavimus, carnium et universi corporis pabulum: unde irrigatio distributa passim exhausta cuncta replet. modus autem impletionis evacuationisve talis est, qualis in universo cuialibet latio, per quam cognatum quodlibet ad se ipsum se confert. quae enim nobis extrinsecus circumfusa sunt, resolvunt nos assidue et singulas nostri portiones ad species suas foras emittunt. sanguinea vero, in nobis attrita inclusaque visceribus, ut par est in quolibet animali fieri sub coelo constituto, totius lationem imitari coguntur. cum igitur attrita quaelibet in nobis cognatum poscant, exhausta quaelibet implent. porro quando abscedit plus quam accesserit, decrescit animal: quando contra fit, augetur.

ὅταν δὲ ἔλαττον, αὐξάνεται. νέα μὲν οὖν ξύσασις τοῦ παντὸς ζώου, καινὰ τὰ τρίγωνα οἷον ἐκ δρυόχων ἔτι ἔχουσα τῶν γενῶν, ἰσχυρὰν μὲν τὴν ξύγκλεισιν αὐτῶν πρὸς ἄλληλα κέκτηται, ξυμπέπηγε δὲ ὁ πᾶς ὄγκος αὐτῆς ἁπαλός, ἅτε ἐκ μυελοῦ μὲν νεωστὶ γεγονυίας, τεθραμμένης δὲ ἐν γάλακτι· τὰ δὴ περιλαμβανόμενα ἐν αὐτῇ τρίγωνα ἔξωθεν ἐπειςελθόντα, ἐξ ὧν ἄν τις τά τε σιτία καὶ ποτά, τῶν ἑαυτῆς τριγώνων παλαιότερα ὄντα καὶ ἀσθενέςτερα καινοῖς ἐπικρατεῖ τέμνουσα, καὶ μέγα ἀπεργάζεται τὸ ζῷον τρέφουσα ἐκ πολλῶν ὁμοίων. ὅταν δ' ἡ ῥίζα τῶν τριγώνων χαλᾷ διὰ τὸ πολλοὺς ἀγῶνας ἐν πολλῷ χρόνῳ πρὸς πολλὰ ἠγωνίσθαι, καὶ μὲν τῆς τροφῆς εἰςιόντα οὐκέτι δύναται τέμνειν εἰς ὁμοιότητα ἑαυτοῖς, αὐτὰ δὲ ὑπὸ τῶν ἔξωθεν ἐπειςιόντων εὐπετῶς διαιρεῖται· φθίνει δὴ πᾶν ζῶον ἐν τούτῳ κρατούμενον, γῆράς τε ὀνομάζεται τὸ πάθος. τέλος δή, ἐπειδὰν τῶν περὶ τὸν μυελὸν τριγώνων οἱ ξυναρμοσθέντες μηκέτι ἀντέχωσι δεσμοὶ τῷ πόνῳ διεξαμένοι, μεθιᾶσι τοὺς τῆς ψυχῆς αὖ δεσμούς, ἡ δὲ λυθεῖσα κατὰ φύσιν μεθ' ἡδονῆς ἐξέπτατο· πᾶν γὰρ τὸ μὲν παρὰ φύσιν ἀλγεινόν, τὸ δ' ἧ πέφυκε γιγνόμενον

recens igitur animalis cuiuslibet compositio cum novos velut ex ligneo quodam contextu triangulos habeat, validam quidem eorum compaginem possidet: moles autem eius tenerior tota coaluit, quippe quae ex recentiori medulla concrevit nuper et lacte nutrita est. susceptos ergo triangulos illos extrinsecus incidentes, quibus cibi potusque conflantur, triangulis propriis antiquiores imbecilliores-que inniorum vi pervincit et conterit, et grande animal ipsum reddit, dum ex multis similibus alit. at cum triangulorum radicem compagemque relaxat, ex eo quod magnis laboribus longo tempore adversus multa certando fatigata et domita sit, tunc sane alimenta susceptа in similitudinem suam non potest comminuendo redigere; sua vero membra ab ingredientibus facile dissipantur. hinc iam minui ac deficere omne incipit animal, cum superatur: ietrimentumque istud senectus appellatur. finis vero tunc obvenit, quando triangulorum illorum, ex quibus medulla conficitur, olim coaptata vincula nihil amplius nectunt, sed defatigatione iam relaxata nexus animae deserunt. anima vero clam secundum naturam cum voluptate protinus evolat. quicquid enim contra naturam

ἡδύ. καὶ θάνατος δὴ κατὰ ταὐτὰ ὁ μὲν κατὰ νόσους καὶ ὑπὸ τραυμάτων γιγνόμενος ἀλγεινὸς καὶ βίαιος, ὁ δὲ μετὰ γῆρας ἰὼν ἐπὶ τέλος κατὰ φύσιν ἀπονώτατος τῶν θανάτων καὶ μᾶλλον μεθ' ἡδονῆς γιγνόμενος ἢ λύπης.

Τὸ δὲ τῶν νόσων ὅθεν ξυνίσταται, δῆλόν που καὶ παντί. τεττάρων γὰρ ὄντων γενῶν ἐξ ὧν συμπέπηγε τὸ σῶμα, γῆς πυρὸς ὕδατός τε καὶ ἀέρος, τούτων ἡ 82
παρὰ φύσιν πλεονεξία καὶ ἔνδεια καὶ τῆς χώρας μετά-
10 ξασις ἐξ οἰκείας ἐπ' ἀλλοτρίαν γιγνομένης, πυρός τε αὖ καὶ τῶν ἑτέρων, ἐπειδὴ γένη πλείονα ἑνὸς ὄντα συγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυτῷ προσλαμβάνειν, καὶ πάνθ' ὅσα τοιαῦτα σήσεις καὶ νόσους παρέχει· παρὰ φύσιν γὰρ ἑκάστου γιγνομένου καὶ μεθισαμένου θερμαίνεται μὲν ὅσα περ ἂν πρότερον ψύχηται, ξηρὰ δὲ ὄντα ἐς ὕγερον χίγνεται νοτερά, καὶ κοῦφα δὴ καὶ βαρέα, καὶ πᾶσας πάντη μεταβολὰς δέχεται. μόνον γὰρ δή, φαμέν, ταὐτὸ ταὐτῷ κατὰ ταὐτὸ καὶ ὡσαύτως καὶ ἀνὰ λόγον προσγιγνόμενον καὶ ἀπογιγνόμενον ἐά-
20 σει ταὐτὸν ἂν αὐτῷ σῶν καὶ ὑγιὲς μένειν· ὃ δ' ἄν πλημμελήσῃ τι τούτων ἐκτὸς ἀπιὸν ἢ προσιόν, ἀλλοιότητας παμποικίλας καὶ νόσους φθοράς τε ἀπείρους

fit, molestum est: quod autem pro rei natura, iucundum. similiter. et mors quam morbi et vulnera intulerunt, violenta est atque molesta: quae vero senio paulatim ad finem deducente naturaliter subrepit, inter omnia mortis genera levissima est, et cum voluptate potius quam dolore contingit. Morbi autem unde nascantur, quis dubitet? nam cum quatuor illa sint, ex quibus compactum est corpus, terra, ignis, aqua, aër, horum non naturalis excessus defectusque, et ex loco proprio in alienum translatio, per quam, quod sibi conveniens est, non tenent, intestinam quandam seditionem et morbos inferunt. quando enim praeter naturam unumquodque fit aut transfertur, calescunt utique, quae ante frigebant, arida madent, gravescunt levia, et cetera omnia similiter permutantur. solummodo vero idem aliquid sibimet secundum idem atque similiter et debita proportione servata accedens vel decedens, permittet se idem sibi ipsi sospes integrumque manere. quod autem aberrat, sive accedendo seu decedendo, mutationes varias, morbos, corruptiones infinitas inducit. ex secundis quoque

παρέξεται. Δευτέρων δὴ ξυζάσεων αὖ κατὰ φύσιν ξυνεστηκυιῶν δευτέρα κατανόησις νοσημάτων τῷ βουλομένῳ γίγνεται ξυννοῆσαι. μυελοῦ γὰρ ἐξ ἐκείνων ὀζοῦ τε καὶ σαρκὸς καὶ νεύρου ξυμπαγέντος, ἔτι τε αἵματος ἄλλον μὲν τρόπον, ἐκ δὲ τῶν αὐτῶν γεγονότος, τῶν μὲν ἄλλων τὰ πλεῖστα ἢ περ τὰ πρόσθεν, τὰ δὲ μέγιστα τῶν νοσημάτων τῇδε χαλεπὰ ξυμπέπτωκεν, ὅταν ἀνάπαλιν ἡ γένεσις τούτων πορεύηται, τότε ταῦτα διαφθείρεται. κατὰ φύσιν γὰρ σάρκες μὲν καὶ νεῦρα ἐξ αἵματος γίγνεται, νεῦρον μὲν ἐξ ἰνῶν διὰ τὴν ξυγγένειαν, σάρκες δὲ ἀπὸ τοῦ παγέντος, ὃ πήγνυται χωριζόμενον ἰνῶν· τὸ δὲ ἀπὸ τῶν νεύρων καὶ σαρκῶν ἐπιὸν αὖ γλίσχρον καὶ λιπαρὸν ἅμα μὲν τὴν σάρκα πολλᾷ πρὸς τὴν τῶν ὀζῶν φύσιν αὐτό τε τὸ περὶ τὸν μυελὸν ὀζοῦν τρέφον αὔξει, τὸ δ' αὖ διὰ τὴν πυκνότητα τῶν ὀζῶν διηθούμενον καθαρώτατον γένος τῶν τριγώνων λειότατόν τε καὶ λιπαρώτατον, λειβόμενον ἀπὸ τῶν ὀζῶν καὶ ζάζον, ἄρδει τὸν μυελόν. καὶ κατὰ ταῦτα μὲν γιγνομένων ἑκάζων ὑγίεια ξυμβαίνει τὰ πολλά· νόσοι δέ, ὅταν ἐναντίως. ὅταν γὰρ τηκομένη σὰρξ ἀνάπαλιν εἰς τὰς φλέβας τὴν τηκεδόνα ἐξίῃ, τότε

compositionibus secundum naturam constitutis secunda bonae vel malae valetudinis coniectura id quaerenti cuique dabitur. cum enim medulla ex illis et os et caro et nervi constiterint, sanguis praeterea ex iisdem, quamvis alio modo, concreverit: ceteri quidem eventus plurimi, quemadmodum superiora, contingunt, maximi vero morbi atque gravissimi hoc pacto nascuntur: quando videlicet ordine converso ista ex se invicem fiunt, procul dubio corrumpuntur, nempe secundum naturam carnes et nervi ex sanguine generantur; nervi quidem a villis et ligamentis propter cognationem, carnes autem a coagulatione quadam eius, quod secretum a villis et ligamentis concrevit. quod rursus a nervis et carnibus emanat glutinosum et pingue, simul quidem carnem ut plurimum ad ossium naturam, ac etiam os ipsum medullam circumdans, nutriendo exauget. quod rursus per ossium crassitudinem stillat purissimum genus triangulorum laevissimumque et pinguedine abundantissimum, dum defluit ex ossibus atque delabitur, medullam irriget. quatenus igitur singula hunc in modum fiunt, bona vale-

μετὰ πνεύματος αἷμα πολύ τε καὶ παντοδαπὸν ἐν ταῖς φλεψὶ χρώμασι καὶ πικρότησι ποικιλλόμενον, ἔτι δὲ ὀξείαις καὶ ἁλμυραῖς δυνάμεσι, χολὰς καὶ ἰχῶρας καὶ φλέγματα ἴσχει παντοῖα· παλιναίρετα γὰρ πάντα γεγονότα, καὶ διεφθαρμένα τό τε αἷμα αὐτὸ πρῶτον διόλλυσι, καὶ αὐτὰ οὐδεμίαν τροφὴν ἔτι τῷ σώματι παρέχοντα φέρεται πάντῃ διὰ τῶν φλεβῶν, τάξιν τῶν κατὰ φύσιν οὐκέτ' ἴσχοντα περιόδων, ἐγθρὰ μὲν αὐτὰ αὑτοῖς· διὰ τὸ μηδεμίαν ἑαυτῶν ἀπόλαυσιν ἔχειν, τῷ ξυνεχῶτι δὲ τοῦ σώματος καὶ μένοντι κατὰ χώραν πολέμια, διολλύντα καὶ τήκοντα. ὅσον μὲν οὖν ἂν παλαιότατον ὂν τῆς σαρκὸς τακῇ, δύσπεπτον γιγνόμενον μελαίνει μὲν ὑπὸ παλαιᾶς ξυγκαύσεως, διὰ δὲ τὸ πάντῃ διαβεβρῶσθαι πικρὸν ὂν παντὶ χαλεπὸν προσπίπτει τοῦ σώματος, ὅσον ἂν μήπω διεφθαρμένον ᾖ. καὶ τοτὲ μὲν ἀντὶ τῆς πικρότητος ὀξύτητα ἔσχε τὸ μέλαν χρῶμα, ἀπολεπτυνθέντος μᾶλλον τοῦ πικροῦ· τοτὲ δὲ ἡ πικρότης αὖ βαφεῖσα αἵματι χρῶμα ἔσχεν ἐρυθρώτερον, τοῦ δὲ μέλανος τούτῳ ξυγκερασθέντος χολώδες· ἔτι δὲ ξυμμίγνυται ξανθὸν χρῶμα μετὰ τῆς

tudo servatur: mala vero sequitur valetudo, quando fit contra. nam quotiens eliquata caro tabem rursus transmittit in venas, sanguis una cum spiritu multus ac varius in venis, coloribus diversis, amaritudineque et acidis salsisque infectus saporibus, bilem, cruorem, pituitam gignit quam plurimam. quae quidem omnia rursus sic genita et corrupta sanguinem ipsum in primis inficiunt, et ipsa nullum nutrimentum adhibentia corpori, feruntur passim per venas, nullo prorsus naturalis circuitus ordine observato, inimica sane inter sese ista sunt, propterea quod nullum sui sibi invicem praebent usum, naturali praeterea corporis habitudini quoque in statu perseveranti dissolvendo et liquefaciendo plurimum adversantur. portio namque carnis vetustissima cum liquescit, ad digestionem concoctionemque ineptissima, propter veterem exustionem nigrescit. quia vero contabuit penitusque exesa est, amaritudinem contrahit, ceteris omnibus corporis partibus nondum contaminatis adversam, et tum quidem pro amaritudine niger ipse color acerbitatem et acrimoniam habet, eo iam, quod amarum fuerat, magis attenuato: tum vero amaritudo rursus sanguine tincta colorem habet rubeum; sed nigro huic admixto felleum. praeterea flavus color cum amaritudine coit, quando ob ig-

πικρότητος, ὅταν νέα ξυνταχῇ σὰρξ ὑπὸ τοῦ περὶ τὴν φλόγα πυρός. καὶ τὸ μὲν κοινὸν ὄνομα πᾶσι τούτοις ἤ τινες ἰατρῶν που χολὴν ἐπωνόμασαν ἢ καί τις ὢν δυνατὸς εἰς πολλὰ μὲν καὶ ἀνόμοια βλέπειν, ὁρᾷν δ' ἐν αὐτοῖς ἓν γένος ἑνὸν ἄξιον ἐπωνυμίας πᾶσι· τὰ δ' ἄλλα ὅσα χολῆς εἴδη λέγεται, κατὰ τὴν χρόαν ἕσχε λόγον αὐτῶν ἕκαστον ἴδιον. ἰχὼρ δέ, ὁ μὲν αἵματος ὀρὸς πρᾶος, ὁ δὲ μελαίνης χολῆς ὀξείας τε ἄγριος, ὅταν ξυμμιγνύηται διὰ θερμότητα ἁλμυρᾷ δυνάμει· καλεῖται δὲ ὀξὺ φλέγμα τὸ τοιοῦτον. τὸ δ' αὖ μετὰ 1
ἀέρος τηκόμενον ἐκ νέας καὶ ἀπαλῆς σαρκός, τούτου δὲ ἀνεμιωθέντος καὶ ξυμπεριληφθέντος ὑπὸ ὑγρότητος, καὶ πομφολύγων ξυσασῶν ἐκ τοῦ πάθους τούτου καθ' ἑκάστην μὲν ἀοράτων διὰ σμικρότητα, ξυναπασῶν δὲ τὸν ὄγκον παρεχομένων ὁρατόν, χρῶμα ἐχουσῶν διὰ τὴν τοῦ ἀφροῦ γένεσιν ἰδεῖν λευκόν, ταύτην πᾶσαν τηκεδόνα ἀπαλῆς σαρκὸς μετὰ πνεύματος ξυμπλακεῖσαν λευκὸν εἶναι φλέγμα φαμέν. φλέγματος δ' αὖ νέου ξυνιζαμένου ὀρὸς ἰδρὼς καὶ δάκρυον, ὅσα τε ἄλλα τοιαῦτα σῶμα τὸ καθ' ἡμέραν χεῖται καθαιρόμενον. καὶ ταῦτα ἓ
μὲν δὴ πάντα νόσων ὄργανα γέγονεν, ὅταν αἷμα μὴ

nis flammam nova caro liquescit. et nomen quidem omnibus his commune bilem imposuit vel medicus aliquis vel certe eo ingenio praeditus quispiam, quo multa et dissimilia dispicere posset, ac rursus genus in multis unum uno cognomento dignum inspicere. quae vero bilis species appellantur, pro colorum varietate rationem singulis propriam acceperunt. cruor praeterea, qui sanguinis residuum et defluxus est, lenis est ac mitis: qui vero bilis atrae acrisque, agrestis, quando propter caliditatem salso sapori miscetur, huiusmodi quiddam acida pituita nuncupatur. saepe vero tenerioris recentisque carnis portio quaedam una cum aëre colliquescit: deinde vento inflatur incluso, humiditate protinus circumfusa: fiuntque ex hoc ampullae, quae sigillatim propter parvitatem videri non possunt, iunctae vero simul et in grandiorem tumefactae molem conspiciuntur, coloremque propter spumae generationem habent album. omnem hanc tenerioris carnis eliquationem una cum spiritu factam, quae ex humiditate vento circumfusa tumescit, album pituitam appellamus: recentis item pituitae residuum defluxumque lacrimas atque sudorem, et quotcunque alia, in quae quotidie corpus resolvitur. atque haec omnia instrumenta morbo-

ἐκ τῶν σιτίων καὶ ποτῶν πληθύσῃ κατὰ φύσιν, ἀλλ' ἐξ ἐναντίων τὸν ὄγκον παρὰ τοὺς τῆς φύσεως λαμβάνῃ νόμους. διακρινομένης μὲν οὖν ὑπὸ νόσων τῆς σαρκὸς ἑκάστης, μενόντων δὲ τῶν πυθμένων αὐταῖς ἡμίσεια τῆς ξυμφορᾶς ἢ δύναμις· ἀνάληψιν γὰρ ἔτι μετ' εὐπετείας ἴσχει. τὸ δὲ δὴ σάρκας ὀστοῖς ξυνδοῦν 84
ὑπότ' ἂν νοσήσῃ, καὶ μηκέτι αὖ τὸ ἐξ ἰνῶν αἷμα καὶ νεύρων ἀποχωριζόμενον ὀστῷ μὲν τροφή, σαρκὶ δὲ πρὸς ὀστοῦν γίγνηται δεσμός, ἀλλ' ἐκ λιπαροῦ καὶ λείου καὶ γλίσχρου τραχὺ καὶ ἁλμυρὸν αὐχμήσαν ὑπὸ κακῆς διαίτης γένηται, τότε ταῦτα πάσχον πᾶν τὸ τοιοῦτον καταψήχεται μὲν αὐτὸ πάλιν ὑπὸ τὰς σάρκας καὶ τὰ νεῦρα, ἀφισάμενον ἀπὸ τῶν ὀστῶν, αἱ δ' ἐκ τῶν ῥιζῶν ξυνεκπίπτουσαι τά τε νεῦρα γυμνὰ καταλείπουσι καὶ μεσὰ ἄλμης· αὗται δὲ πάλιν εἰς τὴν αἵματος φορὰν ἐμπεσοῦσαι τὰ πρόσθεν ῥηθέντα νοσήματα πλείω ποιοῦσι. χαλεπῶν δὲ τούτων περὶ τὰ σώματα παθημάτων γιγνομένων μεῖζω ἔτι γίγνεται τὰ πρὸ τούτων, ὅταν ὀστοῦν διὰ πυκνότητα σαρκὸς ἀναπνοὴν μὴ λαμβάνον ἱκανήν, ὑπ' εὐρῶτος θερμαινόμενον, σφακελίσαν μήτε τὴν τροφὴν καταδέχηται πάλιν τε αὐτὸ εἰς ἐκείνην ἐναντίως ἴῃ ψηχόμενον, ἡ δ' εἰς σάρκας, σὰρξ δὲ εἰς

rum, quando scilicet sanguis non cibis et potibus secundum naturam, sed ex contrariis praeter naturae leges excrescit. quando igitur caro quaelibet circumciditur eiusque radix permanet, dimidia quaedam est calamitatis potentia; facile enim restauratur. quando vero quod carnes ossibus alligat, aegrotat, et sanguis ex illis ac nervis defluens haud amplius nutrit ossa carnemve revincit, sed ex pingui et glutinoso asper, salsus, siccus et squalidus iniquitate victus est factus: tunc certe quod omnia ista perpetitur, abscissum ab ossibus sub carne nervisque riget. caro etiam a radicibus decidens nudos relinquit nervos et salso obductos humore, et in fluenta sanguinis permanans morbos, quos supra diximus, numero etiam plures reddit. graves quidem istae corporibus passiones; quae vero has praecedunt, admodum graviores: quando videlicet os ob carnis crassitudinem respirationem non habet sufficientem, ideoque putredinis calore vexatum atque restrictum alimenta non suscipit, rursusque ipsum in illam contra decidit frigefactum, illa vero in carnem, caro in sanguinem rursus delabi-

αἷμα ἐμπίπτουσα τραχύτερα πάντα τῶν πρόσθεν τὰ νοσήματα ἀπεργάζηται. τὸ δ' ἔσχατον πάντων, ὅταν ἡ τοῦ μυελοῦ φύσις ἀπ' ἐνδείας ἢ τινος ὑπερβολῆς νοσήσῃ, τὰ μέγιστα καὶ κυριώτατα πρὸς θάνατον τῶν νοσημάτων ἀποτελεῖ, πάσης ἀναπαλιν τῆς τοῦ σώματος φύσεως ἐξ ἀνάγκης ῥυείσης. Τρίτον δ' αὖ νοσημάτων εἶδος τριχῇ δεῖ διανεῖσθαι γιγνόμενον, τὸ μὲν ὑπὸ πνεύματος, τὸ δὲ φλέγματος, τὸ δὲ χολῆς. ὅταν μὲν γὰρ ὁ τῶν πνευμάτων τῷ σώματι ταμίας πλεύμων μὴ καθαρὰς παρέχῃ τὰς διεξόδους ὑπὸ ῥευμάτων φραχθείς, ἔνθα μὲν οὐκ ἰόν, ἔνθα δὲ πλέον ἢ τὸ προσῆκον πνεῦμα εἰσιὸν τὰ μὲν οὐ τυγχάνοντα ἀναψυχῆς σήπει, τὰ δὲ τῶν φλεβῶν διαβιαζόμενον καὶ ξυνεπιφορέφον αὐτὰ τήκόν τε τὸ σῶμα εἰς τὸ μέσον αὐτοῦ διάφραγμά τε ἴσχον ἐναπολαμβάνεται, καὶ μυρία δὴ νοσήματα ἐκ τούτων ἀλγεινὰ μετὰ πλήθους ἱδρῶτος ἀπείργασαι. πολλάκις δ' ἐν τῷ σώματι διακριθείσης σαρκὸς πνεῦμα ἐγγενόμενον καὶ ἀδυνατοῦν ἔξω πορευθῆναι τὰς αὐτὰς τοῖς ἐπεισελήλυθόσιν ὠδῖνας παρέσχε, μεγίσας δέ, ὅταν περὶ τὰ νεῦρα καὶ τὰ ταύτῃ φλέβια περιζὰν καὶ ἀνοιδήσαν τούς τε ἐπιτόνους καὶ τὰ ξυ-

tur. unde acriores superioribus morbi nascuntur. extremum vero omnium est, quando medullae natura propter defectum aliquem aut excessum aegrotat. hinc enim omnium vehementissimi et ad mortem periculosissimi morbi proveniunt; tunc enim omnis compago corporis necessario dissipatur. Tertiam post haec morborum speciem tripartito dividimus. alius enim spiritu, alius pituita, alius bile creatur. nam cum spiritus ipsius custos et quasi penuarius, pulmo, distillatione occlusus libera et expedita spiracula nobis non exhibet, et hinc quidem nullus mittitur spiritus, illinc vero plus quam oportet accipitur, tunc quae respiratione et refrigerio carent, marcescunt. quod vero accipitur nimium, per venas traductum eas contorquet liquefacitque corpus eius in medio diaphragma medium scilicet interpositum occupans. hinc morbi admodum molesti multo cum sudore innumerabiles oriuntur. saepe etiam intra corpus discreta et rarefacta carne innascitur spiritus: qui cum foras egredi nequeat, iisdem, quibus et ingressi aliunde spiritus, doloribus afficit. sed ingentibus tunc affligit doloribus, quando nervis proximisque venulis circumfusus haec inflat, et li-

νεχῆ νεῦρα οὕτως εἰς τὸ ἐξόπισθεν κατατείνῃ τούτοις· ἃ δὴ καὶ ἀπ' αὐτοῦ τῆς ξυντονίας τοῦ παθήματος τὰ νοσήματα τέτανοί τε καὶ ὀπισθότονοι προςεῤῥήθησαν. ὧν καὶ τὸ φάρμακον χαλεπόν· πυρετοὶ γὰρ οὖν δὴ τὰ τοιαῦτα ἐγγιγνόμενοι μάλιςα λύουσι. τὸ δὲ λευκὸν φλέγμα διὰ τὸ τῶν πομφολύγων πνεῦμα χαλεπὸν ἀπολη- 85
φθέν, ἔξω δὲ τοῦ σώματος ἀναπνοὰς ἴσχον ἠπιώτερον μέν, καταποικίλλει δὲ τὸ σῶμα λεύκας ἀλφούς τε καὶ τὰ τούτων ξυγγενῆ νοσήματα ἀποτίκτον. μετὰ χο-
10 λῆς δὲ μελαίνης κερασθὲν ἐπὶ τὰς περιόδους τε τὰς ἐν τῇ κεφαλῇ θειοτάτας οὔσας ἐπισκεδαννύμενον καὶ ξυνταράττον αὐτάς, καθ' ὕπνον μὲν ἰὸν πραότερον, ἐγρηγορόσι δὲ ἐπιτιθέμενον δυςαπαλλακτότερον· νόσημα δὲ ἱερᾶς ὂν φύσεως ἐνδικώτατα ἱερὸν λέγεται. φλέγμα δὲ ὀξὺ καὶ ἁλμυρὸν πηγὴ πάντων νοσημάτων ὅσα γίγνεται καταῤῥοϊκά· διὰ δὲ τοὺς τόπους εἰς οὓς ῥεῖ παντοδαποὺς ὄντας παντοῖα ὀνόματα εἴληφεν. ὅσα δὲ φλεγμαίνειν λέγεται τοῦ σώματος, ἀπὸ τοῦ κάεσθαί τε καὶ φλέγεσθαι διὰ χολὴν γέγονε πάντα. λαμβάνουσα
20 μὲν οὖν ἀναπνοὴν ἔξω παντοῖ' ἀναπέμπει φύματα ζέουσα, καθειργνυμένη δ' ἐντὸς πυρίκαυτα νοσήματα πολλὰ ἐμποιεῖ, μέγιςον δέ, ὅταν αἵματι καθαρῷ ξυγ-

gamenta continuosque nervos a tergo intendit atque detorquet. qui sane morbi ab ipsa intendente et inflante passione tensiones et a tergo contortiones cognominantur: quorum difficile remedium est. subortae enim febres hos maxime solvunt. alba vera pituita propter ampullarum spiritum intus inclusa difficilis, ad exteriorem cutem delapsa mitior: sed corpus variis sordibus aspergit, albisque inficit maculis, atque morbos alios eiusmodi generat. atrae vero bili permixta, cum divissimos capitis meatus illabitur, dissipare eos solet atque turbare. si dormientibus id contingat, mitior: sin vigilantibus, expulsu difficilior. cum vero sacrae naturae languor iste sit, haud ab re sacer morbus est appellatus. proinde pituita acida atque item salsa languorum omnium, qui distillatione fiunt, origo est. quoniam vero plurima loca illabitur, malas gignit valetudines plurimas. quaecunque autem partes corporis tumescere dicuntur, a bilis incendio et combustione vexantur: quae cum exspirat extrinsecus, varios aestu suo tumores producit; intrinsecus vero cohibita urentes edacesque morbos plurimos procreat. tunc autem pessima est, quando puro sanguini mixta villo-

κερασθεῖσα τὸ τῶν ἰνῶν γένος ἐκ τῆς ἑαυτῶν διαφορᾶς τάξεως, αἳ διεσπάρησαν μὲν εἰς αἷμα, ἵνα συμμέτρως λεπτότητος ἴσχοι καὶ πάχους καὶ μήτε διὰ θερμότητα ὡς ὑγρὸν ἐκ μανοῦ τοῦ σώματος ἐκρέοι, μήτ' αὖ πυκνώτερον δυσκίνητον ὂν μόγις ἀναχρέφοιτο ἐν ταῖς φλεψί. καιρὸν δὴ τούτων ἵνες τῇ τῆς φύσεως γενέσει φυλάττουσιν· ὅς ὅταν τις καὶ τεθνεῶτος αἵματος ἐν ψύξει τε ὄντος πρὸς ἀλλήλας ξυναγάγῃ, διαχεῖται πᾶν τὸ λοιπὸν αἷμα; ἐκθεῖσαι δὲ ταχὺ μετὰ τοῦ περιεχῶντος αὐτὸ ψύχους ξυμπήγνυσι. ταύτην δὴ τὴν δύνα- 10
μιν ἔχουσῶν ἰνῶν ἐν αἵματι χολῇ φύσει παλαιὸν αἷμα γεγονυῖα καὶ πάλιν ἐκ τῶν σαρκῶν ἐς τοῦτο τετηκυῖα, θερμῇ καὶ ὑγρὰ κατ' ὀλίγον τὸ πρῶτον ἐμπίπτουσα πήγνυται διὰ τὴν τῶν ἰνῶν δύναμιν, πηγνυμένη δὲ καὶ βίᾳ κατασβεννυμένη χειμῶνα καὶ τρόμον ἐντὸς παρέχει. πλείων δ' ἐπιῤῥέουσα, τῇ παρ' αὐτῆς θερμότητι κρατήσασα τὰς ἶνας εἰς ἀταξίαν ζέουσα διέσεισε, καὶ ἐὰν μὲν ἱκανὴ διὰ τέλους κρατῆσαι γένηται, πρὸς τὸ τοῦ μυελοῦ διαπεράσασα γένος κάουσα ἔλυσε τὰ τῆς ψυχῆς αὐτόθεν οἷον νεὼς πείσματα μεθῆκέ τε 20
ἐλευθέραν, ὅταν δ' ἐλάττων ᾖ τό τε σῶμα ἀντίσχῃ τη-

rum ligaminumque fila suo ex ordine dimovet. quae ideo in sanguinem diductae et sparsae sunt, ut mediocrem tenuitatis et crassitudinis habitum consequatur; neque propter caliditatem, cum ipse sit lubricus, raro ex corpore delluat, neque, si crassior sit, ad motum fiat ineptior atque aegre per venas fluat et refluat. ad hanc utique naturae commoditatem huiusmodi peroportuna sunt ligamenta: quae si quis, etiam mortuo et ob frigus rigente sanguine, invicem conducat et contrahat, reliquus sanguis omnis diffunditur. cum vero missae fuerint, illico cum praecedente frigore restringuntur. quoniam vero hanc vim villi huiusmodi in sanguinem habent, cum bilis natura sanguis vetus evaserit, ac rursus ex carnibus in hunc fuerit resoluta, calida et humida paulatim primum incidens villorum illorum vi compressa restringitur, compressa vero exstinctaque violenter procellam intus tremoremque ciet. ceterum quando uberior affluit, calore proprio ligamenta exsuperans praeterque modum exaestuans, servat quidem; ac, si continue ad finem usque idonea victoriae sit, penetrat in medullas, adustisque radicibus [illegible]e animae vincula, quasi navis funes, resolvit et amputat, liber[illegible]que dimittit, sed cum inferior adest

κόμενον, αὐτὴ κρατηθεῖσα ἢ κατὰ πᾶν τὸ σῶμα ἐξέπεσεν, ἢ διὰ τῶν φλεβῶν εἰς τὴν κάτω ξυνωσθεῖσα ἢ τὴν ἄνω κοιλίαν, οἷον φυγὰς ἐκ πόλεως στασιάσης ἐκ τοῦ σώματος ἐκπίπτουσα, διαῤῥοίας καὶ δυσεντερίας καὶ τὰ τοιαῦτα νοσήματα πάντα παρέσχετο. τὸ μὲν οὖν ἐκ πυρὸς ὑπερβολῆς μάλιστα νοσῆσαν σῶμα ξυνεχῆ καύματα καὶ πυρετοὺς ἀπεργάζεται, τὸ δ' ἐξ ἀέρος ἀμφημερινούς, τριταίους δ' ὕδατος δὲ τὸ νωθέστερον ἀέρος καὶ πυρὸς αὐτὸ εἶναι· τὸ δὲ γῆς, τετάρτως ὂν νωθέστατον τούτων, ἐν τετραπλασίαις περιόδοις χρόνου καθαιρόμενον, τεταρταίους πυρετοὺς ποιῆσαν ἀπαλλάττεται μόγις.

Καὶ τὰ μὲν περὶ τὸ σῶμα νοσήματα ταύτῃ ξυμβαίνει γιγνόμενα, τὰ δὲ περὶ ψυχὴν διὰ σώματος ἔχιν τῇδε. νόσον μὲν δὴ ψυχῆς ἄνοιαν ξυγχωρητέον, δύο δ' ἀνοίας γένη, τὸ μὲν μανίαν, τὸ δ' ἀμαθίαν. πᾶν οὖν ὅ τι πάσχων τις πάθος ὑπότερον αὐτῶν ἴσχει, νόσον προσρητέον. ἡδονὰς δὲ καὶ λύπας ὑπερβαλλούσας τῶν νόσων μεγίστας ὑστέον τῇ ψυχῇ· περιχαρὴς γὰρ ἄνθρωπος ὢν ἢ καὶ ταναντία ὑπὸ λύπης πάσχων, σπεύδων τὸ μὲν ἕλειν ἀκαίρως, τὸ δὲ φυγεῖν, οὔτε

corpusque liquescens ei resistit, ipsa devincta aut per totum corpus excidit aut per venas in ventrem inferiorem superioremve compulsa, tanquam transfuga ex seditiosa civitate, sic effugit e corpore, morbosque eos inducit, quos diarrhoeas vocant et dysenterias, id est fluxus ventris lubricos fluxusque mordaces, nec non multas generis eiusdem alias molestias infert. quando igitur corpus ignis potissimum excessu languet, continua febre laborat: quando vero aëris, quotidiana discreta: aquae, tertiana, propterea quod aqua segnior est quam ignis et aër. terrae demum excessu, quartana, terra siquidem omnium tardissima quarto gradu cum sit, temporis circuitu quarto fervet defervetque: hinc quartanas invehit febres, quae vix seroque sanantur. Atque hoc quidem pacto corporis morbi contingunt. animae vero morbi propter corporis habitum ita nascuntur. morbum animae dementiam esse censemus. eius genera duo ponimus, insaniam et imperitiam. quaecunque igitur passio alterutrum istorum infert, animi aegritudo est nuncupanda. iccirco voluptates doloresque admodum vehementes morborum animae omnium gravissimi iudicandi. quisquis enim vel nimia gestit laetitia vel nimio dolore deprimitur, dum illam avidius importunius-

ὁρᾶν οὔτε ἀκούειν ὀρθὸν οὐδὲν δύναται, λυττᾷ δὲ καὶ λογισμοῦ μετασχεῖν ἥκιστα τότε δὴ δυνατός. τὸ δὲ σπέρμα ὅτῳ πολὺ καὶ ῥυῶδες περὶ τὸν μυελὸν γίγνεται, καὶ καθαπερεὶ δένδρον πολυκαρπότερον τοῦ ξυμμέτρου πεφυκὸς ᾖ, πολλὰς μὲν καθ' ἕκαστον ὠδῖνας; πολλὰς δ' ἡδονὰς κτώμενος ἐν ταῖς ἐπιθυμίαις καὶ τοῖς περὶ τὰ τοιαῦτα τόκοις, ἐμμανὴς τὸ πλεῖστον γιγνόμενος τοῦ βίου διὰ τὰς μεγίστας ἡδονὰς καὶ λύπας, νοσοῦσαν καὶ ἄφρονα ἴσχων ὑπὸ τοῦ σώματος τὴν ψυχήν, οὐχ ὡς νοσῶν ἀλλ' ὡς ἑκὼν κακὸς κακῶς δοξάζεται. τὸ δὲ ἀληθές, ἡ περὶ τὰ ἀφροδίσια ἀκολασία κατὰ τὸ πολὺ μέρος διὰ τὴν ἑνὸς γένους ἕξιν ὑπὸ μανίας τος ὀζῶν ἐν σώματι ῥυώδη καὶ ὑγραίνουσαν νόσος ψυχῆς γέγονε. καὶ σχεδὸν δὴ πάντα ὁπόσα ἡδονῶν ἀκρασία καὶ ὄνειδος ὡς ἑκόντων λέγεται τῶν κακῶν, οὐκ ὀρθῶς ὀνειδίζεται· κακὸς μὲν γὰρ ἑκὼν οὐδείς, διὰ δὲ πονηρὰν ἕξιν τινὰ τοῦ σώματος καὶ ἀπαίδευτον τροφὴν ὁ κακὸς γίγνεται κακός, παντὶ δὲ ταῦτα ἐχθρὰ καὶ κακόν τι προσγίγνεται. καὶ πάλιν δὴ τὸ περὶ τὰς λύπας ἡ ψυχὴ κατὰ ταὐτὰ διὰ σῶμα πολλὴν ἴσχει κα-

que asciscere, hunc vitare obnixe conatur, neque cernere neque audire recte quicquam potest, sed rabie furit, et in eo habitu constitutus minime rationis est compos. qui vero plurimo fluidoque circa medullam abundat semine, atque ut arbor pluribus quam conveniat fructibus gravida nimia ubertate luxuriat, is profecto multis passim doloribus, multis item voluptatibus in libidinibus ipsis earumque foetibus fructibusque affectus, per omnem ferme vitam ob ingentes voluptates doloresque insanit ac furit: cumque huius animus propter corpus aeger sit atque insipiens, vulgo tamen non aeger, sed pro voluntate sua, ut libet, affectus falso putatur. veritas autem sic habet. nempe venereorum intemperantia maxima ex parte propter generis unius habitum, per ossium raritatem in corpore lubricum madidumque, animi infirmitas est. ac ferme omnis voluptatum incontinentia, quae, perinde ac si sponte improbi simus, vituperari solet, non recte ita vituperatur. nemo enim sponte malus, sed propter pravum quendam corporis habitum rudemque educationem malus omnis fit malus. omnibus autem adversa inimicaque ista sunt, et mala noxiaque contingunt. rursus dolore afflictus animus similiter propter corpus

πίαν. ὅπου γὰρ ἂν οἱ τῶν ὀξέων καὶ τῶν ἁλυκῶν φλεγμάτων καὶ ὅσοι πικροὶ καὶ χολώδεις χυμοὶ κατὰ τὸ σῶμα πλανηθέντες ἔξω μὲν μὴ λάβωσιν ἀναπνοήν, ἐντὸς δὲ εἱλλόμενοι τὴν ἀφ' αὑτῶν ἀτμίδα τῇ τῆς ψυ- 87
χῆς φορᾷ ξυμμίξαντες ἀνακερασθῶσι, παντοδαπὰ νοσήματα ψυχῆς ἐμποιοῦσι, μᾶλλον καὶ ἧττον, καὶ ἐλάττω καὶ πλείω· πρός τε τοὺς τρεῖς τόπους ἐνεχθέντα τῆς ψυχῆς, πρὸς ὃν ἂν ἕκας' αὐτῶν προσπίπτῃ, ποικίλλει μὲν εἴδη δυσκολίας καὶ δυσθυμίας παντοδαπά, ποικίλλει δὲ θρασύτητός τε καὶ δειλίας, ἔτι δὲ λήθης ἅμα καὶ δυσμαθίας. πρὸς δὲ τούτοις, ὅταν οὕτω κακῶς παγέντων πολιτεῖαι κακαὶ καὶ λόγοι κατὰ πόλεις ἰδίᾳ καὶ δημοσίᾳ λεχθῶσιν, ἔτι δὲ μαθήματα μηδαμῇ τούτων ἰατικὰ ἐκ νέων μανθάνηται, ταύτῃ κακοὶ πάντες οἱ κακοὶ διὰ δύο ἀκουσιώτατα γιγνόμεθα. ὧν αἰτιατέον μὲν τοὺς φυτεύοντας ἀεὶ τῶν φυτευομένων μᾶλλον καὶ τοὺς τρέφοντας τῶν τρεφομένων, προθυμητέον μήν, ὅπῃ τις δύναται, καὶ διὰ τροφῆς καὶ δι' ἐπιτηδευμάτων μαθημάτων τε φυγεῖν μὲν κακίαν, τοὐναντίον δὲ ἑλεῖν. ταῦτα μὲν οὖν δὴ τρόπος ἄλλος λόγων.

Τὸ δὲ τούτων ἀντίστροφον αὖ, τὸ περὶ τὰς τῶν

in pravitatem plurimam incidit. acris enim et infesta pituita, amari item felleique humores, quando oberrantes per corpus non exhalant, sed per viscera revoluti vaporem suum penetralibus animae ipsius infundunt, languores animae varios, et magis et minus, tum plures tum pauciores efficiunt. perferuntur sane ad tres animae sedes humores vaporesque huiusmodi, ac pro loci diversitate unusquisque varias species generat difficultatis atque molestiae, audaciae rursus timiditatisque, oblivionis praeterea atque hebetudinis. saepe etiam ad pravum hunc corporaturae et affectionis habitum accedunt mores civitatis iniqui sermonesque et privati et publici non parum animo noxii; nec ullae doctrinae ad tantorum malorum remedia a tenera aetate discuntur. atque ita, quicunque nostrum pravi sunt, duabus ex causis, praeter voluntatem, maxime contingentibus, pravi fiunt. huiusmodi quidem malorum causae serentibus potius quam satis, educantibus quam educatis, attribuendae. conandum tamen pro viribus, educationis, studiorum, doctrinarum diligentia improbitatem reiicere, assequi probitatem. sed horum quidem tractatio alio constat disserendi modo. Nunc iam converso, quo cultu quibusve causis corporis animique.

σωμάτων καὶ διανοήσεων θεραπείας, αἷς αἰτίαις σώζεται, πάλιν εἰκὸς καὶ πρέπον ἀνταποδοῦναι· δικαιότερον γὰρ τῶν ἀγαθῶν πέρι μᾶλλον ἢ τῶν κακῶν ἴσχειν λόγον. πᾶν δὴ τὸ ἀγαθὸν καλόν, τὸ δὲ καλὸν οὐκ ἄμετρον· καὶ ζῶον οὖν τὸ τοιοῦτον ἐσόμενον ξύμμετρον θετέον. ξυμμετριῶν δὲ τὰ μὲν σμικρὰ διαισθανόμενοι ξυλλογιζόμεθα, τὰ δὲ κυριώτατα καὶ μέγιστα ἀλογίστως ἔχομεν. πρὸς γὰρ ὑγιείας καὶ νόσους ἀρετάς τε καὶ κακίας οὐδεμία ξυμμετρία καὶ ἀμετρία μείζων ἢ ψυχῆς αὐτῆς πρὸς σῶμα αὐτό· ὧν οὐδὲν σκοποῦμεν, οὐδ' ἐννοοῦμεν ὅτι ψυχὴν ἰσχυρὰν καὶ πάντῃ μεγάλην ἀσθενέστερον καὶ ἔλαττον εἶδος ὅταν ὀχῇ, καὶ ὅταν αὖ τοὐναντίον ξυμπαγῆτον τούτω, οὐ καλὸν ὅλον τὸ ζῶον — ἀξύμμετρον γὰρ ταῖς μεγίσαις ξυμμετρίαις —, τὸ δ' ἐναντίως ἔχον πάντων θεαμάτων τῷ δυναμένῳ καθορᾶν κάλλιστον καὶ ἐρασμιώτατον. οἷον οὖν ὑπερσκελὲς ἢ καί τινα ἑτέραν ὑπέρεξιν ἄμετρον ἑαυτῷ τι σῶμα ὂν ἅμα μὲν αἰσχρόν, ἅμα δ' ἐν τῇ κοινωνίᾳ τῶν πόνων πολλοὺς μὲν κόπους, πολλὰ δὲ σπάσματα καὶ διὰ τὴν παραφορότητα πτώματα παρέχον μυρίων κακῶν αἴτιον ἑαυτῷ, ταὐτὸν δὴ διανοητέον καὶ περὶ

salutem adipiscamur, decet exponere. iustius enim est de bonis quam de malis verba facere. omne bonum pulchrum: pulchrum vero sine mensura et moderatione esse non potest. ideoque animal, quod tale futurum est, convenienti mensura moderatum esse oportet. ex eorum autem numero, quae commensurata moderataque dicuntur, exigua quaedam persentimus et iudicamus, praecipua vero et maxima ignoramus. porro ad bonam et malam valetudinem, ad virtutes et vitia, nulla moderatio vel immoderatio maioris momenti, quam animae ad ipsum corpus, esse videtur. horum nihil consideramus, neque animadvertimus quod, quando robustam magnamque animam imbecillior inferiorque vehit species vel quando contra ista iunguntur, totum ipsum animal pulchrum esse non potest. maxima enim mensura et moderatione caret. quod autem contra affectum est, spectaculorum omnium ei, qui id valeat intueri, pulcherrimum amabilissimumque apparet. corpus quidem, quod grandioribus vel inaequalibus cruribus, aut quovisalio modum excedente membro secum ipso dissentit, et deforme est et in ferendis laboribus contorquetur, vacillat, lassatur et concidit, innumerabiliumque malorum sibi causam praebet. idem

τοῦ ξυναμφοτέρου, ζῷον ὃ καλοῦμεν, ὡς ὅταν τε ἐν αὐτῷ ψυχὴ κρείττων οὖσα σώματος περιθύμως ἴσχῃ, διασείουσα πᾶν αὐτὸ ἔνδοθεν νόσων ἐμπίπλησι, καὶ 85
ὅταν εἴς τινας μαθήσεις καὶ ζητήσεις εὐτόνως ἴῃ, κατατήκει, διδαχάς τ' αὖ καὶ μάχας ἐν λόγοις ποιουμένη δημοσίᾳ καὶ ἰδίᾳ δι' ἐρίδων καὶ φιλονεικίας γιγνομένων διάπυρον αὐτὸ ποιοῦσα λύει, καὶ ῥεύματα ἐπάγουσα, τῶν λεγομένων ἰατρῶν ἀπατῶσα τοὺς πλείστους, τἀναντία αἰτιᾶσθαι ποιεῖ· σῶμά τε ὅταν αὖ μέγα καὶ
10 ὑπέρψυχον σμικρᾷ ξυμφυὲς ἀσθενεῖ τε διανοίᾳ γένηται, δεττῶν ἐπιθυμιῶν οὐσῶν φύσει κατ' ἀνθρώπους, διὰ σῶμα μὲν τροφῆς, διὰ δὲ τὸ θειότατον τῶν ἐν ἡμῖν φρονήσεως, αἱ τοῦ κρείττονος κινήσεις κρατοῦσαι καὶ τὸ μὲν σφέτερον αὔξουσαι, τὸ δὲ τῆς ψυχῆς πωφὸν καὶ δυσμαθὲς ἀμνῆμόν τε ποιοῦσαι τὴν μεγίστην νόσον ἀμαθίαν ἐναπεργάζονται. μία δὴ σωτηρία πρὸς ἄμφω, μήτε τὴν ψυχὴν ἄνευ σώματος κινεῖν μήτε σῶμα ἄνευ ψυχῆς, ἵνα ἀμυνομένω γίγνησθον ἰσορρόπω καὶ ὑγιῆ. τὸν δὴ μαθηματικὸν ἤ τινα ἄλλην σφόδρα

queque iudicandum de eo ex anima et corpore composito, quod animal appellamus. quando enim anima corpore admodum potentior est, exsultat in eo atque effertur, et totum ipsum intrinsecus quatiens langoribus implet. quando etiam ad discendum investigandumque collectis in unum viribus vehementer incumbit, liquefacit protinus corpus et labefactat. denique cum ad docendum disserendumque privatim et publice ambitiosa quadam concertatione contendit, inflammat corpus atque resolvit. nonnunquam etiam destillationes fluxusque commovens, medicorum plurimos decipit, cogitque illos contrarias causas iudicare. rursus quando corpus grande et pigriori mole superexcedens pusillae exilique cogitationi animi copulatur, cum geminae sint in homine secundum naturam cupiditates, una quidem per corpus alimentorum, altera vero per id, quod divinissimum nobis inest, prudentiae: tunc sane potentioris illius praevalentes agitationes quod suum est adaugent; quod vero animi, hebes, indocile, obliviosum reddunt, atque ita infirmitatem maximam, videlicet imperitiam, generant. una demum est ad utrumque salus et conservatio, ut neque animam sine corpore neque corpus absque anima moveamus, ut in mutua contentione exaequatis invicem viribus insurgentia bonam totius valetudinem tueantur. quapropter quicunque mathematicis

μελέτην διανοίᾳ κατεργαζόμενον καὶ τὴν τοῦ σώματος ἀποδοτέον κίνησιν, γυμναστικῇ προσομιλοῦντα, τόν τε αὖ σῶμα ἐπιμελῶς πλάττοντα τὰς τῆς ψυχῆς ἀποδοτέον κινήσεις, μουσικῇ καὶ πάσῃ φιλοσοφίᾳ προσχρώμενον, εἰ μέλλει δικαίως τις ἅμα μὲν καλός, ἅμα δὲ ἀγαθὸς ὀρθῶς κεκλήσεσθαι. Κατὰ δὲ ταὐτὰ ταῦτα καὶ τὰ μέρη θεραπευτέον, τὸ τοῦ παντὸς ἀπομιμούμενον εἶδος. τοῦ γὰρ σώματος ὑπὸ τῶν εἰσιόντων καὶ ὄντος τε ἐντὸς καὶ ψυχομένου, καὶ πάλιν ὑπὸ τῶν ἔξωθεν ξηραινομένου καὶ ὑγραινομένου καὶ τὰ τούτοις ἀκόλουθα πάσχοντος ὑπ' ἀμφοτέρων τῶν κινήσεων, ὅταν μέν τις ἡσυχίαν ἄγον τὸ σῶμα παραδιδῷ ταῖς κινήσεσι, κρατηθὲν διώλετο, ἐὰν δὲ ἣν τροφὸν καὶ τιθήνην τοῦ παντὸς προσείπομεν μιμήται τις, καὶ τὸ σῶμα μάλιστα μὲν μηδέποτε ἡσυχίαν ἄγειν ἐᾷ, κινῇ δὲ καὶ σεισμοὺς ἀεί τινας ἐμποιῶν αὐτῷ διὰ παντὸς τὰς ἐντὸς καὶ ἐκτὸς ἀμύνηται κατὰ φύσιν κινήσεις, καὶ μετρίως σείων τά τε περὶ τὸ σῶμα πλανώμενα παθήματα καὶ μέρη κατὰ ξυγγενείας εἰς τάξιν καταχοσμῇ πρὸς ἄλληλα, κατὰ τὸν πρόσθεν λόγον ὃν περὶ τοῦ παντὸς ἐλέγομεν, οὐκ ἐχθρὸν παρ' ἐχθρὸν

doctrinis operam dat, aut cuivis mentis indagationi vehementius studet, debet etiam motum corporis adhibere et in gymnastica exercitatione versari. ac rursus qui summa corpus diligentia firmat et roborat, animae quoque vicissim motus adiungere, musica et omnibus philosophiae studiis usus, si modo quis iure bonus simul et pulcher sit appellandus. Similiter quoque partes curare debemus, totius speciem imitati. cum enim corpus ab ingredientibus incendatur intus frigidumve fiat, et iterum ab externis aridum madidumve reddatur, et, quae deinceps ista sequuntur, perpetiatur, quando quis otium agens corpus motionibus his committit, superatum ab his dissolvitur. at si quis in curando corpore illam imitetur naturam, quam altricem universi vocavimus, ita ut nunquam torpere permittat, sed moveat semper, iugique agitatione internis externisque motibus secundum naturam ubique resistat, et moderata quadam commotione orberrantes passiones corporis partesque, cognationis ratione servata, vicissim in ordinem redigat et exornet, secundum sermonem illum superiorem, quem de universo habuimus, nequaquam sinet inimicum inimico admotum proelia in

τιθέμενον ἐάσει πολέμους ἐντίκτειν τῷ σώματι καὶ νόσους, ἀλλὰ φίλον παρὰ φίλον τιθὲν ὑγίειαν ἀπεργαζόμενον παρέξει. τῶν δ' αὖ κινήσεων ἡ ἐν ἑαυτῷ ὑφ' ἑαυτοῦ ἀρίστη κίνησις — μάλιστα γὰρ τῇ διανοητικῇ καὶ 89
τῇ τοῦ παντὸς κινήσει ξυγγενής —, ἡ δὲ ὑπ' ἄλλου χείρων· χειρίστη δὲ ἡ κειμένου τοῦ σώματος καὶ ἄγοντος ἡσυχίαν δι' ἑτέρων αὐτὸ κατὰ μέρη κινοῦσα. διὸ δὴ τῶν καθάρσεων καὶ ξυσάσεων τοῦ σώματος ἡ μὲν διὰ τῶν γυμνασίων ἀρίστη, δευτέρα δὲ ἡ διὰ τῶν αἰωρήσεων κατά τε τοὺς πλοῦς καὶ ὅπῃ περ ἂν ὀχήσεις ἄκοποι γίγνωνται· τρίτον δὲ εἶδος κινήσεως σφόδρα ποτὲ ἀναγκαζομένῳ χρήσιμον, ἄλλως δὲ οὐδαμῶς τῷ νοῦν ἔχοντι προσδεκτέον, τὸ τῆς φαρμακευτικῆς καθάρσεως γιγνόμενον ἰατρικόν. τὰ γὰρ νοσήματα ὅσα μὴ μεγάλους ἔχει κινδύνους, οὐκ ἐρεθιστέον φαρμακείαις. πᾶσα γὰρ ξύσασις νόσων τρόπον τινὰ τῇ τῶν ζώων φύσει προσέοικε. καὶ γὰρ ἡ τούτων ξύνοδος ἔχουσα τεταγμένους τοῦ βίου γίγνεται χρόνους τοῦ τε γένους ξύμπαντος, καὶ καθ' αὑτὸ τὸ ζῶον εἱμαρμένον
ἕκαστον ἔχον τὸν βίον φύεται, χωρὶς τῶν ἐξ ἀνάγκης παθημάτων· τὰ γὰρ τρίγωνα εὐθὺς κατ' ἀρχὰς ἑκάστου

corpore morbosque ciere, sed efficiet potius, ut amicum adhaerens amico sanitatem corporis tueatur. omnium vero motuum optimus ille est, qui in semet ex se ipso fit: nam et mentis et totius ipsius motioni cognatissimus est: qui vero ab alio fit, deterior. deterrimus autem motus, quando iacens et quietem agens corpus ab aliis secundum partes movetur. quapropter purgationum constitutionumque omnium corporis, quae exercitatione gymnastica fit, saluberrima est. proxime ad hanc accedit vectio facilis, sive navi seu quovis alio vehiculo peragatur. tertia commotionis species tunc demum, cum summa cogit necessitas, utilis, aliter vero nullo modo sanae mentis homini suscipienda. medicorum illa purgatio est, quae pharmacis, id est solutivis medelis, fieri solet. morbi enim nisi periculosissimi sint, pharmacis irritandi non sunt. omnis namque morborum constituio animalium naturae quodammodo similis est. sane animalium compositio ab ipso generationis exordio certis temporum curriculis terminatur: idque et genus universum patitur, et animal unumquodque ab ortu fatale vivendi spatium in se ipso, exceptis necessariis passionibus, continet. eteenim trianguli ab ipso initio singulorum vim possidentes, usque

δύναμιν ἔχοντα ξυνίσταται μέχρι τινὸς χρόνου δυνατὰ ἐξαρκεῖν, οὗ βίον οὐκ ἄν ποτέ τις εἰς τὸ πέραν ἔτι βιώη. τρόπος οὖν ὁ αὐτὸς καὶ τῆς περὶ τὰ νοσήματα ξυσάσεως· ἣν ὅταν τις παρὰ τὴν εἱμαρμένην τοῦ χρόνου φθείρῃ φαρμακείαις, ἅμα ἐκ σμικρῶν μεγάλα καὶ πολλὰ ἐξ ὀλίγων νοσήματα φιλεῖ γίγνεσθαι. διὸ παιδαγωγεῖν δεῖ διαίταις πάντα τὰ τοιαῦτα, καθ' ὅσον ἄν ᾖ τῳ σχολή, ἀλλ' οὐ φαρμακεύοντα κακὸν δύσκολον ἐρεθιζέον. Καὶ περὶ μὲν τοῦ κοινοῦ ζώου καὶ τοῦ κατὰ τὸ σῶμα αὐτοῦ μέρους, ᾗ τις ἂν καὶ διαπαιδαγωγῶν καὶ διαπαιδαγωγούμενος ὑφ' αὑτοῦ μάλιστ' ἂν κατὰ λόγον ζώῃ, ταύτῃ λελέχθω. τὸ δὲ δὴ παιδαγωγῆσον αὐτὸ μᾶλλόν που καὶ πρότερον παρασκευαστέον εἰς δύναμιν ὅτι κάλλιστον καὶ ἄριστον εἰς τὴν παιδαγωγίαν εἶναι. δι' ἀκριβείας μὲν οὖν περὶ τούτων διελθεῖν ἱκανὸν ἂν γένοιτο αὐτὸ καθ' αὑτὸ μόνον ἔργον· τὸ δ' ἐν παρέργῳ κατὰ τὰ πρόσθεν ἑπόμενος ἄν τις οὐκ ἄπο τρόπου τῇδε σκοπῶν ὧδε τῷ λόγῳ διαπεράναιτ' ἄν. καθά περ εἴπομεν πολλάκις ὅτι τρία τριχῇ ψυχῆς ἐν ἡμῖν εἴδη κατῴκισται, τυγχάνει δ' ἕκαστον κινήσεις ἔχον, οὕτω κατὰ ταὐτὰ καὶ νῦν ὡς διὰ βραχυτάτων ῥητέον ὅτι τὸ μὲν

ad certum tempus sufficienter ad usum vitae cohaerent: ultra id vita nemini prorogatur. idem quoque constitutionis modus langoribus convenit, quos si quis citra fatalem temporis cursum pharmacis amputare contenderit, ex parvis ingentes, ex paucis multi evadere consueverunt. quapropter diligentia victus corrigendi et gubernandi sunt morbi, prout cuique datur otium: neque difficile infestumque malum pharmacis instigandum, ac de communi quidem animali et parte illius corporea, qua diligentia regenda et gubernanda sint, ut ratio vivendi servetur, satis sit dictum. ipsum vero, quod gubernaturum est, multo magis ac prius ita pro viribus instruendum est, ut quam optime atque pulcherrime ad regendum sit praeparatum. exacta quidem huius rei discussio propriam sibi et integram disputationem exigeret; quantum vero forte ad id, quo de agimus, attinet, si quis per superiorum vestigia gradiatur, non absurde sic maxime procedendo ad commodum istorum finem perveniet. saepe in superioribus diximus tres esse animae species in nobis trifariam distributas, singulasque suos motus habere, ita tunc paucis concludamus, quaecunque illarum torpet et a suis

αὐτῶν ἐν ἀργίᾳ διάγον καὶ τῶν ἑαυτοῦ κινήσεων ἡσυχίαν ἄγον ἀσθενέστατον ἀνάγκη γίγνεσθαι, τὸ δ' ἐν γυμνασίοις ἐρρωμενέστατον· διὸ φυλακτέον ὅπως ἂν ἔχωσι τὰς κινήσεις πρὸς ἄλληλα συμμέτρους. τὸ δὲ δὴ περὶ τοῦ κυριωτάτου παρ' ἡμῖν ψυχῆς εἴδους διανοεῖσθαι δεῖ τῇδε, ὡς ἄρα αὐτὸ δαίμονα θεὸς ἑκάστῳ δέδωκε, τοῦτο ὃ δή φαμεν οἰκεῖν μὲν ἡμῶν ἐπ' ἄκρῳ τῷ σώματι, πρὸς δὲ τὴν ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν ὡς ὄντας φυτὸν οὐκ ἔγγειον ἀλλ' οὐράνιον, ὀρθότατα λέγοντες· ἐκεῖθεν γὰρ ὅθεν ἡ πρώτη τῆς ψυχῆς γένεσις ἔφυ, τὸ θεῖον τὴν κεφαλὴν καὶ ῥίζαν ἡμῶν ἀνακρεμαννὺν ὀρθοῖ πᾶν τὸ σῶμα. τῷ μὲν οὖν περὶ τὰς ἐπιθυμίας ἢ φιλονεικίας τετευτακότι καὶ ταῦτα διαπονοῦντι σφόδρα πάντα τὰ δόγματα ἀνάγκη θνητὰ ἐγγεγονέναι, καὶ παντάπασι καθ' ὅσον μάλιστα δυνατὸν θνητῷ γίγνεσθαι, τούτου μηδὲ σμικρὸν ἐλλείπειν, ἅτε τὸ τοιοῦτον ηὐξηκότι· τῷ δὲ περὶ φιλομάθειαν καὶ περὶ τὰς τῆς ἀληθείας φρονήσεις ἐσπουδακότι καὶ ταῦτα μάλιστα τῶν αὐτοῦ γεγυμνασμένῳ φρονεῖν μὲν ἀθάνατα καὶ θεῖα, ἄν περ ἀληθείας ἐφάπτηται, πᾶσα ἀνάγκη που, καθ' ὅσον δ' αὖ μετασχεῖν

motibus otium agit, imbecillisimam necessario reddi; quae vero agit assidue, robustissimam. quapropter danda est opera, ut species singulae motus suos inter se moderatos convenienti tenore conservent. de praestantissima igitur animae nostrae specie ita est sentiendum: nempe hanc Deus, ut daemonem nostrum, cuique tribuit: hanc in summa corporis arce sedem habere dicimus, atque ad coeli cognationem a terra nos tollere, tanquam animalia coelesti potius quam terreno semine nata. quod quidem recte admodum dicitur, unde enim primus animae datus est ortus, inde divina vis caput radicemque et originem nostram pendentem suspendens, totum dirigit corpus. in eo igitur, qui concupiscentiae et ambitiosae iracundiae affectibus explendis incumbit, necesse est opiniones omnes mortales fieri, atque eum, quam maxime fieri potest, mortalem prorsus evadere, cum mortalem naturam pro viribus auxerit: at eum, qui totus discendae veritatis cupiditate flagraverit, atque omnem eius operam praecipue in hoc uno impenderit, necesse est omnino, si quidem veritatem attingat, immortalia et divina comprehendere; et quatenus humana natura im-

ἀνθρωπίνη φύσις ἀθανασίας ἐνδέχεται, τούτου μηδὲν μέρος ἀπολείπειν, ἅτε δὲ ἀεὶ θεραπεύοντα τὸ θεῖον ἔχοντά τε αὐτὸν εὖ μάλα κεκοσμημένον τὸν δαίμονα ξύνοικον ἐν αὑτῷ διαφερόντως εὐδαίμονα εἶναι. θεραπεία δὲ δὴ παντὶ παντὸς μία, τὰς οἰκείας ἑκάστῳ τροφὰς καὶ κινήσεις ἀποδιδόναι. τῷ δ' ἐν ἡμῖν θείῳ ξυγγενεῖς εἰσὶ κινήσεις αἱ τοῦ παντὸς διανοήσεις καὶ περιφοραί. ταύταις δὴ ξυνεπόμενον ἕκαστον δεῖ, τὰς περὶ τὴν γένεσιν ἐν τῇ κεφαλῇ διεφθαρμένας ἡμῶν περιόδους ἐξορθοῦντα διὰ τὸ καταμανθάνειν τὰς τοῦ παντὸς ἁρ- 1(
μονίας τε καὶ περιφοράς, τῷ κατανοουμένῳ τὸ κατανοοῦν ἐξομοιῶσαι κατὰ τὴν ἀρχαίαν φύσιν, ὁμοιώσαντα δὲ τέλος ἔχειν τοῦ προτεθέντος ἀνθρώποις ὑπὸ θεῶν ἀρίστου βίου πρός τε τὸν παρόντα καὶ τὸν ἔπειτα χρόνον.

Καὶ δὴ καὶ τὰ νῦν ἡμῖν ἐξ ἀρχῆς παραγγελθέντα διεξελθεῖν περὶ τοῦ παντὸς μέχρι γενέσεως ἀνθρωπίνης σχεδὸν ἔοικε τέλος ἔχειν. τὰ γὰρ ἄλλα ζῶα ἢ γέγονεν αὖ, διὰ βραχέων ἐπιμνησέον, ὃ μή τις ἀνάγκη μηκύνειν· οὕτω γὰρ ἐμμετρώτερός τις ἂν αὐτῷ δόξειε 2(
περὶ τούς τούτων λόγους εἶναι. τῇδ' οὖν τὸ τοιοῦτον

mortalitatem assequi potest, eatenus hunc penitus immortalem evadere, nulla videlicet immortalitatis parte dimissa; quin etiam cum semper divinum colat, ipsumque familiarem daemonem in se habeat ornatissimum, praecipue beatum fore. cultura autem cuiusque omnino una est, proprium cuique pabulum motumque tribuere. ei vero, quod in nobis divinum est, motus cognati sunt universi ipsius cogitationes atque circuitus. hos itaque secutum unumquemque nostrum oportet discursiones illas nostras in capite, olim a prima generatione corruptas, per ipsam mundanae harmoniae revolutionisque intelligentiam ita corrigere, ut intellectae rei intelligentem vim secundum pristinam naturam similem reddat, per quam similitudinem vitae, a Deo optimae nobis propositae, et in praesenti tempore et in futuro finem adipiscamur. Sed iam disputatio illa de universo usque ad generationem hominum nobis proposita finem paene suum adepta videtur. ceterorum vero animantium generationem, quatenus duntaxat necessitas postulat, paucis perstringemus. sic enim modum in hac disputatione tenere sibi quisque videbitur. verum de his iam ita dicamus. quicunque

ἔξω λεγόμενον. Τῶν γενομένων ἀνδρῶν ὅσοι δειλοὶ καὶ
τὸν βίον ἀδίκως διῆλθον, κατὰ λόγον τὸν εἰκότα γυ-
ναῖκες μετεφύοντο ἐν τῇ δευτέρᾳ γενέσει. καὶ κατ' ἐκεῖ-
νον δὴ τὸν χρόνον διὰ ταῦτα θεοὶ τὸν τῆς ξυνουσίας 91
ἔρωτα ἐτεκτήναντο, ζῷον τὸ μὲν ἐν ἡμῖν, τὸ δ' ἐν
ταῖς γυναιξὶ συστήσαντες ἔμψυχον, τοιῷδε τρόπῳ ποι-
ήσαντες ἑκάτερον. τὴν τοῦ ποτοῦ διέξοδον, ᾗ διὰ τοῦ
πλεύμονος τὸ πῶμα ὑπὸ τοὺς νεφροὺς εἰς τὴν κύστιν
ἐλθὸν καὶ τῷ πνεύματι θλιφθὲν ξυνεκπέμπει δε-
χομένη, ξυνέτρησαν εἰς τὸν ἐκ τῆς κεφαλῆς κατὰ
τὸν αὐχένα καὶ διὰ τῆς ῥάχεως μυελὸν ξυμπεπηγότα,
ὃν δὴ σπέρμα ἐν τοῖς πρόσθεν λόγοις εἴπομεν· ὁ δέ,
ἔτ' ἔμψυχος ὢν καὶ λαβὼν ἀναπνοὴν τοῦθ' ᾗ περ ἀνέ-
πνευσε, τῆς ἐκροῆς ζωτικὴν ἐπιθυμίαν ἐμποιήσας αὐ-
τῷ τοῦ γεννᾶν ἔρωτα ἀπετέλεσε. διὸ δὴ τῶν μὲν ἀν-
δρῶν τὸ περὶ τὴν τῶν αἰδοίων φύσιν ἀπειθές τε καὶ
αὐτοκρατὲς γεγονός, οἷον ζῷον ἀνυπήκοον τοῦ λόγου,
πάντων δι' ἐπιθυμίας οἰζρώδεις ἐπιχειρεῖ κρατεῖν· αἱ
δ' ἐν ταῖς γυναιξὶν αὖ μῆτραί τε καὶ ὑστέραι λεγόμεναι
διὰ ταὐτὰ ταῦτα, ζῷον ἐπιθυμητικὸν ἐνὸν τῆς παιδο-
ποιίας, ὅταν ἄκαρπον παρὰ τὴν ὥραν χρόνον πολὺν
γίγνηται, χαλεπῶς ἀγανακτοῦν φέρει, καὶ πλανώμενον

virorum iniusti timidique vixerunt, quemadmodum probabilis ratio nobis ostendit, in generatione secunda in feminas sunt conversi, quo quidem tempore hanc ob causam Dii coitus amorem machinati sunt. igitur in viris unum quiddam, in feminis alterum vitae et animae compos ita composuerunt: ipsum potus discursum, quo per pulmones sub renes in vesicam defluens et spiritui mixtus elisusque depromitur, Dii in fistulae modum in compactam medullam a capite per cervicem et spinam derivaverunt: quod quidem sperma, id est semen, in superioribus nuncupavimus. hoc autem, utpote animatum ac respirans, qua parte spirat, per eandem vitale effluendi desiderium gignit, atque ita generandi amorem nobis inseruit. quocirca pudendorum naturae in viris insita vis inobediens atque imperiosa, et quasi animal non exaudiens rationem, furiosarum libidinum violentia subiicere sibi cuncta conatur. vulva quoque matrisque in feminis eadem ratione animal avidum generandi, quando procul a foetu per aetatis florem aut ultra diutius detinetur, aegre fert moram ac plurimum indignatur, passim-

πάντῃ κατὰ τὸ σῶμα, τὰς τοῦ πνεύματος διεξόδους ἀποφράττον, ἀναπνεῖν οὐκ ἐῶν εἰς ἀπορίας τὰς ἐσχάτας ἐμβάλλει καὶ νόσους παντοδαπὰς ἄλλας παρέχεται, μέχρι περ ἂν ἑκατέρων ἡ ἐπιθυμία καὶ ὁ ἔρως ἐξαγαγόντες οἷον ἀπὸ δένδρων καρπὸν καὶ τὸ δρέψαντες, ὡς εἰς ἄρουραν τὴν μήτραν ἀόρατα ὑπὸ σμικρότητος καὶ ἀδιάπλαστα ζῶα κατασπείραντες, καὶ πάλιν διακρίναντες, μεγάλα ἐντὸς ἐκθρέψωνται καὶ μετὰ ταῦτα εἰς φῶς ἀγαγόντες ζώων ἀποτελέσωσι γένεσιν. Γυναῖκες μὲν οὖν καὶ τὸ θῆλυ πᾶν οὕτω γέ- 11
γονε· τὸ δὲ τῶν ὀρνέων φῦλον μετερρυθμίζετο, ἀντὶ τριχῶν πτερὰ φύον, ἐκ τῶν ἀκάκων ἀνδρῶν, κουφων δέ, καὶ μετεωρολογικῶν μέν, ἡγουμένων δὲ δι' ὄψεως τὰς περὶ τούτων ἀποδείξεις βεβαιοτάτας εἶναι δι' εὐήθειαν. τὸ δ' αὖ πεζὸν καὶ θηρῶδες γέγονεν ἐκ τῶν μηδὲν προσχρωμένων φιλοσοφίᾳ μηδὲ ἀθρούντων τῆς περὶ τὸν οὐρανὸν φύσεως πέρι μηδέν, διὰ τὸ μηκέτι ταῖς ἐν τῇ κεφαλῇ χρῆσθαι περιόδοις, ἀλλὰ τοῖς περὶ τὰ 12
ᾐθη τῆς ψυχῆς ἡγεμόσιν ἕπεσθαι μέρεσιν. ἐκ τούτων οὖν τῶν ἐπιτηδευμάτων τά τ' ἐμπρόσθια κῶλα καὶ τὰς

que per corpus oberrans meatus spiritus intercludit, respirare non sinit, extremis vexat angustiis, morbis denique omnibus premit, quousque utrorumque cupido amorque quasi ex arboribus foetum fructumve producunt: ipsum deinde decerpunt, et in matricem velut agrum inspargunt. hinc animalia primum talia, ut nec propter parvitatem videantur necdum appareant formata, concipiunt: mox, quae conflaverant, explicant, ingentia intus enutriunt, demum educunt in lucem, animaliumque generationem perficiunt. mulieres hunc in modum et feminae omnes sunt genitae. avium autem genus ex nostro ita est apte formatum, ut pro pilis pennas acciperet. in hoc illi homines transeunt, qui simplices et innocentes cum sint, leves tamen sunt et frustra in rebus sublimibus curiosi: quive adeo fatui sunt, ut oculorum iudicio confisi hoc altissima quaeque firmiter demonstrari posse non dubitent. gressibilium vero ferarum genus ex his natum hominibus, qui a philosophia penitus alieni ad coelestia nunquam oculos erexerunt, ex eo quod volutionibus illis, quae in capite peragi solent, usi nunquam sunt, sed illas animae partes secuti, quae in ventre et pectore dominantur. ex his utique studiis anteriora membra et capita ob ipsam cognationem humi penitus defixerunt: in longum pro-

κεφαλὰς εἰς γῆν ἑλκόμενα ὑπὸ ξυγγενείας ἤρεισαν, πρυμήκεις τε καὶ παντοίας ἔσχον τὰς κορυφάς, ὅπῃ συνεθλίρθησαν ὑπὸ ἀργίας ἑκάζων αἱ περιφοραί. τε- 92
τράπουν τε τὸ γένος αὐτῶν ἐκ ταύτης ἐφύετο καὶ πολύπουν τῆς προφάσεως, θεοῦ βάσεις ὑποτιθέντος πλείους τοῖς μᾶλλον ἄφροσιν, ὡς μᾶλλον ἐπὶ γῆν ἕλκοιντο. τοῖς δ' ἀφρονεστάτοις αὐτῶν τούτων καὶ παντάπασι πρὸς γῆν πᾶν τὸ σῶμα κατατεινομένοις ὡς οὐδὲν ἔτι ποδῶν χρείας οὔσης, ἄποδα αὐτὰ καὶ ἑλυσπώμενα ἐπὶ
10 γῆς ἐγέννησαν. τὸ δὲ τέταρτον γένος ἔνυδρον γέγονεν ἐκ τῶν μάλιστα ἀνοητοτάτων καὶ ἀμαθεστάτων, οὓς οὐδ' ἀναπνοῆς καθαρᾶς ἔτι ἠξίωσαν οἱ μεταπλάττοντες, ὡς τὴν ψυχὴν ὑπὸ πλημμελείας πάσης ἀκαθάρτους ἐχόντων, ἀλλ' ἀντὶ λεπτῆς καὶ καθαρᾶς ἀναπνοῆς ἀέρος εἰς ὕδατος θολερὰν καὶ βαθεῖαν ἕωσαν ἀνάπνευσιν· ὅθεν ἰχθύων ἔθνος καὶ τὸ τῶν ὀστρέων ξυναπάντων τε ὅσα ἔνυδρα γέγονε, δίκην ἀμαθίας ἐσχάτης ἐσχάτας οἰκήσεις εἰληχότων. καὶ κατὰ ταῦτα δὴ πάντα τότε καὶ νῦν διαμείβεται τὰ ζῶα εἰς ἄλληλα, νοῦ καὶ
20 ἀνοίας ἀποβολῇ καὶ κτήσει μεταβαλλόμενα.

Καὶ δὴ καὶ τέλος περὶ τοῦ παντὸς νῦν ἤδη τὸν λόγον

ductum ac diversum corporis verticem tenuere; quandoquidem ibi propter desidiam singulorum collisi sunt et confracti circuitus, et ideo, quod quatuor pedum ac etiam plurium est instituta figura, ut insipientioribus Deus maiorem ex pedibus multis atque progressa occasionem praestet, per quam magis etiam deflectantur ad terram. eos autem, qui horum insipientissimi erant, corpusque in terram penitus prosternebant, quasi nihil ultra pedibus opus foret, in corpora carentia pedibus et humi serpentia permutarunt. quartum genus aquaticum est, ex illis natum, qui stolidissimi et imperitissimi fuerant: quos nostri illi transformatores pura respiratione dignos iccirco non iudicaverunt, quia propter extremae transgressionis iniquitatem animam impurissimam prorsus habebant. ideo ex tenui ac pura aëris illa respiratione in aquae respirationem profundam turbidamque merserunt. unde piscium et ostrearum ac denique aquatilium omnium orta est multitudo: in qua certe mutatione illi ex sedium extremarum habitatione inscitiae quoque extremae dant poenas. hunc in modum et olim et nunc in se invicem animalia migrant, dum mentis et dementiae iactura vel adeptione mutantur. Iam igitur nostra haec de universo disputatio

ἡμῖν φῶμεν ἔχειν· θνητὰ γὰρ καὶ ἀθάνατα ζῶα λαβὼν καὶ ξυμπληρωθεὶς ὅδε ὁ κόσμος, οὕτω ζῶον ὁρατὸν τὰ ὁρατὰ περιέχον, εἰκὼν τοῦ νοητοῦ θεὸς αἰσθητός, μέγιστος καὶ ἄριστος κάλλιστός τε καὶ τελεώτατος γέγονεν, εἷς οὐρανὸς ὅδε, μονογενὴς ὤν.

finem habeat. mortalia enim et immortalia viventia mundus hic sortitus, atque inde completus, ita denique factus est visibile visibilia comprehendens animal, intelligibilis Dei imago, sensibilis, maximus, interminatus, pulcherrimus, perfectissimus, coelum unum hoc atque unigenitum.

ΚΡΙΤΙΑΣ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΤΙΜΑΙΟΣ, ΚΡΙΤΙΑΣ, ΣΩΚΡΑΤΗΣ, ΕΡΜΟΚΡΑΤΗΣ.

TIMAEUS, CRITIAS, SOCRATES, HERMOCRATES.

Ὡς ἄσμενος, ὦ Σώκρατες, οἷον ἐκ μακρᾶς ἀναπε- 106
παυμένος ὁδοῦ, νῦν οὕτως ἐκ τῆς τοῦ λόγου διαπο-
ρείας ἀγαπητῶς ἀπήλλαγμαι! τῷ δὲ πρὶν μὲν πάλαι
ποτ' ἔργῳ, νῦν δὲ λόγοις ἄρτι θεῷ γεγονότι προσεύ-
χομαι, τῶν ῥηθέντων ὅσα μὲν ἐρρήθη μετρίως, σωτη-
ρίαν ἡμῖν αὐτὸν αὐτῶν διδόναι, παρὰ μέλος δὲ εἴ τε
περὶ αὐτῶν ἄκοντες εἴπομεν, δίκην τὴν πρέπουσαν
ἐπιτιθέναι. δίκη δὲ ὀρθὴ τὸν πλημμελοῦντα ἐμμελῆ
ποιεῖν· ἵν' οὖν τὸ λοιπὸν τοὺς περὶ θεῶν γενέσεως
ὀρθῶς λέγωμεν λόγους, φάρμακον ἡμῖν αὐτὸν τελεώ-
τατον καὶ ἄριστον φαρμάκων ἐπιζήμην εὐχόμεθα διδό-
ναι. προσευξάμενοι δὲ παραδίδομεν κατὰ τὰς ὁμολο-
γίας Κριτίᾳ τὸν ἑξῆς λόγον.

Quam grata longum post iter defesso requies, o Socrates, tam mihi post longas disputationis ambages dulce silentium. hunc autem scilicet mundum, re quidem ipsa iamdiu, sermone vero nuper Deum effectum, obsecro, ut si quid decenter dictum est, servet ipse nobis atque custodiat: sin autem indecens quicquam in superioribus non sponte protulimus, meritas a nobis exigat poenas. debita vero eius, qui per ignorantiam negligentiamve aberravit, poena est, ut sciens efficiatur et diligens. quamobrem ut posthac rectius de Deorum generatione loquamur, medicinam nobis a Deo medicinarum omnium perfectissimam saluberrimamque dari, scientiam, exoptamus. actis denique votis sequentem disputationem Critiae,

ΚΡΙ. Ἀλλ', ὦ Τίμαιε, δέχομαι μέν, ᾧ δὲ καὶ σὺ κατ' ἀρχὰς ἐχρήσω συγγνώμην αἰτούμενος ὡς περὶ μεγάλων μέλλων λέγειν, ταὐτὸν καὶ νῦν ἐγὼ τοῦτο παραιτοῦμαι, μειζόνως δὲ αὐτοῦ τυγχεῖν ἔτι μᾶλλον
107 ἀξιῶ περὶ τῶν μελλόντων ῥηθήσεσθαι. καί τοι σχεδὸν μὲν οἶδα παραίτησιν εὖ μάλα φιλότιμον καὶ τοῦ δέοντος ἀγροικοτέραν μέλλων παραιτεῖσθαι, ῥητέον δὲ ὅμως. ὡς μὲν γὰρ οὐκ εὖ τὰ παρὰ σοῦ λεχθέντα εἴρηται, τίς ἂν ἐπιχειρήσειεν ἔμφρων λέγειν; ὅτι δὲ τὰ ῥηθησόμενα πλείονος συγγνώμης δεῖται χαλεπώτερα 1
ὄντα, τοῦτο πειρατέον πῃ διδάξαι. περὶ θεῶν γάρ, ὦ Τίμαιε, λέγοντά τι πρὸς ἀνθρώπους δοκεῖν ἱκανῶς λέγειν ῥᾷον ἢ περὶ θνητῶν πρὸς ἡμᾶς. ἡ γὰρ ἀπειρία καὶ σφόδρα ἄγνοια τῶν ἀκουόντων περὶ ὧν ἂν οὕτως ἔχωσι πολλὴν εὐπορίαν παρέχεσθον τῷ μέλλοντι λέγειν τι περὶ αὐτῶν· περὶ δὲ δὴ θεῶν ἴσμεν ὡς ἔχομεν. ἵνα δὲ σαφέστερον ὃ λέγω δηλώσω, τῇδέ μοι συνεπισπέσθε. μίμησιν μὲν γὰρ δὴ καὶ ἀπεικασίαν τὰ παρὰ πάντων ἡμῶν ῥηθέντα χρεών που γενέσθαι· τὴν δὲ τῶν γραφέων εἰδωλοποιίαν περὶ τὰ θεῖά τε καὶ τὰ 2
ἀνθρώπινα σώματα γιγνομένην ἴδωμεν ῥᾳστώνης τε πέρι καὶ χαλεπότητος πρὸς τὸ τοῖς ὁρῶσι δοκεῖν ἀποχρών-

ut inter nos convenerat, iam concedimus. *Cri.* Accipio equidem, o Timaee: et quam tu supra veniam petisti, tanquam de rebus magnis disputaturus, eandem ego nunc peto. immo vero maiorem quoque veniam in his, quae restant, tribuendam existimo: quamquam scio procacem quodammodo rusticamque petitionem hanc meam videri posse. dicendum tamen. quod quidem non recte abs te superiora dicta sint, nemo sanae mentis obiecerit: quod autem, quae restant dicenda, utpote difficiliora, maiorem exigant indulgentiam, conabor ostendere. facilius enim est, ut qui de Diis disserit, satis facere hominibus videatur, quam qui mortalium retexit historiam. imperitia namque et ignoratio audientium licentiam plurimam ad ea, quae ignota sunt. effingenda praestare dicentibus consuevit: quomodo vero simus circa Deos affecti, non ignoramus. ut autem quod sentio planius vobis aperiam, sic attendite. quaecunque a nobis dicuntur, tanquam imitationem quandam similitudinisque expressionem existimare debemus. neque nos lateat, quae in pictorum configuratione circa divina humanave corpora vel facilitas sit vel difficultas ad hoc, ut sufficienter ea re-

τως μεμιμῆσθαι, καὶ κατοψόμεθα ὅτι γῆν μὲν καὶ ὄρη καὶ ποταμοὺς καὶ ὕλην οὐρανόν τε ξύμπαντα καὶ τὰ περὶ αὐτὸν ὄντα καὶ ἰόντα πρῶτον μὲν ἀγαπῶμεν ἄν τίς τι καὶ βραχὺ πρὸς ὁμοιότητα αὐτῶν ἀπομιμεῖσθαι δυνατὸς ᾖ, πρὸς δὲ τούτοις, ἅτε οὐδὲν εἰδότες ἀκριβὲς περὶ τῶν τοιούτων, οὔτε ἐξετάζομεν οὔτε ἐλέγχομεν τὰ γεγραμμένα, σκιαγραφίᾳ δὲ ἀσαφεῖ καὶ ἀπατηλῷ χρώμεθα περὶ αὐτά· τὰ δὲ ἡμέτερα ὁπόταν τις ἐπιχειρῇ σώματα ἀπεικάζειν, ὀξέως αἰσθανόμενοι τὸ παραλειπόμενον διὰ τὴν ἀεὶ ξύνοικον κατανόησιν. χαλεποὶ κριταὶ γιγνόμεθα τῷ μὴ πάσας πάντως τὰς ὁμοιότητας ἀποδιδόντι. ταὐτὸν δὴ καὶ κατὰ τοὺς λόγους ἰδεῖν δεῖ γιγνόμενον, ὅτι τὰ μὲν οὐράνια καὶ θεῖα ἀγαπῶμεν καὶ σμικρῶς εἰκότα λεγόμενα, τὰ δὲ θνητὰ καὶ ἀνθρώπινα ἀκριβῶς ἐξετάζομεν. ἐκ δὴ τοῦ παραχρῆμα νῦν λεγόμενα, τὸ πρέπον ἂν μὴ δυνώμεθα πάντως ἀποδιδόναι, συγγιγνώσκειν χρεών· οὐ γὰρ ὡς ῥᾴδια τὰ θνητὰ ἀλλ' ὡς χαλεπὰ πρὸς δόξαν ὄντα ἀπεικάζειν δεῖ διανοεῖσθαι. ταῦτα δὴ βουλόμενος ὑμᾶς ὑπομνῆσαι, καὶ τὸ τῆς 108
συγγνώμης οὐκ ἔλαττον ἀλλὰ μεῖζον αἰτῶν περὶ τῶν μελλόντων ῥηθήσεσθαι, πάντα ταῦτα εἴρηκα, ὦ Σώ-

praesentasse spectantibus videantur. profecto, cum terram pingunt et montes, flumina, silvas coelumque omne, quaeve circa coelum consistunt et quae vagantur, primum quidem satis putamus effectum, si quis illorum vel exiguam quandam referre possit imaginem: deinde, utpote talium prorsus ignari, neque examinamus pictorum opera neque etiam redarguimus, sed confusa quadam adumbratione fallacique utimur. cum vero quis fingere aggreditur nostrorum corporum similitudinem, tunc propter familiarem ipsam rerum nostrarum animadversionem acutius errata perstentimus, severique et acres indices exactoresque sumus adversus eum, qui non singula lineamenta coloresque expresserit. idem quoque in sermonibus intueri licet. nam satis agi putamus, si de coelestibus divinisque rebus quicquam, vel parum quid conveniens afferatur: mortalia vero humanaque opera exacte nimium examinare solemus. quamobrem si minus pro dignitate, quae statim sunt dicenda, tractabimus, ignoscere decet. neque enim facile, immo certe difficile, mortalia ad opinionem imitatione ipsa exprimi posse putanda sunt. haec itaque omnia dixi, o Socrates, cupiens et vos admonere et maiorem a vobis veniam ad ea

κρατες. εἰ δὴ δικαίως αἰτεῖν φαίνομαι τὴν δωρεάν, ἑκόντες δίδοτε.

ΣΩ. Τί δ' οὐ μέλλομεν, ὦ Κριτία, διδόναι; καὶ πρός γ' ἔτι τρίτῳ δεδόσθω ταὐτὸν τοῦτο Ἑρμοκράτει παρ' ἡμῶν. δῆλον γὰρ ὡς ὀλίγον ὕστερον, ὅταν αὐτὸν δέῃ λέγειν, παραιτήσεται καθά περ ὑμεῖς· ἵν' οὖν ἑτέραν ἀρχὴν ἐκπορίζηται καὶ μὴ τὴν αὐτὴν ἀναγκασθῇ λέγειν, ὡς ὑπαρχούσης αὐτῷ συγγνώμης εἰς τότε οὕτω λεγέτω. προλέγω γε μὴν ὦ φίλε Κριτία σοι τὴν τοῦ θεάτρου διάνοιαν, ὅτι θαυμαστῶς ὁ πρότερος εὐδοκίμηκεν ἐν αὐτῷ ποιητής, ὥστε τῆς συγγνώμης δεήσει τινός σοι παμπόλλης, εἰ μέλλεις αὐτὰ δυνατὸς γενέσθαι παραλαβεῖν. 1

ΕΡ. Ταὐτὸν μήν, ὦ Σώκρατες, κἀμοὶ παραγγέλλεις ὅ περ τῷδε. Ἀλλὰ γὰρ ἀθυμοῦντες ἄνδρες οὔπω τρόπαιον ἔστησαν, ὦ Κριτία· προϊέναι τε οὖν ἐπὶ τὸν λόγον ἀνδρείως χρή, καὶ τὸν Παίωνά τε καὶ τὰς Μούσας ἐπικαλούμενον τοὺς παλαιοὺς πολίτας ἀγαθοὺς ὄντας ἀναφαίνειν τε καὶ ὑμνεῖν.

ΚΡ. Ὦ φίλε Ἑρμόκρατες, τῆς ὑστέρας τεταγμένος, ἐπίπροσθεν ἔχων ἄλλον ἔτι θαρρεῖς. τοῦτο μὲν οὖν οἷόν ἐστιν, αὐτό σοι τάχα δηλώσει· παραμυθού- 2

quae restant, expetere. vos autem, si iusta petere videor, ultro hanc veniam largiamini. *So.* Nihil obstat, o Critia. quo minus tibi, quod postulas, tribuatur. quin etiam Hermocrati hoc idem a nobis tertio detur. constat enim hunc paulo post, cum dicturus erit, eadem precaturum. ut igitur aliter exordiatur neque eadem cogatur repetere, sciat veniam sibi esse tributam, et quasi id constet, ad dicendum protinus accingatur. Praedico autem tibi, o amice Critia, theatri sententiam, quod poëta prior in eo mirifice est probatus. quapropter plurima tibi venia opus erit, si ea sufficienter es comprehensurus. *Her.* Idem mihi, o Socrates, quod et isti, nuntias. ceterum segnes pusillanimesque nunquam palmam consecuti sunt, Critia. sermonem igitur aggredi forti animo decet, ab Phoebo Musisque vocatis antiquos cives, excellentes viros, summis laudibus illustrare. *Cri.* O amice Hermocrates, cum postera tibi dies assignata sit, dicentem alium es secuturus, ideoque confidis. quale vero id sit, ipse tibi forsitan declarabit. exhortanti

μένῳ δ' οὖν καὶ παραθαῤῥύνοντί σοι πειστέον, καὶ πρὸς οἷς θεοῖς εἶπες, τούς τε ἄλλους κλητέον καὶ δὴ καὶ τὰ μάλιστα Μνημοσύνην. σχεδὸν γὰρ τὰ μέγιστα ἡμῖν τῶν λόγων ἐν ταύτῃ τῇ θεῷ πάντ' ἐστί· μνησθέντες γὰρ ἱκανῶς καὶ ἀπαγγείλαντες τά ποτε ῥηθέντα ὑπὸ τῶν ἱερέων καὶ δεῦρο ὑπὸ Σόλωνος κομισθέντα, σχεδὸν οἶδ' ὅτι τῷδε τῷ θεάτρῳ δόξομεν τὰ προσήκοντα μετρίως ἀποτετελεκέναι. τοῦτ' οὖν αὐτὸ ἤδη δρατέον, καὶ μελλητέον οὐδὲν ἔτι.

Πάντων δὴ πρῶτον μνησθῶμεν ὅτι τὸ κεφάλαιον ἦν ἐνάκις χίλια ἔτη ἀφ' οὗ γεγονὼς ἐμηνύθη πόλεμος τοῖς θ' ὑπὲρ Ἡρακλείας στήλας ἔξω κατοικοῦσι καὶ τοῖς ἐντὸς πᾶσιν· ὃν δεῖ νῦν διαπεραίνειν. τῶν μὲν οὖν ἥδε ἡ πόλις ἄρξασα καὶ πάντα τὸν πόλεμον διαπολεμήσασα ἐλέγετο, τῶν δ' οἱ τῆς Ἀτλαντίδος νήσου βασιλεῖς, ἣν δὴ Λιβύης καὶ Ἀσίας μείζω νῆσον οὖσαν ἔφαμεν εἶναί ποτε, νῦν δὲ ὑπὸ σεισμῶν δῦσαν ἄπορον πηλὸν τοῖς ἐνθένδε ἐκπλέουσιν ἐπὶ τὸ πᾶν πέλαγος, ὥστε μηκέτι πορεύεσθαι, κωλυτὴν παρασχεῖν. τὰ μὲν δὴ πολλὰ 109
ἔθνη βάρβαρα, καὶ ὅσα Ἑλλήνων ἦν γένη τότε, καθ' ἕκαστα ἡ τοῦ λόγου διέξοδος οἷον ἀνειλομένη, τὸ

itaque tibi et ad rem ipsam penitus inflammanti parendum: et ultra Deos, quos tu memorabas, alios insuper invocare decet, praecipueque Mnemosynem, id est memoriam: ferme namque maxima quaeque sermonum nostrorum in hac dea constistunt. nempe si sufficienter meminerimus recensuerimusque nunc vobis, quae quondam a sacerdotibus tradita a Solone huc advecta fuerunt, videbimur theatro huic, ut arbitror, satis quae conveniunt peregisse. hoc itaque iam agendum, neque ultra cunctandum. Primum autem commemoremus, quod summa erat annorum novem millium, ex quo bellum exstitisse traditum est inter eos omnes qui ultra et eos qui citra columnas Herculis habitant, quod in praesentia enarraturi sumus. horum quidem dux fuit haec civitas, bellumque omne, ut dicitur, confecit: illorum autem insulae Atlanticae reges, quam insulam Libya Asiaque maiorem fuisse quandoque perhibuimus, postea vero coenum ibi invium, submersa insula ex terrae concussione, relictum, quod quidem hinc illuc altum in mare navigantibus obstat, ne ultra enavigare liceat. gentes quidem barbaras, quae tunc erant, Graecasque generatim orationis ipsius progressus passim, prout occasio dabitur, enarrabit: Athenien-

προστυχὸν ἑκάστοις δηλώσει· τὸ δὲ Ἀθηναίων τε τῶν τότε καὶ τῶν ἐναντίων, οἷς διεπολέμησαν, ἀνάγκη κατ' ἀρχὰς διελθεῖν πρῶτα, τήν τε δύναμιν ἑκατέρων καὶ τὰς πολιτείας. αὐτῶν δὲ τούτων τὰ τῇδε ἔμπροσθεν προτιμητέον εἰπεῖν,

Θεοὶ γὰρ ἅπασαν γῆν ποτὲ κατὰ τοὺς τόπους διελάγχανον, οὐ κατ' ἔριν· οὐ γὰρ ἂν ὀρθὸν ἔχοι λόγον θεοὺς ἀγνοεῖν τὰ πρέποντα ἑκάστοις αὐτῶν, οὐδ' αὖ γιγνώσκοντας τὸ μᾶλλον ἄλλοις προσῆκον τοῦτο ἑτέρους αὐτοῖς δι' ἐρίδων ἐπιχειρεῖν κτᾶσθαι. δίκης δὴ κλήροις τὸ φίλον λαγχάνοντες κατῴκιζον τὰς χώρας, καὶ κατοικίσαντες, οἷον νομῆς ποίμνια, κτήματα καὶ θρέμματα ἑαυτῶν ἡμᾶς ἔτρεφον, πλὴν οὐ σώμασι σώματα βιαζόμενοι, καθά περ ποιμένες κτήνη πληγῇ νέμοντες, ἀλλ' ᾗ μάλιστα εὔστροφον ζῶον, ἐκ πρύμνης ἀπευθύνοντες οἷον οἴακι πειθοῖ ψυχῆς ἐφαπτόμενοι κατὰ τὴν αὐτῶν διάνοιαν, οὕτως ἄγοντες τὸ θνητὸν πᾶν ἐκυβέρνων. ἄλλοι μὲν οὖν κατ' ἄλλους τόπους κληρουχήσαντες θεῶν ἐκεῖνα ἐκόσμουν, Ἥφαιστος δὲ κοινὴν καὶ Ἀθηνᾶ φύσιν ἔχοντες, ἅμα μὲν ἀδελφὴν ἐκ ταὐτοῦ πατρός, ἅμα δὲ φιλοσοφίᾳ φιλοτέ-

sium autem, qui tunc erant, adversariorumque vires in primis respublicasque, et belli ordinem atque successum, exponere decet, horum vero ipsorum nostra primum narrabimus. Dii quondam universum terrae orbem sigillatim sortiti sunt, in regiones singulas distributum. neque partitionem hanc contentio fecit. nam procul a ratione id esset, quod Dii vel quae unicuique ipsorum conveniunt, ignorarent, vel cognoscentes, quae potius aliis competunt, aliena iura vicissim usurpare contenderent. ceterum iudicii iurisque sortibus sua quaeque ad votum suscipientes, curantesque amicorum singula, regiones habitandas disposuerunt: hosque veluti greges ipsorum possessionesque et armenta nutrirent, hoc tamen excepto, quod corporibus corpora cogere noluerunt, quemadmodum plagis pecora iumentaque pastores: at vero tanquam docile et obediens animal, quasi ex puppe ratem agilem dirigentes, persuasione pro gubernaculis utebantur, eaque animam attingebant, et ad mentem ipsorum ita ducentes mortale genus omne gubernabant. et alii quidem Dii aliorum locorum gubernationem sortiti ea instituebant. Vulcanus autem Minervaque, naturam habentes communem, tum quia eodem ex patre sunt, tum quia per

γνία τε ἐπὶ τὰ αὐτὰ ἐλθόντες, οὕτω μίαν ἅμφω λῆξιν τήνδε τὴν χώραν εἰλήχατον ὡς οἰκείων καὶ πρόσφορον ἀρετῇ καὶ φρονήσει πεφυκυῖαν, ἄνδρας δὲ ἀγαθοὺς ἐμποιήσαντες αὐτόχθονας ἐπὶ νοῦν ἔθεσαν τὴν τῆς πολιτείας τάξιν· ὧν τὰ μὲν ὀνόματα σεσωται, τὰ δὲ ἔργα διὰ τὰς τῶν παραλαμβανόντων φθορὰς καὶ τὰ μήκη τῶν χρόνων ἠφανίσθη. τὸ γὰρ περιλειπόμενον ἀεὶ γένος, ὥς περ καὶ πρόσθεν ἐρρήθη, κατελείπετο ὄρειον καὶ ἀγράμματον, τῶν ἐν τῇ χώρᾳ δυναστῶν τὰ ὀνόματα ἀκηκοὸς μόνον καὶ βραχέα πρὸς αὐτοῖς τῶν ἔργων. τὰ μὲν οὖν ὀνόματα τοῖς ἐκγόνοις ἐτίθεντο ἀγαπῶντες, τὰς δὲ ἀρετὰς καὶ τοὺς νόμους τῶν ἔμπροσθεν οὐκ εἰδότες, εἰ μὴ σκοτεινὰς περὶ ἑκάστων τινὰς ἀκοάς, ἐν ἀπορίᾳ δὲ τῶν ἀναγκαίων ἐπὶ πολλὰς γενεὰς ὄντες καὶ αὐτοὶ καὶ παῖδες, πρὸς οἷς ἠπόρουν τὸν νοῦν ἔχοντες, τούτων πέρι καὶ τοὺς λόγους ποιούμενοι, τῶν ἐν τοῖς πρόσθεν καὶ πάλαι ποτὲ γεγονότων ἠμέλουν· μυθολογία γὰρ ἀναζήτησίς τε τῶν παλαιῶν μετὰ σχολῆς ἅμ' ἐπὶ τὰς πόλεις ἔρχεσθον, ὅταν ἴδητόν τισιν ἤδη τοῦ βίου τἀναγκαῖα κατεσκευασμένα, πρὶν δὲ οὔ. ταύτῃ δὴ τὰ τῶν παλαιῶν ὀνό-

sapientiae studium perque artium diligentiam ad eadem tendunt, ita communem sortem hanc nacti sunt regionem, utpote virtuti prudentiaeque naturā propriam atque congruam: procreantesque in ea viros indigenas admodum generosos, eorum mentibus rei publicae ordinem infuderunt. quorum duntaxat nomina restiterunt, opera vero propter eorum, qui acceperunt, interitum et longa temporum intervalla e memoria hominum deleta sunt. semper enim superstes hominum genus, ut in superioribus diximus, montivagum atque rude, cui potentum in regione virorum nomina solum audita: at praeter haec ex rebus gestis exiguae quaedam notae fuerunt. quapropter filiis suis posteri quodam amoris affectu nomina priscorum imposuerunt, virtutum legumque superiorum ignari: nihil enim de his habebant praeter auditum, et hunc non satis certum. cum vero multa per secula rebus ad victum necessariis indigerent, ipsique et filii mentem his adhiberent, quorum penuria premebantur, deque his verba facerent, rerum antiquarum memoriam neglexerunt. confabulatio enim priscarumque rerum investigatio in civitatibus cum otio simul oriri consueverunt, cum necessaria vitae parata iam sunt; prius vero nequaquam. at-

ματα ἄνευ τῶν ἔργων διασέσωται. λέγω δὲ αὐτὰ τεκμαιρόμενος ὅτι Κέκροπός τε καὶ Ἐρεχθέως καὶ Ἐριχθονίου καὶ Ἐρυσίχθονος τῶν τε ἄλλων τὰ πλεῖστα, ὅσαπερ καὶ Θησέως ἄνω, περὶ τῶν ὀνομάτων ἑκάστων ἀπομνημονεύεται, τούτων ἐκείνους τὰ πολλὰ ἐπονομάζοντας τοὺς ἱερέας Σόλων ἔφη τὴν τότε διηγεῖσθαι πολέμου, καὶ τὰ τῶν γυναικῶν κατὰ ταὐτά. καὶ δὴ καὶ τὸ τῆς θεοῦ σχῆμα καὶ ἄγαλμα, ὡς κοινὰ τότ' ἦν τὰ ἐπιτηδεύματα καὶ ταῖς γυναιξὶ καὶ τοῖς ἀνδράσι τὰ περὶ τὸν πόλεμον, οὕτω κατ' ἐκεῖνον τὸν νόμον ὡπλι- E σμένην τὴν θεὸν ἀνάθημα εἶναι τοῖς τότε, ἔνδειγμα ὅτι πάνθ' ὅσα σύννομα ζῷα θήλεα καὶ ὅσα ἄρρενα, τὴν προσήκουσαν ἀρετὴν ἑκάστῳ γένει πᾶν κοινῇ δυνατὸν ἐπιτηδεύειν πέφυκεν. ᾤκει δὲ δὴ τότ' ἐν τῇδε τῇ χώρᾳ τὰ μὲν ἄλλα ἔθνη τῶν πολιτῶν περὶ τὰς δημιουργίας ὄντα καὶ τὴν ἐκ τῆς γῆς τροφήν, τὸ δὲ μάχιμον ὑπ' ἀνδρῶν θείων κατ' ἀρχὰς ἀφορισθὲν ᾤκει χωρίς, πάντα ἔχον ὅσα πρὸς τροφὴν καὶ παίδευσιν τὰ προσήκοντα, ἴδιον μὲν αὐτῶν οὐδεὶς οὐδὲν κεκτημένος, ἅπαντα δὲ πάντων κοινὰ νομίζοντες αὑτῶν, πέρα δὲ ἱκανῆς [illegible] τροφῆς οὐδὲν ἀξιοῦντες παρὰ τῶν ἄλλων δέχεσθαι πο-

que ita heroorum nomina sunt iisque operibus reservata. dico autem haec ita coniectans, quoniam inquit Solon sacerdotes illos in veteris belli narratione plurima usurpasse nomina posteris permutata, ut Cecropem, Erechtheum, Erichthonium, Erisichthonem aliaque ex his, quae supra Theseum memorantur. mulierum quoque nomina similiter atque opera eadem. Deaeque Palladis figuram et statuam, cum ad bella studia viris tunc essent mulieribusque communia, nempe ea tempestate armatam Deam palam elatam exstitisse exemplum daturam omnibus, quod in singulis animalium gregibus mas feminaque sortis eiusdem, pro generis cuiusque virtute ita natura instituta sunt, ut aggredi omnia communiter valeant. habitabant profecto tunc in hac regione alia genera civium, qui in artium operibus et agricultura versabantur. milites autem, a divinis viris principio segregati, seorsum vivebant, habentes omnia tum ad alimenta tum ad educationem conferentia. quorum nullus proprium aliquid possidebat: nam communia inter se cuncta existimabant. ultra vero victus ipsius sufficientiam nihil ab aliis civibus exigo-

λιτῶν, καὶ πάντα δὴ τὰ χθὲς λεχθέντα ἐπιτηδεύματα ἐπιτηδεύοντες, ὅσα περὶ τῶν ὑποτεθέντων ἐῤῥήθη φυλάκων. Καὶ δὴ καὶ τὸ περὶ τῆς χώρας ἡμῶν πιθανὸν καὶ ἀληθὲς ἐλέγετο, πρῶτον μὲν τοὺς ὅρους αὐτὴν ἐν τῷ τότε ἔχειν ἀφωρισμένους πρὸς τὸν Ἰσθμὸν καὶ τὸ κατὰ τὴν ἄλλην ἤπειρον μέχρι τοῦ Κιθαιρῶνος καὶ Πάρνηθος τῶν ἄκρων, καταβαίνειν δὲ τοὺς ὅρους ἐν δεξιᾷ τὴν Ὠρωπίαν ἔχοντας, ἐν ἀριστερᾷ δὲ πρὸς θαλάττης ἀφορίζοντας τὸν Ἀσωπόν, ἀρετῇ δὲ πᾶσαν γῆν ὑπὸ τῆς ἐνθάδε ὑπερβάλλεσθαι, διὸ καὶ δυνατὴν εἶναι τότε τρέφειν τὴν χώραν στρατόπεδον πολὺ τῶν περὶ τὴν γῆν ἀργὸν ἔργων. μέγα δὲ τεκμήριον ἀρετῆς· τὸ γὰρ νῦν αὐτῆς λείψανον ἐναμιλλόν ἐστι πρὸς ἡντινοῦν τῷ πάμφορον εὔκαρπόν τε εἶναι καὶ τοῖς ζώοις πᾶσιν εὔβοτον. τότε δὲ πρὸς τῷ κάλλει καὶ παμπλήθη 111
ταῦτα ἔφερε. πῶς οὖν δὴ τοῦτο πιστόν, καὶ κατὰ τί λείψανον τῆς τότε γῆς ὀρθῶς ἂν λέγοιτο; πᾶσα ἀπὸ τῆς ἄλλης ἠπείρου μακρὰ προτείνουσα εἰς τὸ πέλαγος οἷον ἄκρα κεῖται· τὸ δὴ τῆς θαλάττης ἄγγειον περὶ αὐτὴν τυγχάνει πᾶν ἀγχιβαθὲς ὄν. πολλῶν οὖν γεγονότων καὶ μεγάλων κατακλυσμῶν ἐν τοῖς ἐνακισχιλίοις

bant: exercebantque ea omnia, quae heri de custodibus, quos describsimus, exposita sunt. Quin etiam vere illud et probabiliter de regione nostra est dictum, primum quidem illis temporibus fines suos versus Isthmum habuisse distinctos, quodque vergebat in partem alteram continentis usque ad summum Cithaeronem atque Parnethem; qui fines ipso descensu ad dexteram Oropiam habuerint, ad sinistram versus mare Asopum distinguentes. virtute vero universam terram ab hac exsuperatam fuisse traditur. quapropter potuisse tunc regionem hanc universum circagarum exercitum alere. argumentum plane virtutis eius evidentissimum, quia, quod ex ea reliquum est, cum quavis alia hoc ipso certare potest, quod et fert omnia, et fructus profert optimos, pascuisque abundat animali cuique accommodatis. tunc vero non modo speciosa haec omnia, sed etiam uberrima producebat. quanam ratione id probabile? quibusve indiciis, has esse reliquias illius terrae, coniectari potest? omnis ab alia continenti in pelagus longe porrecta extrema quodammodo iacet: quam altitudo maris proxima passim profunditate circumdat. cum itaque multa ingentiaque diluvia in annorum novem millium intervallo praecesserint, tot enim ex

ἔτεσι, τοσαῦτα γὰρ πρὸς τὸν νῦν ἀπ' ἐκείνου τοῦ χρόνου γέγονεν ἔτη, τὸ τῆς γῆς ἐν τούτοις τοῖς χρόνοις καὶ πάθεσιν ἐκ τῶν ὑψηλῶν ἀποῤῥέον οὔτε χῶμα, ὡς ἐν ἄλλοις τόποις, προχοῇ λόγου ἄξιον ἀεί τε κύκλῳ περιῤῥέον εἰς βάθος ἀφανίζεται· λέλειπται δή, καθά περ ἐν ταῖς μακραῖς νόσοις, πρὸς τὰ τότε τὰ νῦν οἷον νοσήσαντος σώματος ὀξᾶ, περιερρυηκυίας τῆς γῆς ὅση πίειρα καὶ μαλακή, τοῦ λεπτοῦ σώματος τῆς χώρας μόνου λειφθέντος. τότε δὲ ἀκέραιος οὖσα τά τε ὄρη γηλόφους ὑψηλοὺς εἶχε, καὶ τὰ Φελλέως νῦν ὀνομασθέντα πεδία πλήρη γῆς πιείρας ἐκέκτητο, καὶ πολλὴν ἐν τοῖς ὄρεσιν ὕλην εἶχεν, ἧς καὶ νῦν ἔτι φανερὰ τεκμήρια· τῶν γὰρ ὀρῶν ἔστιν ἃ νῦν μὲν ἔχει μελίττοις μόναις τροφήν, χρόνος δ' οὐ πάμπολυς ὅτε δένδρων αὐτόθεν εἰς οἰκοδομήσεις τὰς μεγίστας ἐρεψίμων τμηθέντων ξεγώσματ' ἐστὶν ἔτι σᾶ. πολλὰ δ' ἦν ἄλλ' ἥμερα ὑψηλὰ δένδρα, νομὴν δὲ βοσκήμασιν ἀμήχανον ἔφερε. καὶ δὴ καὶ τὸ κατ' ἐνιαυτὸν ὕδωρ ἐκαρποῦτο ἐκ Διός, οὐχ ὡς νῦν ἀπολλῦσα ῥέον ἀπὸ ψιλῆς τῆς γῆς εἰς θάλατταν, ἀλλὰ πολλὴν ἔχουσα καὶ εἰς αὐτὴν καταδεχομένη, τῇ κεραμίδι ξεγούσῃ γῇ διαταμιευομένη καὶ τὸ κατα-

illo tempore ad praesens anni fluxere, tellus his temporibus colluvionibusque ex altis defluens, et tumulos ferme nullos, ut alibi solet, exaggerat, et semper circum decidens in profundum occultur. quapropter relicta sunt, quemadmodum in angustis insulis, praesentia haec ad illa, quasi corpore per morbum extenuato ossa detersa nudataque terra molli quondam et pingui: solum vero tenue corpus atque aridum restitit. olim integra terra altissimos montium colles habebat: et agri, qui nunc Phyllei nominantur, solo pingui fertiles erant: silva in montium vertice frequens, cuius nunc etiam coniecturae quaedam apparent, sunt enim montes nonnulli, qui solas nunc apes pascunt: olim vero, nec multo tamen anteacto tempore, ingentes inde incisae arbores, operimentis et trabibus conficiendis aptissimae: ex quibus aedium amplissimarum confectae texturae adhuc exstant. erant et aliae multae arbores domesticae, mites atque procerae: quin etiam pascua pecorum uberrima. praeterea regio haec quotannis ab Iove frugiferam pluviam hauriebat: neque, ut nunc, per declive praeruptumque diluta ex terra in mare aquam fundebat, sed hanc ex altis abunde al sorptam tenaci quadam concavitate recondens combibensque in

ποθὲν ἐκ τῶν ὑψηλῶν ὕδωρ εἰς τὰ κοῖλα ἀφιεῖσα, κατὰ πάντας τοὺς τόπους παρείχετο ἄφθονα κρηνῶν καὶ ποταμῶν νάματα, ὧν καὶ νῦν ἔτι ἐπὶ ταῖς πηγαῖς πρότερον οὔσαις ἱερὰ λελειμμένα ἐξὶ σημεῖα ὅτι περὶ αὐτῆς ἀληθῆ λέγεται. Τὰ μὲν οὖν τῆς ἄλλης χώρας φύσει τε οὕτως εἶχε, καὶ διεκεκόσμητο ὡς εἰκὸς ὑπὸ γεωργῶν μὲν ἀληθινῶν καὶ πραττόντων αὐτὸ τοῦτο, φιλοκάλων δὲ καὶ εὐφυῶν, γῆν δὲ ἀρίστην καὶ ὕδωρ ἀφθονώτατον ἐχόντων καὶ ὑπὲρ τῆς γῆς ὥρας με-
10 τριωτάτας κεκραμένας· τὸ δ' ἄστυ κατῳκισμένον ὧδ' ἦν ἐν τῷ τότε χρόνῳ, πρῶτον μὲν τὸ τῆς ἀκροπόλεως εἶχε τότε οὐχ ὡς τὰ νῦν ἔχει. νῦν μὲν γὰρ μία γενομένη νὺξ ὑγρὰ διαφερόντως γῆς αὐτὴν ψιλὴν περιτήξασα πεποίηκε, σεισμῶν ἅμα καὶ πρὸ τῆς ἐπὶ Δευκαλίωνος φθορᾶς τρίτου πρότερον ὕδατος ἐξαισίου γενομένου· τὸ δὲ πρὶν ἐν ἑτέρῳ χρόνῳ μέγεθος μὲν ἦν πρὸς τὸν Ἠριδανὸν καὶ τὸν Ἴλισὸν ἀποβεβηκυῖα καὶ περιειληφυῖα ἐντὸς 112
τὴν Πύκνα καὶ τὸν Λυκαβηττὸν ὅρον ἐκ τοῦ κατανταρὺ τῆς Πυκνὸς ἔχουσα, γεώδης δ' ἦν πᾶσα καὶ
20 πλὴν ὀλίγων ἐπίπεδος ἄνωθεν. ᾠκεῖτο δὲ τὰ μὲν ἔξωθεν, ὑπ' αὐτὰ τὰ πλάγια αὐτῆς, ὑπὸ τῶν δημιουργῶν καὶ τῶν γεωργῶν ὅσοι πλησίον ἐγεώργουν· τὰ δ' ἐπάνω

viscera demittebat, unde passim iuges fluviorum fontiumque liquores scaturiebant: quorum etiam nunc in veteribus fontibus sacra quaedam signa relicta conspiciuntur. quapropter in praesentia de his vera narrantur. atque haec erat regionis huius conditio. excolebatur praeterea tunc ab agricultoribus, ut consentaneum est, et veris et ad eadem haec intentis, ingeniosis profecto viris et honestorum admodum studiosis, solum fertile nactis, aquam copiosissimam, temperiem aëris singulis anni temporibus saluberrimam. Urbs autem eo tempore sic instituta. primo quidem arcis tunc alia quam nunc erat dispositio. nunc enim unius noctis illuvio terra nudatam ipsam diluit et terrae concussione collisit, et ante illud tempore Deucalionis exitium post tertiam inundationem factum similiter traditur accidisse. superiori vero tempore magnitudo eius usque ad Eridanum Ilissumque protensa, Pnycem intus et Lycabetum comprehendebat, terminum e regione Pnycis habens. terrena erat omnis, paucisque exceptis plana superne. colebantur exteriora eius sub transversis ipsius partibus ab artificibus agricolisque, qui proxime agros colebant, superna milites soli prope Minervae

τὸ μάχιμον αὐτὸ καθ' αὑτὸ μόνον γένος περὶ τὸ τῆι Ἀθηνᾶς Ἡφαίστου τε ἱερὸν κατῳκήκειν, οἷον μιᾶς οἰκίας κῆπον ἑνὶ περιβόλῳ προσπεριβεβλημένοι. τὰ γὰρ πρὸς βορρᾶ αὐτῆς ᾤκουν οἰκίας κοινὰς καὶ ξυσσίτια χειμερινὰ κατεσκευασμένοι καὶ πάντα ὅσα πρέποντα ἦν τῇ κοινῇ πολιτείᾳ δι' οἰκοδομιήσεων ὑπάρχειν αὐτῶν καὶ τῶν ἱερῶν, ἄνευ χρυσοῦ καὶ ἀργύρου· τούτοις γὰρ οὐδὲν οὐδαμόσε προσεχρῶντο, ἀλλὰ τὸ μέσον ὑπερηφανίας καὶ ἀνελευθερίας μεταδιώκοντες κοσμίας ᾠκοδομοῦντο οἰκήσεις, ἐν αἷς αὐτοί τε καὶ ἐκγόνων ἔκγονοι καταγηρῶντες ἄλλοις ὁμοίοις τὰς αὐτὰς ἀεὶ παρεδίδοσαν· τὰ δὲ πρὸς νότου κήπους καὶ γυμνάσια συσσίτιά τε ἀνέντες οἷα θέρους κατεχρῶντο ἐπὶ ταῦτα αὐτοῖς. κρήνη δ' ἦν μία κατὰ τὸν τῆς νῦν ἀκροπόλεως τόπον, ἧς ἀποσβεσθείσης ὑπὸ τῶν σεισμῶν τὰ νῦν νάματα σμικρὰ κύκλῳ καταλέλειπται, τοῖς δὲ τότε πᾶσι παρεῖχεν ἄφθονον ῥεῦμα, εὐκρὰς οὖσα πρὸς χειμῶνά τε καὶ θέρος. τούτῳ δὴ κατῴκουν τῷ σχήματι, τῶν μὲν αὐτῶν πολιτῶν φύλακες, τῶν δὲ ἄλλων Ἑλλήνων ἡγεμόνες ἑκόντων, πλῆθος δὲ διαφυλάττοντες ὅτι μάλιστα ταὐτὸν ἑαυτῶν εἶναι πρὸς τὸν ἀεὶ χρόνον ἀνδρῶν

Vulcanique templum inhabitabant, veluti aedis unius viridarium uno ambitu circumdati. loca eius ad Boream versa colebant communes aedes habentes atque coenacula, quibus hieme communia parabant convivia, et quaecunque communi civitatis vitae conveniebant per domorum institutionem tam in his quam in sacris, sine auro et argento servabant, nulla siquidem in re unquam his utebantur: verum medium inter superbiam illiberalitatemque secuti honestas habitationes struebant, in quibus et ipsi consenescentes et nati natorum, eas posteris sibi similibus relinquebant. hortis vero gymnasiisque et coenaculis Austrum versus expositis utebantur aestate. erat fons unus, ubi nunc arcis est locus: quo ob terrae motum exhausto rivuli circum exigui relicti sunt. tunc autem affatim omnibus humorem suggerebat irriguum: cuius erat ad aestatem atque hiemem temperies salutaris. hac illi ratione loca haec habitabant, civium quidem suorum custodes, ceterorum vero Graecorum volentium duces, observantes in primis, ut semper idem illorum esset numerus, virorum videlicet feminarumque iam in re

καὶ γυναικῶν, τὸ δυνατὸν πολεμεῖν ἤδη καὶ τὸ ἔτι, περὶ δύο μάλιστα ὄντες μυριάδας.

Οὗτοι μὲν οὖν δὴ τοιοῦτοί τε ὄντες αὐτοὶ καὶ τινα τοιοῦτον ἀεὶ τρόπον τήν τε ἑαυτῶν καὶ τὴν Ἑλλάδα δίκῃ διοικοῦντες, ἐπὶ πᾶσαν Εὐρώπην καὶ Ἀσίαν κατά τε σωμάτων κάλλη καὶ κατὰ τὴν τῶν ψυχῶν παντοίαν ἀρετὴν ἐλλόγιμοί τε ἦσαν καὶ ὀνομαστότατοι πάντων τῶν τότε· τὰ δὲ δὴ τῶν ἀντιπολεμησάντων αὐτοῖς οἷα αὖ ἦν ὡς τε ἀπ' ἀρχῆς ἐγένετο, μνήμης ἂν μὴ στερηθῶμεν ὧν ἔτι παῖδες ὄντες ἠκούσαμεν, εἰς τὸ μέσον αὐτὰ νῦν ἀποδώσομεν ὑμῖν τοῖς φίλοις εἶναι κοινά.

Τὸ δ' ἔτι βραχὺ πρὸ τοῦ λόγου δεῖ δηλῶσαι, μὴ πολλάκις ἀκούοντες Ἑλληνικὰ βαρβάρων ἀνδρῶν ὀνόματα θαυμάζητε· τὸ γὰρ αἴτιον αὐτῶν πεύσεσθε. Σόλων ἂν' ἐπινοῶν εἰς τὴν αὑτοῦ ποίησιν καταχρήσασθαι τῷ λόγῳ, διαπυνθανόμενος τὴν τῶν ὀνομάτων δύναμιν, εὗρε τούς τε Αἰγυπτίους τοὺς πρώτους ἐκείνους αὐτὰ γραψαμένους εἰς τὴν αὑτῶν φωνὴν μετενηνοχότας, αὐτός τε αὖ πάλιν ἑκάστου τὴν διάνοιαν ὀνόματος ἀναλαμβάνων εἰς τὴν ἡμετέραν ἄγων φωνὴν ἀπεγράφετο. καὶ ταῦτά γε δὴ τὰ γράμματα παρὰ τῷ πάππῳ τ' ἦν καὶ ἔτ' ἐξὶ παρ' ἐμοὶ νῦν διαμεμελέτη-

bellica fortium: neque minor erat unquam viginti millibus numerus militum. Cum igitur tales illi essent, semperque ratione huiusmodi patriam suam et universam Graeciam iuste disponerent, per omnem Europam et Asiam tam egregio corporis habitu quam innumeris animi dotibus omnium, qui tunc erant, probatissimi et clarissimi habebantur. deinceps vero quales adversariorum ab initio res essent, nisi forte, quae pueri audivimus, e memoria exciderunt, vobiscum tanquam amicis communicabimus. Sed antequam referam, admonendi estis, ne miremini, si plurima barbarorum nomina Graece nunc audieritis. id enim ex eo contigit, quia Solon, cum cogitaret illa carminibus suis inserere, vim ipsam est nominum perscrutatus, invenitque primos illos Aegyptios harum rerum scriptores in eorum vocem ea nomina transtulisse. quare et ipse rursus uniuscuiusque nominis sensum accipiens, in vocem nostram convertit. atque haec scripta apud avum meum erant, et nunc adhuc apud me sunt: quae a pueritia meditatus

κρατες. εἰ δὴ δικαίως αἰτεῖν φαίνομαι τὴν δωρεάν, ἑκόντες δίδοτε.

ΣΩ. Τί δ' οὐ μέλλομεν, ὦ Κριτία, διδόναι; καὶ πρός γ' ἔτι τρίτῳ δεδόσθω ταὐτὸν τοῦτο Ἑρμοκράτει παρ' ἡμῶν. δῆλον γὰρ ὡς ὀλίγον ὕστερον, ὅταν αὐτὸν δέῃ λέγειν, παραιτήσεται καθά περ ὑμεῖς· ἵν' οὖν ἑτέραν ἀρχὴν ἐκπορίζηται καὶ μὴ τὴν αὐτὴν ἀναγκασθῇ λέγειν, ὡς ὑπαρχούσης αὐτῷ συγγνώμης εἰς τότε οὕτω λεγέτω. προλέγω γε μὴν ὦ φίλε Κριτία σοι τὴν τοῦ θεάτρου διάνοιαν, ὅτι θαυμαστῶς ὁ πρότερος εὐδοκίμησεν ἐν αὐτῷ ποιητής, ὥστε τῆς συγγνώμης δεήσει τινός σοι παμπόλλης, εἰ μέλλεις αὐτὰ δυνατὸς γενέσθαι παραλαβεῖν.

ΕΡ. Ταὐτὸν μήν, ὦ Σώκρατες, κἀμοὶ παραγγέλλεις ὅ περ τῷδε. Ἀλλὰ γὰρ ἀθυμοῦντες ἄνδρες οὔπω τρόπαιον ἔστησαν, ὦ Κριτία· προϊέναι τε οὖν ἐπὶ τὸν λόγον ἀνδρείως χρή, καὶ τὸν Παίωνά τε καὶ τὰς Μούσας ἐπικαλούμενον τοὺς παλαιοὺς πολίτας ἀγαθοὺς ὄντας ἀναφαίνειν τε καὶ ὑμνεῖν.

ΚΡ. Ὦ φίλε Ἑρμόκρατες, τῆς ὑστέρας τεταγμένος, ἐπίπροσθεν ἔχων ἄλλον ἔτι θαρρεῖς. τοῦτο μὲν οὖν οἷόν ἐστιν, αὐτό σοι τάχα δηλώσει· παραμυθου-

quae restant, expetere. vos autem, si iusta petere videor, ultro hanc veniam largiamini. *So.* Nihil obstat, o Critia. quo minus tibi, quod postulas, tribuatur. quin etiam Hermocrati hoc idem a nobis tertio detur. constat enim hunc paulo post, cum dicturus erit, eadem precaturum. ut igitur aliter exordiatur neque eadem cogatur repetere, sciat veniam sibi esse tributam, et quasi id constet, ad dicendum protinus accingatur. Praedico autem tibi, o amice Critia, theatri sententiam, quod poëta prior in eo mirifice est probatus. quapropter plurima tibi venia opus erit, si ea sufficienter es comprehensurus. *Her.* Idem mihi, o Socrates, quod et isti, nuntias. ceterum segnes pusillanimesque nunquam palmam consecuti sunt, Critia. sermonem igitur aggredi forti animo decet, ab Phoebo Musisque vocatis antiquos cives, excellentes viros, summis laudibus illustrare. *Cri.* O amice Hermocrates, cum postera tibi dies assignata sit, dicentem alium es secuturus, ideoque confidis. quale vero id sit, ipse tibi forsitan declarabit. exhortanti

μένῳ δ' οὖν καὶ παραθαρρύνοντί σοι πειστέον, καὶ πρὸς οἷς θεοῖς εἶπες, τούς τε ἄλλους κλητέον καὶ δὴ καὶ τὰ μάλιστα Μνημοσύνην. σχεδὸν γὰρ τὰ μέγιστα ἡμῖν τῶν λόγων ἐν ταύτῃ τῇ θεῷ πάντ' ἐστί· μνησθέντες γὰρ ἱκανῶς καὶ ἀπαγγείλαντες τά ποτε ῥηθέντα ὑπὸ τῶν ἱερέων καὶ δεῦρο ὑπὸ Σόλωνος κομισθέντα, σχεδὸν οἶδ' ὅτι τῷδε τῷ θεάτρῳ δόξομεν τὰ προσήκοντα μετρίως ἀποτετελεκέναι. τοῦτ' οὖν αὐτὸ ἤδη δραστέον, καὶ μελλητέον οὐδὲν ἔτι.

Πάντων δὴ πρῶτον μνησθῶμεν ὅτι τὸ κεφάλαιον ἦν ἐνάκις χίλια ἔτη ἀφ' οὗ γεγονὼς ἐμηνύθη πόλεμος τοῖς δ' ὑπὲρ Ἡρακλείας στήλας ἔξω κατοικοῦσι καὶ τοῖς ἐντὸς πᾶσιν· ὃν δεῖ νῦν διαπεραίνειν. τῶν μὲν οὖν ἥδε ἡ πόλις ἄρξασα καὶ πάντα τὸν πόλεμον διαπολεμήσασα ἐλέγετο, τῶν δ' οἱ τῆς Ἀτλαντίδος νήσου βασιλεῖς, ἣν δὴ Λιβύης καὶ Ἀσίας μείζω νῆσον οὖσαν ἔφαμεν εἶναί ποτε, νῦν δὲ ὑπὸ σεισμῶν δῦσαν ἄπορον πηλὸν τοῖς ἐνθένδε ἐκπλέουσιν ἐπὶ τὸ πᾶν πέλαγος, ὥστε μηκέτι πορεύεσθαι, κωλυτὴν παρασχεῖν. τὰ μὲν δὴ πολλὰ 109
ἔθνη βάρβαρα, καὶ ὅσα Ἑλλήνων ἦν γένη τότε, καθ' ἕκαστα ἡ τοῦ λόγου διέξοδος οἷον ἀνειλομένη, τὸ

itaque tibi et ad rem ipsam penitus inflammanti parendum: et ultra Deos, quos tu memorabas, alios insuper invocare decet, praecipueque Mnemosynem, id est memoriam: ferme namque maxima quaeque sermonum nostrorum in hac dea constistunt. nempe si sufficienter meminerimus recensuerimusque nunc vobis, quae quondam a sacerdotibus tradita a Solone huc advecta fuerunt, videbimur theatro huic, ut arbitror, satis quae conveniunt peregisse. hoc itaque iam agendum, neque ultra cunctandum. Primum autem commemoremus, quod summa erat annorum novem millium, ex quo bellum exstitisse traditum est inter eos omnes qui ultra et eos qui citra columnas Herculis habitant, quod in praesentia enarraturi sumus. horum quidem dux fuit haec civitas, bellumque omne, ut dicitur, confecit: illorum autem insulae Atlanticae reges, quam insulam Libya Asiaque maiorem fuisse quandoque perhibuimus, postea vero coenum ibi invium, submersa insula ex terrae concussione, relictum, quod quidem hinc illuc altum in mare navigantibus obstat, ne ultra enavigare liceat. gentes quidem barbaras, quae tunc erant, Graecasque generatim orationis ipsius progressus passim, prout occasio dabitur, enarrabit: Athenien-

προςτυχὸν ἑκαςαχοῦ δηλώσει· τὸ δὲ Ἀθηναίων τε τῶν τότε καὶ τῶν ἐναντίων, οἷς διεπολέμησαν, ἀνάγκη κατ' ἀρχὰς διελθεῖν πρῶτα, τήν τε δύναμιν ἑκατέρων καὶ τὰς πολιτείας. αὐτῶν δὲ τούτων τὰ τῇδε ἔμπροσθεν προτιμητέον εἰπεῖν.

Θεοὶ γὰρ ἅπασαν γῆν ποτὲ κατὰ τοὺς τόπους διελάγχανον, οὐ κατ' ἔριν· οὐ γὰρ ἂν ὀρθὸν ἔχοι λόγον θεοὺς ἀγνοεῖν τὰ πρέποντα ἑκάςοις αὑτῶν, οὐδ' αὖ γιγνώσκοντας τὸ μᾶλλον ἄλλοις προςῆκον τοῦτο ἑτέρους αὑτοῖς δι' ἐρίδων ἐπιχειρεῖν κτᾶσθαι. δίκης δὴ κλήροις τὸ 1(
φίλον λαγχάνοντες κατῴκιζον τὰς χώρας, καὶ κατοικίσαντες, οἷον νομῆς ποίμνια, κτήματα καὶ θρέμματα ἑαυτῶν ἡμᾶς ἔτρεφον, πλὴν οὐ σώμασι σώματα βιαζόμενοι, καθά περ ποιμένες κτήνη πληγῇ νέμοντες, ἀλλ' ᾗ μάλιςα εὔστροφον ζῶον, ἐκ πρύμνης ἀπευθύνοντες οἷον οἴακι πειθοῖ ψυχῆς ἐφαπτόμενοι κατὰ τὴν αὐτῶν διάνοιαν, οὕτως ἄγοντες τὸ θνητὸν πᾶν ἐκυβέρνων. ἄλλοι μὲν οὖν κατ' ἄλλους τόπους κληρουχήσαντες θεῶν ἐκεῖνα ἐκόσμουν, Ἥφαιςος δὲ κοινὴν καὶ Ἀθηνᾶ φύσιν ἔχοντες, ἅμα μὲν 2
ἀδελφὴν ἐκ ταὐτοῦ πατρός, ἅμα δὲ φιλοσοφίᾳ φιλοτε-

sium autem, qui tunc erant, adversariorumque vires in primis res publicasque, et belli ordinem atque successum, exponere decet, horum vero ipsorum nostra primum narrabimus. Dii quondam universum terrae orbem sigillatim sortiti sunt, in regiones singulas distributum. neque partitionem hanc contentio fecit. nam procul a ratione id esset, quod Dii vel quae unicuique ipsorum conveniunt, ignorarent, vel cognoscentes, quae potius aliis competunt, aliena iura vicissim usurpare contenderent. ceterum iudicii iurisque sortibus sua quaeque ad votum suscipientes, curantesque amicorum singula, regiones habitandas disposuerunt: hosque veluti greges ipsorum possessionesque et armenta nutrivere, hoc tamen excepto, quod corporibus corpora cogere noluerunt, quemadmodum plagis pecora iumentaque pastores: at vero tanquam docile et obediens animal, quasi ex puppe ratem agilem dirigentes, persuasione pro gubernaculis utebantur, eaque animam attingebant, et ad mentem ipsorum ita ducentes mortale genus omne gubernabant. et alii quidem Dii aliorum locorum gubernationem sortiti ea instituebant. Vulcanus autem Minervaque, naturam habentes communem, tum quia eodem ex patre sunt, tum quia per

γνία τε ἐπὶ τὰ αὐτὰ ἐλθόντες, οὕτω μίαν ἅμφω λῆξιν τήνδε τὴν χώραν εἰλήχατον ὡς οἰκείαν καὶ πρόσφορον ἀρετῇ καὶ φρονήσει πεφυκυῖαν, ἄνδρας δὲ ἀγαθοὺς ἐριποιήσαντες αὐτόχθονας ἐπὶ νοῦν ἔθεσαν τὴν τῆς πολιτείας τάξιν· ὧν τὰ μὲν ὀνόματα σεσωται, τὰ δὲ ἔργα διὰ τὰς τῶν παραλαμβανόντων φθορὰς καὶ τὰ μήκη τῶν χρόνων ἠφανίσθη. τὸ γὰρ περιλειπόμενον ἀεὶ γένος, ὡς περ καὶ πρόσθεν ἐρρήθη, κατελείπετο ὄρειον καὶ ἀγράμματον, τῶν ἐν τῇ χώρᾳ δυναστῶν τὰ ὀνόματα ἀκηκοὸς μόνον καὶ βραχέα πρὸς αὐτοῖς τῶν ἔργων, τὰ μὲν οὖν ὀνόματα τοῖς ἐκγόνοις ἐτίθεντο ἀγαπῶντες, τὰς δὲ ἀρετὰς καὶ τοὺς νόμους τῶν ἔμπροσθεν οὐκ εἰδότες, εἰ μὴ σκοτεινὰς περὶ ἑκάστων τινὰς ἀκοάς, ἐν ἀπορίᾳ δὲ τῶν ἀναγκαίων ἐπὶ πολλὰς γενεὰς ὄντες καὶ αὐτοὶ καὶ παῖδες, πρὸς οἷς ἠπόρουν τὸν νοῦν ἔχοντες, τούτων πέρι καὶ τοὺς λόγους ποιούμενοι, τῶν ἐν τοῖς πρόσθεν καὶ πάλαι ποτὲ γεγονότων ἠμέλουν· μυθολογία γὰρ ἀναζήτησίς τε τῶν παλαιῶν μετὰ σχολῆς ἅμ' ἐπὶ τὰς πόλεις ἔρχεσθον, ὅταν ἤδητόν τισιν ἤδη τοῦ βίου τἀναγκαῖα κατεσκευασμένα, πρὶν δὲ οὔ. ταύτῃ δὴ τὰ τῶν παλαιῶν ὀνό-

sapientiae studium perque artium diligentiam ad eadem tendunt, ita communem sortem hanc nacti sunt regionem, utpote virtuti prudentiaeque naturā propriam atque congruam: procreantesque in ea viros indigenas admodum generosos, eorum mentibus rei publicae ordinem infuderunt. quorum duntaxat nomina restiterunt, opera vero propter eorum, qui acceperunt, interitum et longa temporum intervalla e memoria hominum deleta sunt. semper enim superstes hominum genus, ut in superioribus diximus, montivagum atque rude, cui potentum in regione virorum nomina solum audita: at praeter haec ex rebus gestis exiguae quaedam notae fuerunt. quapropter filiis suis posteri quodam amoris affectu nomina priscorum imposuerunt, virtutum legumque superiorum ignari: nihil enim de his habebant praeter auditum, et hunc non satis certum. cum vero multa per secula rebus ad victum necessariis indigerent, ipsique et filii mentem his adhiberent, quorum penuria premebantur, deque his verba facerent, rerum antiquarum memoriam neglexerunt. confabulatio enim priscarumque rerum investigatio in civitatibus cum otio simul oriri consueverunt, cum necessaria vitae parata iam sunt; prius vero nequaquam. at-

ματα ἄνευ τῶν ἔργων διασέσωται. λέγω δὲ αὐτὰ τεκμαιρόμενος ὅτι Κέκροπός τε καὶ Ἐρεχθέως καὶ Ἐριχθονίου καὶ Ἐρυσίχθονος τῶν τε ἄλλων τὰ πλεῖστα, ὅσα περ καὶ Θησέως τῶν ἄνω περὶ τῶν ὀνομάτων ἐκάστων ἀπομνημονεύεται, τούτων ἐκείνους τὰ πολλὰ ἐπονομάζοντας τοὺς ἱερέας Σόλων ἔφη τὸν τότε δηγεῖσθαι πόλεμον, κἄτα τῶν γυναικῶν κατὰ ταὐτά. καὶ δὴ καὶ τὸ τῆς θεοῦ σχῆμα καὶ ἄγαλμα, ὡς κοινὰ τότ' ἦν τὰ ἐπιτηδεύματα ταῖς τε γυναιξὶ καὶ τοῖς ἀνδράσι τὰ περὶ τὸν πόλεμον, οὕτω κατ' ἐκεῖνον τὸν νόμον ὡπλισμένην τὴν θεὸν ἀνάθημα εἶναι τοῖς τότε, ἔνδειγμα ὅτι πανθ' ὅσα ξύννομα ζῷα θήλεα καὶ ὅσα ἄῤῥενα, τὴν προσήκουσαν ἀρετὴν ἑκάστῳ γένει πᾶν κοινῇ δυνατὸν ἐπιτηδεύειν πέφυκεν. Ὤικει δὲ δὴ τότ' ἐν τῇδε τῇ χώρᾳ τὰ μὲν ἄλλα ἔθνη τῶν πολιτῶν περὶ τὰς δημιουργίας ὄντα καὶ τὴν ἐκ τῆς γῆς τροφήν, τὸ δὲ μάχιμον ὑπ' ἀνδρῶν θείων κατ' ἀρχὰς ἀφορισθὲν ᾤκει χωρίς, πάντα εἰς τροφὴν καὶ παίδευσιν τὰ προσήκοντα ἔχον, ἴδιον μὲν αὐτῶν οὐδεὶς οὐδὲν κεκτημένος, ἅπαντα δὲ πάντων κοινὰ νομίζοντες αὐτῶν, πέρα δὲ ἱκανῆς τροφῆς οὐδὲν ἀξιοῦντες παρὰ τῶν ἄλλων δέχεσθαι πο-

que ita priscorum nomina sunt absque operibus reservata. dico autem haec ita coniectans, quoniam inquit Solon sacerdotes illos in veteris belli narratione plurima inseruisse nomina posteris persimilia, ut Cecropem, Erechtheum, Erichthonium, Erisichthonem, aliaque ex his, quae supra Theseum memorantur. mulierum quoque nomina similiter atque opera eadem, Deaeque Palladis figuram et statuam, ita ut belli studia viris tunc essent mulieribusque communia. nempe ea tempestate armatam Deam palam elatam exstitisse, exemplum daturam omnibus, quod in singulis animalium gregibus mas feminaque sortis eiusdem, pro generis cuiusque virtute ita natura instituta sunt, ut aggredi omnia communiter valeant. habitabant profecto tunc in hac regione alia genera civium, qui in artium operibus et agricultura versabantur. milites autem, a divinis viris principio segregati, seorsum vivebant, habentes omnia tum ad alimenta tum ad educationem conferentia. quorum nullus proprium aliquid possidebat: nam communia inter se cuncta existimabant. ultra vero victus ipsius sufficientiam nihil ab aliis civibus exige-

λιτῶν, καὶ πάντα δὴ τὰ χθὲς λεχθέντα ἐπιτηδεύματα ἐπιτηδεύοντες, ὅσα περὶ τῶν ὑποτεθέντων ἐῤῥήθη φυλάκων. Καὶ δὴ καὶ τὸ περὶ τῆς χώρας ἡμῶν πιθανὸν καὶ ἀληθὲς ἐλέγετο, πρῶτον μὲν τοὺς ὅρους αὐτὴν ἐν τῷ τότε ἔχειν ἀφωρισμένους πρὸς τὸν Ἰσθμὸν καὶ τὸ κατὰ τὴν ἄλλην ἤπειρον μέχρι τοῦ Κιθαιρῶνος καὶ Πάρνηθος τῶν ἄκρων, καταβαίνειν δὲ τοὺς ὅρους ἐν δεξιᾷ τὴν Ὠρωπίαν ἔχοντας, ἐν ἀριστερᾷ δὲ πρὸς θαλάττης ἀφορίζοντας τὸν Ἀσωπόν, ἀρετῇ δὲ πᾶσαν γῆν ὑπὸ τῆς ἐνθάδε ὑπερβάλλεσθαι, διὸ καὶ δυνατὴν εἶναι τότε τρέφειν τὴν χώραν στρατόπεδον πολὺ τῶν περὶ τὴν γῆν ἀργὸν ἔργων. μέγα δὲ τεκμήριον ἀρετῆς· τὸ γὰρ νῦν αὐτῆς λείψανον ἐναμιλλόν ἐστι πρὸς ἥντινοῦν τῷ πάμφορον εὔκαρπόν τε εἶναι καὶ τοῖς ζώοις πᾶσιν εὔβοτον. τότε δὲ πρὸς τῷ κάλλει καὶ παμπλήθη 111
ταῦτα ἔφερε. πῶς οὖν δὴ τοῦτο πιστόν, καὶ κατὰ τί λείψανον τῆς τότε γῆς ὀρθῶς ἂν λέγοιτο; πᾶσα ἀπὸ τῆς ἄλλης ἠπείρου μακρὰ προτείνουσα εἰς τὸ πέλαγος οἷον ἄκρα κεῖται· τὸ δὴ τῆς θαλάττης ἄγγειον περὶ αὐτὴν τυγχάνει πᾶν ἀγχιβαθὲς ὄν. πολλῶν οὖν γεγονότων καὶ μεγάλων κατακλυσμῶν ἐν τοῖς ἐνακισχιλίοις

bant: exercebantque ea omnia, quae heri de custodibus, quos descripsimus, exposita sunt. Quin etiam vere illud et probabiliter de regione nostra est dictum, primum quidem illis temporibus fines suos versus Isthmum habuisse distinctos, quodque vergebat in partem alteram continentis usque ad summum Cithaeronem atque Parnethem; qui fines ipso descensu ad dexteram Oropiam habuerint, ad sinistram versus mare Asopum distinguentes. virtute vero universam terram ab hac exsuperatam fuisse traditur. quapropter potuisse tunc regionem hanc universum circagarum exercitum alere. argumentum plane virtutis eius evidentissimum, quia, quod ex ea reliquum est, cum quavis alia hoc ipso certare potest, quod et fert omnia, et fructus profert optimos, pascuisque abundat animali cuique accommodatis. tunc vero non modo speciosa haec omnia, sed etiam uberrima producebat. quanam ratione id probabile? quibusve indiciis, has esse reliquias illius terrae, coniectari potest? omnis ab alia continenti in pelagus longe porrecta extrema quodammodo iacet: quam altitudo maris proxima passim profunditate circumdat. cum itaque multa ingentiaque diluvia in annorum novem millium intervallo praecesserint, tot enim ex

ἔτεσι, τοσαῦτα γὰρ πρὸς τὸν νῦν ἀπ' ἐκείνου τοῦ χρόνου γέγονεν ἔτη, τὸ τῆς γῆς ἐν τούτοις τοῖς χρόνοις καὶ πάθεσιν ἐκ τῶν ὑψηλῶν ἀποῤῥέον οὔτε χῶμα, ὡς ἐν ἄλλοις τόποις, προχοῖ λόγου ἄξιον ἀεί τε κύκλῳ περιῤῥέον εἰς βάθος ἀφανίζεται· λέλειπται δή, καθά περ ἐν ταῖς μακραῖς νόσοις, πρὸς τὰ τότε τὰ νῦν οἷον νοσήσαντος σώματος ὀξᾶ, περιερῥυηκυίας τῆς γῆς ὅση πίειρα καὶ μαλακή, τοῦ λεπτοῦ σώματος τῆς χώρας μόνου λειφθέντος. τότε δὲ ἀκέραιος οὖσα τά τε ὄρη γηλόφους ὑψηλοὺς εἶχε, καὶ τὰ Φελλέως νῦν ὀνομασθέντα πεδία πλήρη γῆς πιείρας ἐκέκτητο, καὶ πολλὴν ἐν τοῖς ὄρεσιν ὕλην εἶχεν, ἧς καὶ νῦν ἔτι φανερὰ τεκμήρια· τῶν γὰρ ὀρῶν ἔστιν ἃ νῦν μὲν ἔχει μελίτταις μόναις τροφήν, χρόνος δ' οὐ πάμπολυς ὅτε δένδρων αὐτόθεν εἰς οἰκοδομήσεις τὰς μεγίστας ἐρεψίμων τμηθέντων ξεγώσματ' ἐστὶν ἔτι σᾶ. πολλὰ δ' ἦν ἄλλ' ἤμερα ὑψηλὰ δένδρα, νομὴν δὲ βοσκήμασιν ἀμήχανον ἔφερε. καὶ δὴ καὶ τὸ κατ' ἐνιαυτὸν ὕδωρ ἐκαρποῦτο ἐκ Διός, οὐχ ὡς νῦν ἀπολλῦσα ῥέον ἀπὸ ψιλῆς τῆς γῆς εἰς θάλατταν, ἀλλὰ πολλὴν ἔχουσα καὶ εἰς αὐτὴν καταδεχομένη, τῇ κεραμίδι ξεγούσῃ γῇ διαταμιευομένη καὶ τὸ κατα-

illo tempore ad praesens anni fluxere, tellus his temporibus colluvionibusque ex altis defluens, et tumulos ferme nullos, ut alibi solet, exaggerat, et semper circum decidens in profundum occulitur. quapropter relicta sunt, quemadmodum in angustis insulis, praesentia haec ad illa, quasi corpore per morbum extenuato ossa detersa nudataque terra molli quondam et pingui: solum vero tenue corpus atque aridum restitit. olim integra terra altissimos montium colles habebat: et agri, qui nunc Phyllei nominantur, solo pingui fertiles erant: silva in montium vertice frequens, cuius nunc etiam coniecturae quaedam apparent, sunt enim montes nonnulli, qui solas nunc apes pascunt: olim vero, nec multo tamen anteacto tempore, ingentes inde incisae arbores, operimentis et trabibus conficiendis aptissimae: ex quibus aedium amplissimarum confectae texturae adhuc exstant. erant et aliae multae arbores domesticae, mites atque procerae: quin etiam pascua pecorum uberrima. praeterea regio haec quotannis ab Iove frugiferam pluviam hauriebat: neque, ut nunc, per declive praeruptumque diluta ex terra in mare aquam fundebat, sed hanc ex altis abunde al sorptam tenaci quadam concavitate recondens combibensque in

ποθὲν ἐκ τῶν ὑψηλῶν ὕδωρ εἰς τὰ κοῖλα ἀφιεῖσα, κατὰ πάντας τοὺς τόπους παρείχετο ἄφθονα κρηνῶν καὶ ποταμῶν νάματα, ὧν καὶ νῦν ἔτι ἐπὶ ταῖς πηγαῖς πρότερον οὔσαις ἱερὰ λελειμμένα ἐξὶ σημεῖα ὅτι περὶ αὐτῆς ἀληθῆ λέγεται. Τὰ μὲν οὖν τῆς ἄλλης χώρας φύσει τε οὕτως εἶχε, καὶ διεκεκόσμητο ὡς εἰκὸς ὑπὸ γεωργῶν μὲν ἀληθινῶν καὶ πραττόντων αὐτὸ τοῦτο, φιλοκάλων δὲ καὶ εὐφυῶν, γῆν δὲ ἀρίστην καὶ ὕδωρ ἀφθονώτατον ἐχόντων καὶ ὑπὲρ τῆς γῆς ὥρας μεθριώτατα κεκραμένας· τὸ δ' ἄστυ κατῳκισμένον ὧδ' ἦν ἐν τῷ τότε χρόνῳ, πρῶτον μὲν τὸ τῆς ἀκροπόλεως εἶχε τότε οὐχ ὡς τὰ νῦν ἔχει. νῦν μὲν γὰρ μία γενομένη νὺξ ὑγρὰ διαφερόντως γῆς αὐτὴν ψιλὴν περιτήξασα πεποίηκε, σεισμῶν ἅμα καὶ πρὸ τῆς ἐπὶ Δευκαλίωνος φθορᾶς τρίτου πρότερον ὕδατος ἐξαισίου γενομένου· τὸ δὲ πρὶν ἐν ἑτέρῳ χρόνῳ μέγεθος μὲν ἦν πρὸς τὸν Ἠριδανὸν καὶ τὸν Ἴλισὸν ἀποβεβηκυῖα καὶ περιειληφυῖα ἐντὸς τὴν Πύκνα καὶ τὸν Λυκαβηττὸν ὅρον ἐκ τοῦ καταντικρὺ τῆς Πυκνὸς ἔχουσα, γεώδης δ' ἦν πᾶσα καὶ πλὴν ὀλίγων ἐπίπεδος ἄνωθεν. ὠκεῖτο δὲ τὰ μὲν ἔξωθεν, ὑπ' αὐτὰ τὰ πλάγια αὐτῆς, ὑπὸ τῶν δημιουργῶν καὶ τῶν γεωργῶν ὅσοι πλησίον ἐγεώργουν· τὰ δ' ἐπάνω 112

viscera demittebat, unde passim iuges fluviorum fontiumque liquores scaturiebant: quorum etiam nunc in veteribus fontibus sacra quaedam signa relicta conspiciuntur. quapropter in praesentia de his vera narrantur. atque haec erat regionis huius conditio. excolebatur praeterea tunc ab agricultoribus, ut consentaneum est, et veris et ad eadem haec intentis, ingeniosis profecto viris et honestorum admodum studiosis, solum fertile nactis, aquam copiosissimam, temperiem aëris singulis anni temporibus saluberrimam. Urbs autem eo tempore sic instituta. primo quidem arcis tunc alia quam nunc erat dispositio. nunc enim unius noctis illuvio terra nudatam ipsam diluit et terrae concussione collisit, et ante illud tempore Deucalionis exitium post tertiam inundationem factum similiter traditur accidisse. superiori vero tempore magnitudo eius usque ad Eridanum Ilissumque protensa, Pnycem intus et Lycabetum comprehendebat, terminum e regione Pnycis habens. terrena erat omnis, paucisque exceptis plana superne. colebantur exteriora eius sub transversis ipsius partibus ab artificibus agricolisque, qui proxime agros colebant, superna milites soli prope Minervae

τὸ μάχιμον αὐτὸ καθ' αὑτὸ μόνον γένος περὶ τὸ τῆς Ἀθηνᾶς Ἡφαίστου τε ἱερὸν κατῳκήκειν, οἷον μιᾶς οἰκίας κῆπον ἑνὶ περιβόλῳ προσπεριβεβλημένοι. τὰ γὰρ πρὸς βορρᾶ αὐτῆς ᾤκουν οἰκίας κοινὰς καὶ ξυσσίτια χειμερινὰ κατεσκευασμένοι καὶ πάντα ὅσα πρέποντα ἦν τῇ κοινῇ πολιτείᾳ δι' οἰκοδομιήσεων ὑπάρχειν αὐτῶν καὶ τῶν ἱερῶν, ἄνευ χρυσοῦ καὶ ἀργύρου· τούτοις γὰρ οὐδὲν οὐδαμόσε προσεχρῶντο, ἀλλὰ τὸ μέσον ὑπερηφανίας καὶ ἀνελευθερίας μεταδιώκοντες κοσμίας ᾠκοδομοῦντο οἰκήσεις, ἐν αἷς αὐτοί τε καὶ ἐκγόνων ἔκγονοι καταγηρῶντες ἄλλοις ὁμοίοις τὰς αὐτὰς ἀεὶ παρεδίδοσαν· τὰ δὲ πρὸς νότου κήπους καὶ γυμνάσια ξυσσίτιά τε ἀνέντες οἷα θέρους κατεχρῶντο ἐπὶ ταὐτὰ αὐτοῖς. κρήνη δ' ἦν μία κατὰ τὸν τῆς νῦν ἀκροπόλεως τόπον, ἧς ἀποσβεσθείσης ὑπὸ τῶν σεισμῶν τὰ νῦν νάματα σμικρὰ κύκλῳ καταλέλειπται, τοῖς δὲ τότε πᾶσι παρεῖχεν ἄφθονον ῥεῦμα, εὐκρὰς οὖσα πρὸς χειμῶνά τε καὶ θέρος. τούτῳ δὴ κατῴκουν τῷ σχήματι, τῶν μὲν αὑτῶν πολιτῶν φύλακες, τῶν δὲ ἄλλων Ἑλλήνων ἡγεμόνες ἑκόντων, πλῆθος δὲ διαφυλάττοντες ὅτι μάλιστα ταὐτὸν ἑαυτῶν εἶναι πρὸς τὸν ἀεὶ χρόνον ἀνδρῶν

Vulcanique templum inhabitabant, veluti aedis unius viridarium uno ambitu circumdati. loca eius ad Boream versa colebant communes aedes habentes atque coenacula, quibus hieme communia parabant convivia, et quaecunque communi civitatis vitae conveniebant per domorum institutionem tam in his quam in sacris, sine auro et argento servabant, nulla siquidem in re unquam his utebantur: verum medium inter superbiam illiberalitatemque secuti honestas habitationes struebant, in quibus et ipsi consenescentes et nati natorum, eas posteris sibi similibus relinquebant. hortis vero gymnasiisque et coenaculis Austrum versus expositis utebantur aestate. erat fons unus, ubi nunc arcis est locus: quo ob terrae motum exhausto rivuli circum exigui relicti sunt. tunc autem affatim omnibus humorem suggerebat irriguum: cuius erat ad aestatem atque hiemem temperies salutaris. hac illi ratione loca haec habitabant, civium quidem suorum custodes, ceterorum vero Graecorum volentium duces, observantes in primis, ut semper idem illorum esset numerus, virorum videlicet feminarumque iam in re

καὶ γυναικῶν, τὸ δυνατὸν πολεμεῖν ἤδη καὶ τὸ ἔτι, περὶ δύο μάλιστα ὄντες μυριάδας.

Οὗτοι μὲν οὖν δὴ τοιοῦτοί τε ὄντες αὐτοὶ καὶ τινα τοιοῦτον ἀεὶ τρόπον τήν τε ἑαυτῶν καὶ τὴν Ἑλλάδα δίκῃ διοικοῦντες, ἐπὶ πᾶσαν Εὐρώπην καὶ Ἀσίαν κατά τε σωμάτων κάλλη καὶ κατὰ τὴν τῶν ψυχῶν παντοίαν ἀρετὴν ἐλλόγιμοί τε ἦσαν καὶ ὀνομαστότατοι πάντων τῶν τότε· τὰ δὲ δὴ τῶν ἀντιπολεμησάντων αὐτοῖς οἷα αὖ ἦν ὡς τε ἀπ' ἀρχῆς ἐγένετο, μνήμης ἂν μὴ σεσῳσμένων ὧν ἔτι παῖδες ὄντες ἠκούσαμεν, εἰς τὸ μέσον αὐτὰ νῦν ἀποδώσομεν ὑμῖν τοῖς φίλοις εἶναι κοινά.

Τὸ δ' ἔτι βραχὺ πρὸ τοῦ λόγου δεῖ δηλῶσαι, μὴ πολλάκις ἀκούοντες Ἑλληνικὰ βαρβάρων ἀνδρῶν ὀνόματα θαυμάζητε· τὸ γὰρ αἴτιον αὐτῶν πεύσεσθε. Σόλων ἅτ' ἐπινοῶν εἰς τὴν αὑτοῦ ποίησιν καταχρήσασθαι τῷ λόγῳ, διαπυνθανόμενος τὴν τῶν ὀνομάτων δύναμιν, εὗρε τούς τε Αἰγυπτίους τοὺς πρώτους ἐκείνους αὐτὰ γραψαμένους εἰς τὴν αὑτῶν φωνὴν μετενηνοχότας, αὐτός τε αὖ πάλιν ἑκάστου τὴν διάνοιαν ὀνόματος ἀναλαμβάνων εἰς τὴν ἡμετέραν ἄγων φωνὴν ἀπεγράφετο. καὶ ταῦτά γε δὴ τὰ γράμματα παρὰ τῷ πάππῳ τ' ἦν καὶ ἔτ' ἐξὶ παρ' ἐμοὶ νῦν διαμεμελέτη-

bellica fortium: neque minor erat unquam viginti millibus numerus militum. Cum igitur tales illi essent, semperque ratione huiusmodi patriam suam et universam Graeciam iuste disponerent, per omnem Europam et Asiam tam egregio corporis habitu quam innumeris animi dotibus omnium, qui tunc erant, probatissimi et clarissimi habebantur. deinceps vero quales adversariorum ab initio res essent, nisi forte, quae pueri audivimus, e memoria exciderunt, vobiscum tanquam amicis communicabimus. Sed antequam referam, admonendi estis, ne miremini, si plurima barbarorum nomina Graece nunc audieritis. id enim ex eo contigit, quia Solon, cum cogitaret illa carminibus suis insercre, vim ipsam est nominum perscrutatus, invenitque primos illos Aegyptios harum rerum scriptores in eorum vocem ea nomina transtulisse. quare et ipse rursus uniuscuiusque nominis sensum accipiens, in vocem nostram convertit. atque haec scripta apud avum meum erant, et nunc adhuc apud me sunt: quae a pueritia meditatus

ταί τε ὑπ' ἐμοῦ παιδὸς ὄντος. ἂν οὖν ἀκούητε τοιαῦτα οἷα καὶ τῇδε ὀνόματα, μηδὲν ὑμῖν ἔστω θαῦμα· τὸ γὰρ αἴτιον αὐτῶν ἔχετε. μακροῦ δὲ δὴ λόγου τοιάδε τις ἦν ἀρχὴ τότε.

Καθά περ ἐν τοῖς πρόσθεν ἐλέχθη περὶ τῆς τῶν θεῶν λήξεως, ὅτι κατενείμαντο γῆν πᾶσαν ἔνθα μὲν μείζους λήξεις, ἔνθα δὲ καὶ ἐλάττους, ἱερὰ θυσίας τε αὐτοῖς κατασκευάζοντες, οὕτω δὴ καὶ τὴν νῆσον Ποσειδῶν τὴν Ἀτλαντίδα λαχὼν ἐκγόνους ἑαυτοῦ κατῴκισεν ἐκ θνητῆς γυναικὸς γεννήσας ἔν τινι τόπῳ τοιῷδε τῆς νήσου. πρὸς θαλάττης μέν, κατὰ δὲ μέσον πάσης πεδίον ἦν, ὃ δὴ πάντων πεδίων κάλλιστον ἀρετῇ τε ἱκανὸν γενέσθαι λέγεται. πρὸς τῷ πεδίῳ δ' αὖ κατὰ μέσον σταδίους ὡς πεντήκοντα ἀφεστὸς ἦν ὄρος βραχὺ πάντῃ. τούτῳ δ' ἦν ἔνοικος τῶν ἐκεῖ κατὰ ἀρχὰς ἐκ γῆς ἀνδρῶν γεγονότων Εὐήνωρ μὲν τοὔνομα, γυναικὶ δὲ συνοικῶν Λευκίππῃ· Κλειτὼ δὲ μονογενῆ θυγατέρα ἐγεννησάσθην. ἤδη δ' εἰς ἀνδρὸς ὥραν ἡκούσης τῆς κόρης ἥ τε μήτηρ τελευτᾷ καὶ ὁ πατήρ, αὐτῆς δὲ εἰς ἐπιθυμίαν Ποσειδῶν ἐλθὼν ξυμμίγνυται, καὶ τὸν γήλοφον, ἐν ᾧ κατῴκιζο, ποιῶν εὐερκῆ περιῤῥήγνυσι κύκλῳ, θαλάττης γῆς τε ἐναλλὰξ ἐλάττους μείζους τε περὶ ἀλλήλους

sum. si ergo talia nunc audieritis nomina, qualia apud nos sunt, ne miremini: nam huius rei causam intelligitis. prolixae autem orationis tunc exordium illud, quod et in superioribus de Deorum sortibus est inductum. Partiti quidem sunt universam terram, partim in ampliores portiones, partim angustiores, templaque et sacra sibi instituerunt. tunc sane Neptunus, insulam sortitus Atlanticam, filios ex mortali femina in tali quodam insulae loco progenuit. secus mare quidem plana insula erat, sed in media insula planities erat, quae omnium speciosissima feracissimaque dicitur exstitisse, prope planitiem rursus in medio mons erat brevis stadiis quinquaginta distans. hic vero ab aliquo eorum, qui a principio ex terra nati sunt, nomine Euenore colebatur. qui ex Leucippe uxore Clitonem unicam filiam genuit. parentibus vero mortuis et matura viro puella, Neptunus eius desiderio captus illi se miscuit; circumsepsitque collem, quem habitabat, spiris aquae circumfluis terraeque zonis alterne, partim amplioribus.

ποῶν τροχούς, δύο μὲν γῆς, θαλάττης δὲ τρεῖς οἷον τορνεύων ἐκ μέσης τῆς νήσου, πάντῃ ἴσον ἀφεςῶτας, ὥςτε ἄβατον ἀνθρώποις εἶναι· πλοῖα γὰρ καὶ τὸ πλεῖν οὔπω τότ' ἦν. αὐτὸς δὲ τήν τε ἐν μέσῳ νῆσον οἷα δὴ θεὸς εὐμαρῶς διεκόσμησεν, ὕδατα μὲν διττὰ ὑπὸ γῆς ἄνω πηγαῖα κομίσας, τὸ μὲν θερμόν, ψυχρὸν δὲ ἐκ πρήνης ἀποῤῥέον ἕτερον, τροφὴν δὲ παντοίαν καὶ ἱκανὴν ἐκ τῆς γῆς ἀναδιδούς· παίδων δὲ ἀῤῥένων πέντε γενέσεις διδύμους γεννησάμενος ἐθρέψατο, καὶ τὴν νῆσον τὴν Ἀτλαντίδα πᾶσαν δέκα μέρη κατανείμας τῶν μὲν πρεσβυτάτων τῷ προτέρῳ γενομένῳ τήν τε μητρῴαν οἴκησιν καὶ τὴν κύκλῳ λῆξιν, πλείςην καὶ ἀρίςην οὖ- 114
σαν, ἀπένειμε, βασιλέα τε τῶν ἄλλων κατέςησε, τοὺς δὲ ἄλλους ἄρχοντας, ἑκάςῳ δὲ ἀρχὴν πολλῶν ἀνθρώπων καὶ τόπον πολλῆς χώρας ἔδωκεν. ὀνόματα δὲ πᾶσιν ἔθετο, τῷ μὲν πρεσβυτάτῳ καὶ βασιλεῖ τοῦτο οὗ δὴ καὶ πᾶσα ἡ νῆσος τό τε πέλαγος ἔσχεν ἐπωνυμίαν, Ἀτλαντικὸν λεχθὲν ὅτι τοὔνομ' ἦν τῷ πρώτῳ βασιλεύσαντι τότε Ἄτλας· τῷ δὲ διδύμῳ μετ' ἐκεῖνόν τε γενομένῳ, λῆξιν δὲ ἄκρας τῆς νήσου πρὸς Ἡρακλείων ςηλῶν εἰληχότι ἐπὶ τὸ τῆς Γαδειρικῆς νῦν χώρας κατ' ἐκεῖνον τὸν τόπον ὀνομαζομένης, Ἑλληνιςὶ μὲν

partim angustioribus. ex quibus duo quidem terrae, tres vero maris fuere circuitus: qui veluti torno descripti, pari undique intervallo insulam per mediam distabant, inaccessibilemque hominibus collem ipsum reddebant. neque enim tunc naves erant neque navigandi peritia. ipse vero, utpote Deus, facile mediam insulam exornavit, humoremque duplicis aquae ex terrae abditis per fontes exteriores iussit erumpere, partimve calidum partim frigidum scaturire: alimenta item varia per terras et abundantia pullulare, quinque praeterea masculorum filiorum geminos partus progenuit et nutrivit. atque omnem Atlanticam insulam decem in plagas partitus, primogenito maternam habitationem et plagam, quae circum erat, tribuit, maximam profecto sortem atque potissimam: regemque illum statuit reliquorum, ceteros vero multarum gentium regionumque principes. singulis imposuit nomina. primogenitum quidem vocavit Atlantem, totius insulae regem; unde et pelagus cognominatur Atlanticum. eum vero, qui gemino partu statim post illum est natus, patria voce Gadirum, quem Graece dicimus Eumelum: qui extremas insulae partes ad columnas Herculis

Εὐμήλου, τὸ δ' ἐπιχώριον Γάδειρον· ὃ πέρ τ' ἦν ἐπίκλην, ταύτῃ ὄνομα παράσχοι. τοῖν δὲ δευτέροιν γενομένοιν τὸν μὲν Ἀμφήρη, τὸν δὲ Εὐαίμονα ἐκάλεσε· τρίτοις δέ, Μνησέᾳ μὲν τῷ προτέρῳ γενομένῳ, τῷ δὲ μετ' αὐτὸν Αὐτόχθονα· τῶν δὲ τετάρτων Ἐλάσιππον μὲν τὸν πρότερον, Μήσορα δὲ τὸν ὕστερον· ἐπὶ δὲ τοῖς πέμπτοις τῷ μὲν ἔμπροσθεν Ἀζάης ὄνομα ἐτέθη, τῷ δ' ὑστέρῳ Διαπρεπής. οὗτοι δὴ πάντες αὐτοί τε καὶ ἔκγονοι τούτων ἐπὶ γενεὰς πολλὰς ᾤκουν ἄρχοντες μὲν πολλῶν ἄλλων κατὰ τὸ πέλαγος νήσων, ἔτι δέ, ὡς περ καὶ πρότερον ἐρρήθη, μέχρι τε Αἰγύπτου καὶ Τυρρηνίας τῶν ἐντὸς δεῦρο ἐπάρχοντες. Ἄτλαντος δὴ πολὺ μὲν ἄλλο καὶ τίμιον γίγνεται γένος, βασιλεὺς δὲ ὁ πρεσβύτατος ἀεὶ τῷ πρεσβυτάτῳ τῶν ἐκγόνων παραδιδοὺς ἐπὶ γενεὰς πολλὰς τὴν βασιλείαν διέσωζον, πλοῦτον μὲν κεκτημένοι πλήθει τοσοῦτον ὅσος οὔ τέ πω πρόσθεν ἐν δυναστείαις τισὶ βασιλέων γέγονεν οὔ τέ ποτε ὕστερον γενέσθαι ῥᾴδιος, κατεσκευασμένα δὲ πάντα ἦν αὐτοῖς ὅσα ἐν πόλει καὶ ὅσα κατὰ τὴν ἄλλην χώραν ἦν ἔργον κατασκευάσασθαι. πολλὰ μὲν γὰρ διὰ τὴν ἀρχὴν αὐτοῖς προσῄειν ἔξωθεν, πλεῖζα δὲ ἡ νῆσος αὐτὴ παρείχετο εἰς τὰς τοῦ βίου κατασκευάς, πρῶτον μὲν ὅσα ὑπὸ μεταλλείας ὀρυττό-

est sortitus, suoque locum nomine Gadiricum nuncupavit. secundi partus unum Ampherem, alterum Eudaemonem nominavit; tertii primum natum Mnesecum, secundum Autochthonem; quarti autem Elasippum priorem, Mestorem vero posteriorem; quinti demum primum Azaëm, Diaprepem vero secundum. Hi omnes posterique ipsorum multa ibi secula habitarunt, aliis multis per mare insulis dominantes, et Aegyptum usque Tyrrheniamque his qui citra habitant, ut praediximus. in maxima certe veneratione universum Atlantis erat genus, semperque rex antiquior regnum primogenito relinquebat: quod imperium multa per secula conservarunt. tanta vero illis divitiarum copia, quanta nullis antea regum superiorum fuerat, nec ullis unquam posterorum facile comparabitur. structa ordinataque illis erant in civitate totoque regno omnia, quorum usus expetitur. multa quidem ad eos extrinsecus propter imperium accedebant: permulta quoque insula ipsa ad sufficientem vitae usum pertinentia producebat. primum quidem omnia, quaecunque

μενα ξερεὰ καὶ ὅσα τηκτὰ γέγονε· καὶ τὸ νῦν ὀνομαζόμενον μόνον, τότε δὲ πλέον ὀνόματος ἦν τὸ γένος ἐκ γῆς ὀρυττόμενον ὀρειχάλκου κατὰ τόπους πολλοὺς τῆς νήσου, πλὴν χρυσοῦ τιμιώτατον ἐν τοῖς τότε ὄν· καὶ ὅσα ὕλη πρὸς τὰ τῶν τεκτόνων διαπονήματα παρέχεται, πάντα φέρουσα ἄφθονα, τά τε αὖ περὶ τὰ ζῶα ἱκανῶς ἤμερα καὶ ἄγρια τρέφουσα. καὶ δὴ καὶ ἐλεφάντων ἦν ἐν αὐτῇ γένος πλεῖστον· νομὴ γὰρ τοῖς τε ἄλλοις ζώοις, ὅσα καθ' ἕλη καὶ λίμνας καὶ ποταμοὺς
10 ὅσα τ' αὖ κατ' ὄρη καὶ ὅσα ἐν τοῖς πεδίοις νέμεται, 115
ξύμπασι παρῆν ἄδην, καὶ τούτῳ κατὰ ταὐτὰ τῷ ζώῳ, μεγίστῳ πεφυκότι καὶ πολυβορωτάτῳ. πρὸς δὴ τούτοις, ὅσα εὐώδη τρέφει που γῆ τὰ νῦν, ῥιζῶν ἢ χλόης ἢ ξύλων ἢ χυλῶν ξακτῶν εἴτε ἀνθῶν εἴτε καρπῶν, ἔφερέ τε ταῦτα καὶ ἔφερβεν εὖ. ἔτι δὲ τὸν ἥμερον καρπόν, τόν τε ξηρὸν ὃς ἡμῖν τροφῆς ἕνεκά ἐσι, καὶ ὅσοις χάριν τοῦ σίτου προσχρώμεθα — καλοῦμεν δὲ αὐτοῦ τὰ μέρη ξύμπαντα ὄσπρια — καὶ τὸν ὄσος ξύλινος, πώματα καὶ βρώματα καὶ ἀλείμματα φέρων, παιδιᾶς τε
20 ὃς ἕνεκα ἡδονῆς τε γέγονε δυσθησαύριστος ἀκροδρύων καρπός, ὅσα τε παραμύθια πλησμονῆς μεταδόρπια

ex terrae visceribus eruuntur, et quae solida permanent et quae funduntur: quodve nunc nominatur solum, tunc certe plurimum effodiebatur aurichalcum multis ex insulae locis, insigne metallum, tunc apud eos ceterorum, excepto auro, pretiosissimum. et quaecunque silva producit ad fabrorum artificium, ferebat abunde. pascu quin etiam animantibus tam feris quam domesticis suggerebat. Elephantum praeterea ingens ibi copia. alebat nempe sufficienter, quaecunque per paludes, lacus et flumina, sive montes agrosve pascuntur: pascebat quoque vastum animalium genus et voracissimum. Ferebat et quaecunque tellus nunc odorifera nutrit, radices, gramina, ligna, liquentes succos, flores ac fructus. suavem praeterea vitis humorem et solidum alimentum, quibus ipsi nutrimur. illa item, quibus pro cibo utimur et obsonii gratia, quae legumina vocitamus. nec non liquores ex arboribus, atque escas ad sitim famemque exstinguendam. neque deerant his unguenta. Accedebant et deliciarum gratia fructus variarum arborum copiosissimi. aderant quoque satietatis solatia bellaria, fastidienti-

ἀγαπητὰ πάμπονοι τίθεμεν, ἅπαντα ταῦτα ἡ τότε ποτὲ οὖσα ὑφ' ἡλίῳ νῆσος ἱερὰ καλά τε καὶ θαυμαστὰ καὶ πλήθεσιν ἄπειρα ἔφερε. ταῦτα οὖν λαμβάνοντες πάντα παρὰ τῆς γῆς κατεσκευάζοντο τά τε ἱερὰ καὶ τὰς βασιλικὰς οἰκήσεις καὶ τοὺς λιμένας καὶ τὰ νεώρια καὶ ξύμπασαν τὴν ἄλλην χώραν, τοιῇδε ἐν τάξει διακοσμοῦντες.

Τοὺς τῆς θαλάττης τροχούς, οἳ περὶ τὴν ἀρχαίαν ἦσαν μητρόπολιν, πρῶτον μὲν ἐγεφύρωσαν, ὁδὸν ἔξω καὶ ἐπὶ τὰ βασίλεια ποιούμενοι. τὰ δὲ βασίλεια ἐν ταύτῃ τῇ τοῦ θεοῦ καὶ τῶν προγόνων κατοικήσει κατ' ἀρχὰς ἐποιήσαντο εὐθύς, ἕτερος δὲ παρ' ἑτέρων δεχόμενος, κεκοσμημένα κοσμῶν, ὑπερεβάλλετο εἰς δύναμιν ἀεὶ τὸν ἔμπροσθεν, ἕως εἰς ἔκπληξιν μεγέθεσι κάλλεσί τε ἔργων ἰδεῖν τὴν οἴκησιν ἀπειργάσαντο. διώρυχα μὲν γὰρ ἐκ τῆς θαλάττης ἀρχόμενοι τρίπλεθρον τὸ πλάτος, ἑκατὸν δὲ ποδῶν βάθος, μῆκος δὲ πεντήκοντα σταδίων, ἐπὶ τὸν ἐξωτάτω τροχὸν συνέτρησαν, καὶ τὸν ἀνάπλουν ἐκ τῆς θαλάττης ταύτῃ πρὸς ἐκεῖνον ὡς εἰς λιμένα ἐποιήσαντο, διελόντες σῶμα ναυσὶ ταῖς μεγίσταις ἱκανὸν εἰσπλεῖν. καὶ δὴ καὶ τοὺς τῆς γῆς τροχούς, οἳ τοὺς τῆς θαλάττης διεῖργον, κατὰ

bus requisita. haec omnia insula, quae quondam extabat, sacra, speciosa, miranda, uberrima producebat. atque haec colligentes ex terra, templa et regias aedes, portus, navalia et universam regionem struebant. profecto hoc pacto spiras illas maris disposuerunt, quae antiquam circumdabant metropolim, hoc est matris eorum patriam sedem. primo quidem constructis pontibus transitum ad exteriora et ad sedem regiam praebuere, ubi in Dei ipsius maiorumque suorum sedibus statim ab initio regias aedes aedificarunt. alterque ab altero ornata suscipientes, continua successione superiores in exornando pro viribus superabant, quoad machinas magnitudine decoreque mirandas fabricaverunt. foveam porro a mari ad extimum circulum deduxerunt, quae tria iugera in latitudinem protendebatur, centum pedes in altum, in longum stadia quinquaginta. atque ut ex hoc mari ad circulum illum, velut ad portum, applicare naves possent, effecerunt patefacto illius ore, ut naves ingentissimas caperet. Zonas item terrae, quibus spirae maris distinguebantur, pontibus secuerunt, ut una triremi

τὰς γεφύρας διεῖλον ὅσον μιᾷ τριήρει διέκπλουν εἰς ἀλλήλους, καὶ κατεξέγασαν ἄνωθεν, ὥστε τὸν ὑπόπλουν κάτωθεν εἶναι· τὰ γὰρ τῶν τῆς γῆς τροχῶν χείλη βάθος εἶχεν ἱκανὸν ὑπερέχον τῆς θαλάττης. ἦν δὲ ὁ μὲν μέγιστος τῶν τροχῶν, εἰς ὃν ἡ θάλαττα συνετέτρητο, τριςάδιος τὸ πλάτος, ὁ δ' ἐξῆς τῆς γῆς ἴσος ἐκείνῳ· τοῖν δὲ δευτέροιν ὁ μὲν ὑγρὸς δυοῖν ςαδίοιν πλάτος, ὁ δὲ ξηρὸς ἴσος αὖ πάλιν τῷ πρόσθεν ὑγρῷ· ςαδίου δὲ ὁ περὶ αὐτὴν τὴν ἐν μέσῳ νῆσον περιθέων. ἡ δὲ νῆσος ἐν ᾗ τὰ βασίλεια ἦν, πέντε ςαδίων τὴν 116
διάμετρον εἶχε. ταύτην δὴ κύκλῳ καὶ τοὺς τροχοὺς καὶ τὴν γέφυραν πλεθριαίαν τὸ πλάτος οὖσαν ἔνθεν καὶ ἔνθεν λιθίνῳ περιεβάλλοντο τείχει, πύργους καὶ πύλας ἐπὶ τῶν γεφυρῶν κατὰ τὰς τῆς θαλάττης διαβάσεις ἐκαςαχόσε ἐπισήσαντες. τὸν δὲ λίθον ἔτεμνον ὑπὸ τῆς νήσου κύκλῳ τῆς ἐν μέσῳ καὶ ὑπὸ τῶν τροχῶν ἔξωθεν καὶ ἐντός, τὸν μὲν λευκόν, τὸν δὲ μέλανα, τὸν δὲ ἐρυθρὸν ὄντα· τέμνοντες δὲ ἅμα ἀπειργάζοντο νεωςοίκους κοίλους διπλοῦς ἐντός, κατηρεφεῖς αὐτῇ τῇ πέτρᾳ. καὶ τῶν οἰκοδομημάτων τὰ μὲν ἁπλᾶ, τὰ δὲ μιγνύντες τοὺς λίθους ποικίλα ὕφαινον παιδιᾶς χάριν,

enavigare inter se invicem possent, supra vero texerunt, ut subnavigare liceret. terrenarum namque zonarum labra profunda mare supereminebant. maximus plane circuitus, per quem inundabat mare, latitudine stadia complebat tria: proximus huic orbis terrae prorsus aequalis: sequentium vero duorum humidus quidem orbis stadia duo, aridus autem humido praecedenti rursus aequalis: stadium denique unum, qui ipsam insulam in media positam circumdabat. insulae vero, in qua regia erat, diameter stadia quinque. et hanc circum orbesque et pontem latum ad plethri mensuram hinc atque inde muro quodam lapideo clauserunt, turres portasque in singulis super pontes secundum maris pertransitus fabricantes. lapidem sub insula, quae iacebat in medio, incidebant circum et sub ipsis orbibus, intus pariter atque extra, partim album, partim nigrum, partim rubrum: navium receptacula duo moliti sunt concava geminaque intrinsecus, quorum fornices hac ipsa sunt petra contextae. aedificia vero partim simplicia, partim varia mixtis ex lapidibus effecerunt, ipsa varietate ludum delectu-

ἡδονὴν αὐτοῖς ξύμφυτον ἀπονέμοντες· καὶ τοῦ μὲν περὶ τὸν ἐξωτάτω τροχὸν τείχους χαλκῷ περιελάμβανον πάντα τὸν περίδρομον, οἷον ἀλοιφῇ προσχρώμενοι, τοῦ δ' ἐντὸς καττιτέρῳ περιέτηκον, τὸν δὲ περὶ αὐτὴν τὴν ἀκρόπολιν ὀρειχάλκῳ μαρμαρυγὰς ἔχοντι πυρώδεις. Τὰ δὲ δὴ τῆς ἀκροπόλεως ἐντὸς βασίλεια κατεσκευασμένα ὧδ' ἦν. ἐν μέσῳ μὲν ἱερὸν ἅγιον αὐτόθι τῆς τε Κλειτοῦς καὶ τοῦ Ποσειδῶνος ἄβατον ἀφεῖτο, περιβόλῳ χρυσῷ περιβεβλημένον, τοῦτ' ἐν ᾧ κατ' ἀρχὰς ἐφύτευσαν καὶ ἐγέννησαν τὸ τῶν δέκα βασιλειδῶν γένος· ἔνθα καὶ κατ' ἐνιαυτὸν ἐκ πασῶν τῶν δέκα λήξεων ὥραια αὐτόσε ἀπετέλουν ἱερὰ ἑκείνων ἑκάστῳ. τοῦ δὲ Ποσειδῶνος αὐτοῦ νεὼς ἦν, σταδίου μὲν μῆκος, εὖρος δὲ τρισὶ πλέθροις, ὕψος δ' ἐπὶ τούτοις σύμμετρον ἰδεῖν, εἶδος δέ τι βαρβαρικὸν ἔχοντος. πάντα δὲ ἔξωθεν περιήλειψαν τὸν νεὼν ἀργύρῳ, πλὴν τῶν ἀκρωτηρίων, τὰ δὲ ἀκρωτήρια χρυσῷ. τὰ δὲ ἐντός, τὴν μὲν ὀροφὴν ἐλεφαντίνην ἰδεῖν πᾶσαν χρυσῷ καὶ ὀρειχάλκῳ πεποικιλμένην, τὰ δὲ ἄλλα πάντα τῶν τοίχων τε καὶ κιόνων καὶ ἐδάφους ὀρειχάλκῳ περιέλαβον. χρυσᾶ δὲ ἀγάλματα ἐνέσησαν, τὸν μὲν θεὸν ἐφ' ἅρματος ἑξῶτα ἕξ ὑποπτέρων ἵππων ἡνίοχον, αὐτόν τε ὑπὸ μεγέθους

tionemque secuti. eius insuper muri, qui exteriorem orbem claudebat, superficiem omnem aere tenui vestierunt: eius vero, qui interiorem, stanno: eius denique, qui circumdabat arcem, aurichalco igneo fulgore corusco. Regia vero ipsa intra arcem ita constructa. in medio sacrum et inaccessibile Clitonis Neptunique templum, aureo ambitu circumdatum. illuc a principio convenientes genuerunt decem regum genus: atque ibidem quotannis ex decem regionibus congregati, unicuique illorum sacra solemnia peragebant. erat Neptuni templum stadium unum longum, iugera latum tria, altum vero, quantum longitudo eius latitudoque exigere videbantur. figura eius speciesque barbarica. Faciem exteriorem praeter suprema fastigia argento omnem exornaverunt: nam culmina ipsa et apices auro, intus autem laquearia tota eburnea, auro, argento, aurichalco varie caelata suspiciebantur. verum parietes, columnas, pavimenta aurichalco exornaverunt. statuas quin etiam ex auro erexerunt. Deum quidem curru insistentem, tenentemque equorum alatorum habenas, laquearia alta cervice tangentem. circa

τῇ κορυφῇ τῆς ὀροφῆς ἐφαπτόμενον, Νηρῇδας δὲ ἐπὶ δελφίνων ἑκατὸν κύκλῳ· τοσαύτας γὰρ ἐνόμιζον αὐτὰς οἱ τότε εἶναι. πολλὰ δ' ἄλλα ἀγάλματα ἰδιωτῶν ἀναθήματα ἐνῆν. περὶ δὲ τὸν νεὼν ἔξωθεν εἰκόνες ἁπάντων ἔξασαν ἐκ χρυσοῦ, τῶν γυναικῶν καὶ αὐτῶν ὅσοι τῶν δέκα ἐγεγόνεσαν βασιλέων, καὶ πολλὰ ἕτερα ἀναθήματα μεγάλα τῶν τε βασιλέων καὶ ἰδιωτῶν ἔξ αὐτῆς τε τῆς πόλεως καὶ τῶν ἔξωθεν ὅσων ἐπῆρχον. βωμός τε δὴ ξυνεπόμενος ἦν τὸ μέγεθος καὶ τὸ τῆς ἐργασίας ταύτῃ τῇ κατασκευῇ, καὶ τὰ βασίλεια κατὰ ταὐτὰ πρέποντα μὲν τῷ τῆς ἀρχῆς μεγέθει, πρέποντα δὲ τῷ περὶ τὰ ἱερὰ κόσμῳ. ταῖς δὲ δὴ κρήναις, τῇ τοῦ ψυχροῦ καὶ τῇ τοῦ θερμοῦ νάματος, πλῆθος μὲν ἄφθονον ἐχούσαις, ἡδονῇ δὲ καὶ ἀρετῇ τῶν ὑδάτων πρὸς ἑκατέρου τὴν χρῆσιν θαυμαστοῦ πεφυκότος, ἐχρῶντο περιςήσαντες οἰκοδομήσεις καὶ δένδρων φυτεύσεις πρεπούσας ὕδασι, δεξαμενάς τε αὖ τὰς μὲν ὑπαιθρίους, τὰς δὲ χειμερινὰς τοῖς θερμοῖς λουτροῖς ὑποζεύγους περιτιθέντες, χωρὶς μὲν βασιλικάς, χωρὶς δὲ ἰδιωτικάς, ἔτι δὲ γυναιξὶν ἄλλας καὶ ἑτέρας ἵπποις καὶ τοῖς ἄλλοις ὑποζυγίοις, τὸ πρόσφορον τῆς κοσμήσεως

hunc delphinis insidentes Nereides centum, tot enim esse tunc existimabantur. aderant et statuae donariaque complurima privatorum. extrinsecus exstabant imagines aureae mulierum omnium regiarum, virorumque, quicunque ex regibus decem descenderant: multaque et ingentia simulacra donariaque alia regum et privatorum, tum ea ex urbe tum ex aliis eorum imperio subditis. aderat item altare, magnitudine et artificio, quod ad reliquum apparatum spectabat, decentibus. eadem ratione et regia, tam amplitudini regni quam ornamentis sacris, convenientia. utebantur autem fontibus tam calidi liquoris quam frigidi, iugi humore exuberantibus: quibus inerat ad utrumque usum mirifica cum incunditate salubritas. porro circa fontes habitationes constructae erant et aquaticae arbores consitae, receptacula quoque aquarum circumposita, partim quidem sub divo patentia, partim vero sub tecto calidis lavacris hiberno tempore accommodata: regia seorsum, seorsumque privata, atque alia mulieribus, alia item equis ceterisve iumentis. decens plane et conferens unicuique servabantur.

ἑκάστοις ἀπονέμοντες. τὸ δὲ ἀποῤῥέον ὕδωρ ἐπὶ τὸ τοῦ Ποσειδῶνος ἄλσος, δένδρα παντοδαπὰ κάλλος ὕψος τε θαιμόνιον ὑπὸ ἀρετῆς τῆς γῆς ἔχοντα, καὶ ἐπὶ τοὺς ἔξω κύκλους δι' ὀχετῶν κατὰ τὰς γεφύρας ἐπωχέτευον. οὗ δὴ πολλὰ μὲν ἱερὰ καὶ πολλῶν θεῶν, πολλοὶ δὲ κῆποι καὶ γυμνάσια ἐκεχειρούργητο, τὰ μὲν ἀνδρῶν, τὰ δὲ ἵππων χωρὶς ἐν ἑκατέρᾳ τῇ τῶν τροχῶν νήσῳ, τά τε ἄλλα καὶ κατὰ μέσην τὴν μείζω τῶν νήσων ἐξηρημένος ἱππόδρομος ἦν αὐτοῖς, σταδίου τὸ πλάτος ἔχων, τὸ δὲ μῆκος περὶ τὸν κύκλον ὅλον ἀφεῖτο εἰς ἅμιλλαν τοῖς ἵπποις. δορυφορικαὶ δὲ περὶ αὐτὸν ἔνθεν τε καὶ ἔνθεν οἰκήσεις ἦσαν τῷ πλήθει τῶν δορυφόρων· τοῖς δὲ πιστοτέροις ἐν τῷ σμικροτέρῳ τροχῷ καὶ πρὸς τῇ ἀκροπόλεως μᾶλλον οὖσι διετέτακτο ἡ φρουρά, τοῖς δὲ πάντων διαφέρουσι πρὸς πίστιν ἐντὸς τῆς ἀκροπόλεως περὶ τοὺς βασιλέας αὐτοὺς ἦσαν οἰκήσεις δεδομέναι. τὰ δὲ νεώρια τριήρων μεστὰ ἦν καὶ σκευῶν ὅσα τριήρεσι προσήκει, πάντα δὲ ἐξηρτυμένα ἱκανῶς. Καὶ τὰ μὲν δὴ περὶ τὴν τῶν βασιλέων οἴκησιν οὕτω κατεσκεύαστο· διαβάντι δὲ τοὺς λιμένας ἔξω τρεῖς ὄντας ἀρξάμενον ἀπὸ τῆς θαλάττης ἦειν ἐν κύκλῳ τεῖχος, πεντήκοντα σταδίους τοῦ μεγίστου τροχοῦ τε καὶ λιμέ-

Defluum vero irriguumque humorem in Neptuni deduxere lucum, ob foecunditatem soli arboribus variis et altitudine specieque mirandis refertum: atque inde in exteriorem circuitum per aquaeductus iuxta pontes derivaverunt. ubi templa multa delubraque Deorum, viridaria atque gymnasia, partim hominum, partim equorum: seorsum in utraque orbium insula: sed circa mediam insulam omnium maximam praecipuus erat hippodromus, id est cursus equorum, cuius latitudo stadium, longitudo per omnem circulum porrigebatur ad equestre certamen. circa hippodromum utrinque erant stipatorum custodumque dispositae domus. fidis quidem militibus intra ipsum angustiorem circuitum, arci quam proximum, commissa custodia: his autem, qui ceteris fide praestabant, in arce ipsa circa reges habitationes concessae. navalia praeterea triremibus omnibusque ad eas pertinentibus instrumentis referta, singulaque sufficienter exposita. atque hic erat regiarum aedium apparatus. transeunti vero tres portus exteriores, apparebat murus a mari incipiens valli instar, et stadiis quinqua-

σος ἀπέχον πανταχῆ, καὶ συνέκλεισεν εἰς ταὐτὸν πρὸς τὸ τῆς διώρυχος στόμα τὸ πρὸς θαλάττης. τοῦτο δὴ πᾶν συνῳκεῖτο μὲν ὑπὸ πολλῶν καὶ πυκνῶν οἰκήσεων, ἡ δὲ ἀνάπλους [redacted] ὁ μέγιστος λιμὴν ἔσεμε πλοίων καὶ ἐμπόρων ἀφικνουμένων πάντοθεν, φωνὴν καὶ θόρυβον παντοδαπὸν νύκτα τε μεθ' ἡμέραν καὶ διὰ νυκτὸς ὑπὸ πλήθους παρεχομένων.

Τὸ μὲν οὖν ἄστυ καὶ τὸ περὶ τὴν ἀρχαίαν οἴκησιν σχεδὸν ὡς τότ' ἐλέχθη, νῦν διεμνημόνευται· τῆς δ' ἄλλης χώρας ὡς ἡ φύσις εἶχε καὶ τὸ τῆς διακοσμήσεως εἶδος ἀπομνημονεῦσαι πειρατέον. πρῶτον μὲν οὖν ὁ τόπος ἅπας ἐλέγετο σφόδρα τε ὑψηλὸς καὶ ἀπότομος ἐκ θαλάττης, τὸ δὲ περὶ τὴν πόλιν πᾶν πεδίον, ἐκείνην μὲν περιέχον, αὐτὸ δὲ κύκλῳ περιεχόμενον ὄρεσι μέχρι πρὸς τὴν θάλατταν καθειμένοις, λεῖον καὶ ὁμαλές, πρόμηκες δὲ πᾶν, ἐπὶ μὲν [redacted]τερα τρισχιλίων σταδίων, κατὰ δὲ μέσον ἀπὸ θαλάττης ἄνω δισχιλίων. ὁ δὲ τόπος οὗτος ὅλης τῆς νήσου πρὸς νότον ἐτέτραπτο, ἀπὸ τῶν ἄρκτων κατάβορρος. τὰ δὲ περὶ αὐτὸν ὄρη τότε ὑμνεῖτο πλῆθος καὶ μέγεθος καὶ κάλλος παρὰ πάντα τὰ νῦν ὄντα γεγονέναι, πολλὰς μὲν κώμας καὶ

cinta ab amplissimo circulo ac portu undique distans, qui ad os fovene versus mare in idem concludebatur. totum vero id colebatur, et reliquum quidem spatium multis et frequentibus aedificiis abundabat: sinus autem ipse portusque latissimus plenus erat navibus mercatoribusque undique confluentibus. ubi ob frequentem turbam die nocteque clamor continuus ac strepitus ingens sentiebatur. Atque ita de urbis et antiquae sedis dispositione, ut olim tranditum est, in praesentia iam retulimus: deinceps vero commemorare conabimus, quae natura quive cultus reliquae regionis exstiterit. Principio locus omnis editus admodum et mari abscisus memorabatur. regio vero circa urbem campestris omnis, ambiens quidem urbem et ambitu exteriori comprehensa. montes enim hanc secus mare claudebant. ipsa vero illuc usque aequalis ac plana et altera quidem ex parte ad tria stadiorum milia protendebatur; a medium vero a mari superne stadiorum milia duo. situs autem insulae ad Austrum vergebat, a septemtrione Boreae expositus. montes eius frequentia, altitudine; pulchritudine omnes, qui nunc exstant, exsuperabant. in eis vici complurimi

πλουσίας περιοίκων ἐν ἑαυτοῖς ἔχοντα, ποταμοὺς δὲ καὶ λίμνας καὶ λειμῶνας τροφὴν τοῖς πᾶσιν ἡμέροις καὶ ἀγρίοις ἱκανὴν θρέμμασιν, ὕλην δὲ καὶ πλήθει καὶ γένεσι ποικίλην ξύμπασί τε τοῖς ἔργοις καὶ πρὸς ἕκαστα ἄφθονον. ὧδε οὖν [redacted]ίον φύσει καὶ ὑπὸ βασιλέων πολλῶν ἐν πολλῷ χρόνῳ διεπεπόνητο, τετράγωνον μὲν αὖθ' ὑπῆρχε τὰ πλεῖστ' ὀρθὸν καὶ πρῶμηκες· ὅ τι δ' ἐνέλειπε, κατεύθυντο τάφρου κύκλῳ περιορυχθείσης. τὸ δὲ βάθος καὶ πλάτος τό τε μῆκος αὐτῆς ἄπιστον μὲν τὸ λεχθέν, ὡς χειροποίητον ἔργον, πρὸς τοῖς ἄλλοις διαπονήμασι τοσοῦτον εἶναι, ῥητέον δὲ ὅ γε ἠκούσαμεν· πλέθρου μὲν γὰρ βάθος ὀρώρυκτο, τὸ δὲ πλάτος ἁπάντῃ σταδίου, περὶ δὲ πᾶν τὸ πεδίον ὀρυχθεῖσα συνέβαινεν εἶναι τὸ μῆκος σταδίων μυρίων. τὰ δ' ἐκ τῶν ὀρῶν καταβαίνοντα ὑποδεχομένη ῥεύματα καὶ περὶ τὸ [redacted]ιον κυκλωθεῖσα, πρὸς τὴν πόλιν ἔνθεν τε καὶ ἔνθεν ἀφικομένη, ταύτῃ πρὸς θάλατταν μεθεῖτο ἐκρεῖν. ἄνωθεν δὲ ἀπ' αὐτῆς τὸ πλάτος μάλιστα ἑκατὸν ποδῶν διώρυχες εὐθεῖαι τετμημέναι κατὰ τὸ πεδίον πάλιν εἰς τὴν τάφρον τὴν πρὸς θαλάττης ἀφεῖντο, ἑτέρα δὲ ἀφ' ἑτέρας αὐτῶν σταδίους ἑκατὸν ἀπεῖχεν· ᾗ δὴ τήν τ' ἐκ τῶν ὀρῶν ὕλην κατῆγον εἰς

accolarum atque ditissimi. neque deerant amnes, lacus, prata, quibus animalia tum fera tum domestica abunde nutriebantur, silva item crebra ac varia singulis operibus materiem affatim suppeditabat. atque ita locus ille tam natura dispositus, quam multorum regum diligentia opibusque longo tempore erat excultus, quadrata regio fuit, plurimum recte in longum vergens, sed propter foveam circum erutam recta amissa figura. cuius profunditas, longitudo et amplitudo incredibiles dictu. impossibile namque videtur tam vastum opus, cum aliis collatum operibus, manibus hominum esse factum. dicendum tamen, quod audivimus. iugeris unius erat profunditas, latitudo omnium stadium: cumque esset per omnem agrum effossa, longitudo eius stadiorum decem millia, haec sane fluenta ex montibus demanantia suscipiebat, perque agros revoluta ad urbem hinc atque illinc perveniens, hac tandem erumpebat in mare. desuper autem ab ipsa latae pedes centum foveae, rectaque excisae per agrum rursus in foveam mari proximam demittebantur: altera vero ab altera stadiis centum seiungebatur, deducebant ex silvis ligna in urbem, et alia suis quaeque collecta

τὸ ἄξυ καὶ τἆλλα δὲ ὡραῖα πλοίοις κατεκομίζοντο, διπλους ἐκ τῶν διωρύχων εἰς ἀλλήλας τε πλαγίας καὶ πρὸς τὴν πόλιν τεμόντες. καὶ δὶς δὴ τοῦ ἐνιαυτοῦ τὴν γῆν ἐκαρποῦντο, χειμῶνος μὲν τοῖς ἐκ Διὸς ὕδασι χρώμενοι, θέρους δὲ ὅσα γῆ φέρει, τὰ ἐκ τῶν διωρύχων ἐπάγοντες νάματα. Πλῆθος δέ, τῶν μὲν ἐν τῷ πεδίῳ χρησίμων πρὸς πόλεμον ἀνδρῶν ἐτέτακτο τὸν πλῆρον ἕκαστον παρέχειν ἄνδρα ἡγεμόνα, τὸ δὲ τοῦ 119
πλήρου μέγεθος εἰς δέκα δεκάκις ἦν ςάδια, μυριάδες δὲ
o ξυμπάντων τῶν πλήρων ἦσαν ἑξ· τῶν δὲ ἐκ τῶν ὀρῶν καὶ τῆς ἄλλης χώρας ἀπέραντος μὲν ἀριθμὸς ἀνθρώπων ἐλέγετο, κατὰ δὲ τόπους καὶ κώμας εἰς τούτους τοὺς πλήρους πρὸς τοὺς ἡγεμόνας ἅπαντες διενενέμηντο. τὸν οὖν ἡγεμόνα ἦν τεταγμένον εἰς τὸν πόλεμον παρέχειν ἕκτον μὲν ἅρματος πολεμιςηρίου μόριον εἰς μύρια ἅρματα, ἵππους δὲ δύο καὶ ἀναβάτας, ἔτι δὲ ξυνωρίδα χωρὶς δίφρου καταβάτην τε ἀμικρασπίδα καὶ τὸν ἀμφοῖν μετ' ἐπιβάτην τοῖν ἵπποιν ἡνίοχον ἔχουσαν, ὁπλίτας δὲ δύο καὶ τοξότας σφενδονήτας τε
o ἑκατέρους δύο, γυμνῆτας δὲ λιθοβόλους καὶ ἀκοντιςὰς τρεῖς ἑκατέρους, ναύτας δὲ τέτταρας εἰς πλήρωμα διακοσίων καὶ χιλίων νεῶν. τὰ μὲν οὖν πολεμιςήρια οὕτω

temporibus, duplicibus per foveas navibus. fovearum enim tractus oblique sese usque ad urbem intersecabant. geminos ex terra fructus ac fruges annis singulis colligebant. hieme quidem Iovis beneficio pluviis tellus madebat, aestate rivis ex aquaeductibus irrigabatur. circa numerum vero virorum in campestri regione ad rem militarem utilium hic erat ordo, ut suum quaeque ducem sors eligeret praeberetque. sortis autem magnitudo decies stadia decem, cunctarum vero sortium millia sexaginta. sed eorum, qui montes et alia loca colebant, numerus infinitus: per loca vero et pagos in huiusmodi sortes secundum duces distributi erant cuncti. igitur institutum erat ducem in bellum inferre sextam currus bellicosam partem, ad millia curruum decem, equos duos et equites: rursusque iugales equos absque higis, ubi esset et qui parvo clipeo munitus descenderet, et qui ambos habenis vicissim regeret equos. armigeros item duos, et sagittarios et funditores utrosque duos; levis armaturae milites, iactores lapidum iaculatoresque tres utrosque: nautas quatuor, ad ducentarum milliumque navium comple-

διετέτακτο τῆς βασιλικῆς πόλεως, τῶν δὲ ἐννέα ἄλλα ἄλλως, ἃ μακρὸς ἂν χρόνος εἴη λέγειν. Τὰ δὲ τῶν ἀρχῶν καὶ τιμῶν ὧδ' εἶχεν ἐξ ἀρχῆς διακοσμηθέντα. τῶν δέκα βασιλέων εἷς ἕκαστος ἐν μὲν τῷ καθ' αὑτὸν μέρει κατὰ τὴν αὐτοῦ πόλιν τῶν ἀνδρῶν καὶ τῶν πλείστων νόμων ἦρχε, κολάζων καὶ ἀποκτιννὺς ὃν τιν' ἐθελήσειεν· ἡ δὲ ἐν ἀλλήλοις ἀρχὴ καὶ κοινωνία κατὰ ἐπιστολὰς ἦν τὰς τοῦ Ποσειδῶνος, ὡς ὁ νόμος αὐτοῖς παρέδωκε, καὶ γράμματα ὑπὸ τῶν πρώτων ἐν στήλῃ γεγραμμένα ὀρειχαλκίνῃ, ἣ κατὰ μέσην τὴν νῆ- 11
σον ἔκειτο ἐν ἱερῷ Ποσειδῶνος, οἳ δὴ δι' ἐνιαυτοῦ πέμπτου, τοτὲ δὲ ἐναλλὰξ ἕκτου, ξυνελέγοντο, τῷ τε ἀρτίῳ καὶ τῷ περιττῷ μέρος ἴσον ἀπονέμοντες, ξυλλεγόμενοι δὲ περί τε τῶν κοινῶν ἐβουλεύοντο καὶ ἐξήταζον εἴ τίς τι παραβαίνοι, καὶ ἐδίκαζον. ὅτε δὲ δικάζειν μέλλοιεν, πίστεις ἀλλήλοις τοιάσδε ἐδίδοσαν πρότερον. ἀφέτων ὄντων ταύρων ἐν τῷ τοῦ Ποσειδῶνος ἱερῷ μόνοι γιγνόμενοι δέκα ὄντες, ἐπευξάμενοι τῷ θεῷ τὸ κεχαρισμένον αὐτῷ θῦμα ἑλεῖν, ἄνευ σιδήρου ξύλοις καὶ βρόχοις ἐθήρευον, ὃν δὲ ἕλοιεν τῶν ταύρων, πρὸς 12
τὴν στήλην προσαγαγόντες κατὰ κορυφὴν αὐτῆς ἔσφατ-

mentum. hac itaque ratione in regia civitate erant res bellicae praeparatae. reliquarum vero novem urbium apparatus alibi alius erat: quarum rerum prolixior foret narratio. Magistratus autem honoresque sic erant a principio instituti. unusquisque decem regum iurisdictione sua in propria civitate hominibus plurimisque legibus dominabatur, puniebatque pro arbitrio unumquemque, ac morte damnabat. imperium 'profecto et communio inter illos secundum Neptuni mandata dirigebantur, quemadmodum leges illis et literae nuntiabant, a maioribus in columna quadam ex aurichalco circa medium insulae in templo Neptuni ipsius inscriptae. illi igitur quinto quoque anno, interdum et sexto alterne transacto congregabantur, tam pari quam impari aequam partem distribuentes. congregati vero de publicis rebus deliberabant: diligentique examine iudicantes, si qua in re praevaricatus quis esset, damnabant. cum igitur foret iudicium ineundum, tali se fide invicem adstringebant. nam cum essent in templo Neptuni dimissi solutique tauri, seorsum ab aliis ipsi decem vovebant Deo, gratam illi victimam, se sine ferro capturos. unde lignis et laqueis venabantur. et quemcunque ceperant taurum, ad columnam tractum, in eius columnae

τον κατὰ τῶν γραμμάτων. ἐν δὲ τῇ ςήλῃ πρὸς τοῖς νόμοις ὅρκος ἦν μεγάλας ἀρὰς ἐπευχόμενος τοῖς ἀπειθοῦσιν. ὅτ' οὖν κατὰ τοὺς αὐτῶν νόμους θύσαντες καθαγίζοιεν πάντα τοῦ ταύρου τὰ μέλη, κρατῆρα κεράσαντες ὑπὲρ ἑκάςου θρόμβον ἐνέβαλλον αἵματος, τὰ δ' ἄλλ' εἰς τὸ πῦρ ἔφερον, περικαθήραντες τὴν ςήλην· μετὰ δὲ τοῦτο χρυσαῖς φιάλαις ἐκ τοῦ κρατῆρος ἀρυτόμενοι, κατὰ τοῦ πυρὸς σπένδοντες ἐπώμνυσαν δικάσειν τε κατὰ τοὺς ἐν τῇ ςήλῃ νόμους καὶ κολάσειν εἴ τίς τι πρότερον παραβεβηκὼς εἴη, τό τε αὖ μετὰ τοῦτο μηδὲν τῶν γραμμάτων ἐκόντες παραβήσεσθαι, μηδὲ ἄρξειν μηδὲ ἄρχοντι πείσεσθαι πλὴν κατὰ τοὺς τοῦ πατρὸς ἐπιτάττοντι νόμους. ταῦτα ἐπευξάμενος ἕκαςος αὐτῶν αὑτῷ καὶ τῷ ἀφ' αὑτοῦ γένει, πιὼν καὶ ἀναθεὶς τὴν φιάλην εἰς τὸ ἱερὸν τοῦ θεοῦ, περὶ τὸ δεῖπνον καὶ τἀναγκαῖα διατρίψας, ἐπειδὴ γίγνοιτο σκότος καὶ τὸ πῦρ ἐψυγμένον τὸ περὶ τὰ θύματα εἴη, πάντες οὕτως ἐνδύντες ὅτι καλλίςην κυανῆν ςολήν, ἐπὶ τὰ τῶν ὁρκωμοσιῶν καύματα χαμαὶ καθίζοντες, νύκτωρ, πᾶν τὸ περὶ τὸ ἱερὸν ἀποσβεννύντες πῦρ, ἐδικάζοντό τε καὶ ἐδίκαζον, εἴ τίς τι παραβαίνειν

vertice, uti scriptis erat mandatum, protinus iugulabant. exstabat autem in columna praeter leges iuramentum exsecratioque, terribilia his, qui non parerent, imprecans. quando itaque, sacrificiis de more paratis, expiaturi iam crematuri erant singula tauri membra, ex impleto cratere guttam sanguinis per singulos diffundebant: reliqua dabant igni, lustrantes columnam. His denique actis, phialis aureis haurientes ex cratere et super ignem libantes, iureiurando interposito promittebant iudicaturos se secundum inscriptas columnae leges, puniturosque eos, qui antea deliquissent: praeterea literarum illarum normam sponte nunquam se transgressuros. addebant neque praeter patris ipsius leges vel imperaturos se unquam vel imperanti obedituros. haec unusquisque illorum sibi ipsi posterisque precatus, bibensque et offerens Deo phialam, ad coenam se et necessaria convertebat. et adventante nocte, igneque victimarum ferme exstincto, singuli caelestem colore et quam pulcherrimam induti vestem, ac penes hostias ambustas humi sedentes, totumque per noctem ignem in sacris accensum exstinguentes, iudicabantur simul et iudicabant, si quis eorum quempiam tanquam legum transgressorem accusavisset.

αὐτῶν αἰνιῳτό τινα· δικάσαντες δὲ τὰ δικασθέντα, ἐπειδὴ φῶς γένοιτο, ἐν χρυσῷ πίνακι γράψαντες μετὰ τῶν ϛολῶν μνημεῖα ἀνετίθεσαν. νόμοι δὲ πολλοὶ μὲν ἄλλοι περὶ τὰ γέρα τῶν βασιλέων ἑκάϛων ἦσαν ἴδιοι, τὰ δὲ μέγιϛα μή τέ ποτε ὅπλα ἐπ' ἀλλήλους οἴϲειν βοηθήϲειν τε πάντας, ἄν πού τις αὐτῶν ἔν τινι πόλει τὸ βασιλικὸν καταλύειν ἐπιχειρῇ γένος, κοινῇ δέ, καθάπερ οἱ πρόϲθεν, βουλευόμενοι τὰ δόξαντα περὶ πολέμου καὶ τῶν ἄλλων πράξεων, ἡγεμονίαν ἀποδιδόντες τῷ Ἀτλαντικῷ γένει. θανάτου δὲ τὸν βασιλέα τῶν ϲυγγενῶν μηδενὸϲ εἶναι κύριον, ὃν ἂν μὴ τῶν δέκα τοῖϲ ὑπὲρ ἥμιϲυ δοκῇ.

Ταύτην δὴ τοϲαύτην καὶ τοιαύτην δύναμιν ἐν ἐκείνοις τότε οὖϲαν τοῖϲ τόποις ὁ θεὸϲ ἐπὶ τούϲδε αὖ τοὺϲ τρόπους ξυντάξας ἐκόμιϲεν ἔκ τινοϲ τοιῶϲδε, ὡϲ λόγοϲ, προφάϲεωϲ. ἐπὶ πολλὰϲ μὲν γενεάϲ, μέχρι περ ἡ τοῦ θεοῦ φύϲιϲ αὐτοῖϲ ἐξήρκει, κατήκοοί τε ἦϲαν τῶν νόμων καὶ πρὸϲ τὸ ξυγγενὲϲ θεῖον φιλοφρόνωϲ εἶχον· τὰ γὰρ φρονήματα ἀληθινὰ καὶ πάνυ μεγάλα ἐκέκτηντο, πραότητι μετὰ φρονήϲεωϲ πρόϲ τε τὰϲ ἀεὶ ξυμβαινούϲαϲ τύχαϲ καὶ πρὸϲ ἀλλήλουϲ χρώμενοι, διὸ

postquam vero iudicaverant diesque illuxerat, in aurea tabula sententias insculpentes, eas una cum vestibus, monumenta futura posteris, suspendebant. Leges autem et aliae multae circa sacra regum propriae singulorum, sed hae praecipuae: ne unquam sibi inter se bellum inferrent, imme succurrerent omnes, si quis aliqua in civitate ipsorum genus regium exstirpare aggrederetur. tunc demum communiter, quemadmodum superiores, deliberassent de bello deque ceteris actionibus, imperii ius Atlantico generi tribuebant. caedis autem auctoritatem adversus aliquem cognatorum regi non concedebant, nisi plures ex decem quam quinque in eandem sententiam convenissent. Talem itaque tantamque potentiam, quae in illis tunc erat locis, Deus certo quodam ordine ad haec rursus loca deduxit, tali quadam, ut fertur, occasione: multa sane per secula, quoad natura illis divina perseveravit, legibus obediebant, et erga divinum genus ipsis cognatum benigne affecti erant. magnificae namque illorum animis et verae cogitationes inerant: unde et modestia utebantur prudentiaque, et ad ea, quae accidebant, et invicem. quocirca spernentes

πλὴν ἀρετῆς πάντα ὑπερορῶντες σμικρὰ ἡγοῦντο τὰ παρόντα, καὶ ῥᾳδίως ἔφερον οἷον ἄχθος τὸν τοῦ χρυσοῦ τε καὶ τῶν ἄλλων κτημάτων ὄγκον, ἀλλ' οὐ μεθύοντες ὑπὸ τρυφῆς διὰ πλοῦτον ἀκρατορες αὐτῶν ὄντες ἐσφάλλοντο, νήφοντες δὲ ὀξὺ καθεώρων ὅτι καὶ ταῦτα πάντα ἐκ φιλίας τῆς κοινῆς μετὰ ἀρετῆς αὐξάνηται, τῇ δὲ τούτων σπουδῇ καὶ τιμῇ φθίνει ταῦτά τε αὐτὰ κἀκείνη ξυναπόλλυται τούτοις. ἐκ δὴ λογισμοῦ τε τοιούτου καὶ φύσεως θείας παραμενούσης πάντ' αὐτοῖς ηὐξήθη ἃ πρὶν διήλθομεν. ἐπεὶ δ' ἡ τοῦ θεοῦ μὲν μοῖρα ἐξίτηλος ἐγίγνετο ἐν αὐτοῖς πολλῷ τῷ θνητῷ καὶ πολλάκις ἀναπεραννυμένη, τὸ δὲ ἀνθρώπινον ἦθος ἐπεκράτει, τότε ἤδη τὰ παρόντα φέρειν ἀδυνατοῦντες ἠσχημόνουν, καὶ τῷ δυναμένῳ μὲν ὁρᾶν αἰσχροὶ κατεφαίνοντο, τὰ κάλλιστα ἀπὸ τῶν τιμιωτάτων ἀπολλύντες, τοῖς δὲ ἀδυνατοῦσιν ἀληθινὸν πρὸς εὐδαιμονίαν βίον ὁρᾶν τότε δὴ μάλιστα πάγκαλοι μακάριοί τε ἐδοξάζοντο εἶναι, πλεονεξίας ἀδίκου καὶ δυνάμεως ἐμπιπλάμενοι. θεὸς δὲ ὁ θεῶν Ζεὺς ἐν νόμοις βασιλεύων, ἅτε δυνάμενος καθορᾶν τὰ τοιαῦτα, ἐννοήσας γένος ἐπιεικὲς ἀθλίως διατιθέμενον, δίκην αὐτοῖς ἐπιθεῖναι βου- 121

praeter virtutem omnia, parvi faciebant praesentia, neque efferebantur, sed tanquam onus quoddam existimabant auri ceterorumque opum. neque velut ebrii gemino ex alimento facti, in aliquo per incontinentiam aberrabant: immo vero utpote sobrii acute cernebant haec omnia communi ex amicitia una cum virtute incrementum suscipere: horum vero studio et admiratione disperdi haec et virtutem amicitiamque deficere. quod in eis mens talis et natura divina viguit, creverunt, quae supra narravimus, omnia: postquam vero divina sors in eis longo abusu crebrisque mortalium rerum affectibus inquinata evanuit, mosque humanus praevaluit, tunc primum, quia non possent ferre praesentia, dedecori succubuerunt: nam apud eos, qui cernere poterant, turpiter affecti existimabantur, cum pulcherrima ex pretiosissimis perdidissent: qui autem rectam ad beatitudinem vitam inspicere non valebant, tunc eos praeclaros beatosque putabant maxime, cum maxime iniqua plus habendi cupiditate et violentia replerentur. tunc sane Deus Deorum Iuppiter, qui regit omnia legibus, quique potest haec talia cernere, cum depravari generosam stirpem animadverteret,

ληθείς, ἵνα γένοιντο ἐμμελέστεροι σωφρονισθέντες, ξ
γειρε θεοὺς πάντας εἰς τὴν τιμιωτάτην αὑτῶν οἴκ
ἣ δὴ κατὰ μέσον παντὸς τοῦ κόσμου βεβηκυῖα
θορᾷ πάντα ὅσα γενέσεως μετείληφε, καὶ ξυναγ
ἔφατεν. . . . . .

hominesque eos punire vellet, ut adepti temperantiam modes
concinnioresque evaderent, Deos omnes in sedem eorum l
ratissimam convocavit, unde, tanquam ex medio mundi th
quaecunque generationi subiecta sunt, conspiciuntur. voca
concilio sic est exorsus.

PLATONIS
DIALOGORUM
PARTIS TERTIAE
APPENDIX

N O M O I

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΑΘΗΝΑΙΟΣ ΞΕΝΟΣ, ΚΛΕΙΝΙΑΣ ΚΡΗ
ΜΕΓΙΛΛΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΟΣ.

ATHENIENSIS HOSPES, CLINIAS CRETEN
MEGILLUS LACEDAEMONIUS.

A.

Θεὸς ἤ τις ἀνθρώπων ὑμῖν, ὦ ξένοι, αἴτιος ἦν τῆς τῶν νόμων διαθέσεως;

ΚΛ. Θεός, ὦ ξένε, θεός, ὡς γε τὸ δικαιότατον εἰπεῖν· παρὰ μὲν ἡμῖν Ζεύς, παρὰ δὲ Λακεδαιμονίοις, ὅθεν ὅδ' ἐστίν, οἶμαι φάναι τούτους Ἀπόλλωνα· ἢ γάρ;

ΜΕ. Ναί.

ΑΘ. Μῶν οὖν παῖ Ὁμήρου λέγεις, ὡς τοῦ Μίνω φοιτῶντος πρὸς τὴν τοῦ πατρὸς ἑκάστοτε συνουσίαν δι' ἐνάτου ἔτους καὶ κατὰ τὰς παρ' ἐκείνου φήμας ταῖς πόλεσιν ὑμῖν θέντος τοὺς νόμους;

ΚΛ. Λέγεται γὰρ οὕτω παρ' ἡμῖν· καὶ δὴ καὶ τὸν ἀδελφόν γε αὐτοῦ Ῥαδάμανθυν, ἀκούετε γὰρ τὸ ὄνο-

Deumne an aliquem hominum, o hospites, condendarum legum causam existimatis? *Cli.* Deum, o hospes, Deum, inquam, ut decet asserere: apud nos quidem Iovem, apud Lacedaemonios autem, unde hic est, Apollinem dictutos istos existimo, nonne? *Meg.* Certe. *Athen.* An Homerum secutus ita dicis? quasi Minos semper per novennium patris collocutionem petierit, einsque monitis civitatibus vestris leges posuerit. *Cli.* Sic nostri ferunt. fratrem quoque eius Rhadamanthum iustissimum fuisse auditis.

αὐτῶν αἰνίττετό τινα· δικάσαντες δὲ τὰ δικασθέντα, ἐπειδὴ φῶς γένοιτο, ἐν χρυσῷ πίνακι γράψαντες μετὰ τῶν ξολῶν μνημεῖα ἀνετίθεσαν. νόμοι δὲ πολλοὶ μὲν ἄλλοι περὶ τὰ γέρα τῶν βασιλέων ἑκάστων ἦσαν ἴδιοι, τὰ δὲ μέγιστα μή τέ ποτε ὅπλα ἐπ' ἀλλήλους οἴσειν βοηθήσειν τε πάντας, ἄν πού τις αὐτῶν ἔν τινι πόλει τὸ βασιλικὸν καταλύειν ἐπιχειρῇ γένος, κοινῇ δέ, καθάπερ οἱ πρόσθεν, βουλευόμενοι τὰ δόξαντα περὶ πολέμου καὶ τῶν ἄλλων πράξεων, ἡγεμονίαν ἀποδιδόντες τῷ Ἀτλαντικῷ γένει. θανάτου δὲ τὸν βασιλέα τῶν συγγενῶν μηδενὸς εἶναι κύριον, ὃν ἂν μὴ τῶν δέκα τοῖς ὑπὲρ ἥμισυ δοκῇ.

Ταύτην δὴ τοσαύτην καὶ τοιαύτην δύναμιν ἐν ἐκείνοις τότε οὖσαν τοῖς τόποις ὁ θεὸς ἐπὶ τούσδε αὖ τοὺς τρόπους ξυντάξας ἐκόμισεν ἔκ τινος τοιᾶσδε, ὡς λόγος, προφάσεως. ἐπὶ πολλὰς μὲν γενεάς, μέχρι περ ἡ τοῦ θεοῦ φύσις αὐτοῖς ἐξήρκει, κατήκοοί τε ἦσαν τῶν νόμων καὶ πρὸς τὸ ξυγγενὲς θεῖον φιλοφρόνως εἶχον· τὰ γὰρ φρονήματα ἀληθινὰ καὶ πάντῃ μεγάλα ἐκέκτηντο, πραότητι μετὰ φρονήσεως πρός τε τὰς ἀεὶ ξυμβαινούσας τύχας καὶ πρὸς ἀλλήλους χρώμενοι, διὸ

postquam vero iudicaverant diesque illuxerat, in aurea tabula sententias insculpentes, eas una cum vestibus, monumenta futura posteris, suspendebant. Leges autem et aliae multae circa sacra regum propriae singulorum, sed hae praecipuae: ne unquam sibi inter se bellum inferrent, imme succurrerent omnes, si quis aliqua in civitate ipsorum genus regium exstirpare aggrederetur. tunc demum communiter, quemadmodum superiores, deliberassent de bello deque ceteris actionibus, imperii ius Atlantico generi tribuebant. caedis autem auctoritatem adversus aliquem cognatorum regi non concedebant, nisi plures ex decem quam quinque in eandem sententiam convenissent. Talem itaque tantamque potentiam, quae in illis tunc erat locis, Deus certo quodam ordine ad haec rursus loca deduxit, tali quadam, ut fertur, occasione: multa sane per secula, quoad natura illis divina perseveravit, legibus obediebant, et erga divinum genus ipsis cognatum benigne affecti erant. magnificae namque illorum animis et verae cogitationes inerant: unde et modestia utebantur prudentiaque, et ad ea, quae accidebant, et invicem. quocirca spernentes

πλὴν ἀρετῆς πάντα ὑπερορῶντες σμικρὰ ἡγοῦντο τὰ παρόντα, καὶ ῥᾳδίως ἔφερον οἷον ἄχθος τὸν τοῦ χρυσοῦ τε καὶ τῶν ἄλλων κτημάτων ὄγκον, ἀλλ' οὐ μεθύοντες ὑπὸ τρυφῆς διὰ πλοῦτον ἀκράτορες αὑτῶν ὄντες ἐσφάλλοντο, νήφοντες δὲ ὀξὺ καθεώρων ὅτι καὶ ταῦτα πάντα ἐκ φιλίας τῆς κοινῆς μετὰ ἀρετῆς αὐξάνεται, τῇ δὲ τούτων σπουδῇ καὶ τιμῇ φθίνει ταῦτά τε αὐτὰ κἀκείνη ξυναπόλλυται τούτοις. ἐκ δὴ λογισμοῦ τε τοιούτου καὶ φύσεως θείας παραμενούσης πάντ' αὐτοῖς ηὐξήθη ἃ πρὶν διήλθομεν. ἐπεὶ δ' ἡ τοῦ θεοῦ μὲν μοῖρα ἐξίτηλος ἐγίγνετο ἐν αὐτοῖς πολλῷ τῷ θνητῷ καὶ πολλάκις ἀνακερανυμένη, τὸ δὲ ἀνθρώπινον ἦθος ἐπεκράτει, τότε ἤδη τὰ παρόντα φέρειν ἀδυνατοῦντες ἠσχημόνουν, καὶ τῷ δυναμένῳ μὲν ὁρᾶν αἰσχροὶ κατεφαίνοντο, τὰ κάλλιστα ἀπὸ τῶν τιμιωτάτων ἀπολλύντες, τοῖς δὲ ἀδυνατοῦσιν ἀληθινὸν πρὸς εὐδαιμονίαν βίον ὁρᾶν τότε δὴ μάλιστα παγκαλοι μακάριοί τε ἐδοξάζοντο εἶναι, πλεονεξίας ἀδίκου καὶ δυνάμεως ἐμπιπλάμενοι. θεὸς δὲ ὁ θεῶν Ζεὺς ἐν νόμοις βασιλεύων, ἅτε δυνάμενος καθορᾶν τὰ τοιαῦτα, ἐννοήσας γένος ἐπιεικὲς ἀθλίως διατιθέμενον, δίκην αὐτοῖς ἐπιθεῖναι βου- 121

praeter virtutem omnia, parvi faciebant praesentia, neque efferebantur, sed tanquam onus quoddam existimabant auri ceterorumque copiam. neque velut ebrii gemino ex alimento facti, in aliquo per incontinentiam aberrabant: immo vero utpote sobrii acute cernebant haec omnia communi ex amicitia una cum virtute incrementum suscipere: horum vero studio et admiratione disperdi haec et virtutem amicitiamque deficere. quod in eis mens talis et natura divina viguit, creverunt, quae supra narravimus, omnia: postquam vero divina sors in eis longo abusu crebrisque mortalium rerum affectibus inquinata evanuit, mosque humanus praevaluit, tunc primum, quia non possent ferre praesentia, dedecori succubuerunt: nam apud eos, qui cernere poterant, turpiter affecti existimabantur, cum pulcherrima ex pretiosissimis perdidissent: qui autem rectam ad beatitudinem vitam inspicere non valebant, tunc eos praeclaros beatosque putabant maxime, cum maxime iniqua plus habendi cupiditate et violentia replerentur. tunc sane Deus Deorum Iuppiter, qui regit omnia legibus, quique potest haec talia cernere, cum depravari generosam stirpem animadverteret,

ληθείς, ἵνα γένοιντο ἐμμελέστεροι σωφρονισθέντες, γειρε θεοὺς πάντας εἰς τὴν τιμιωτάτην αὐτῶν οἱ ἥ δὴ κατὰ μέσον παντὸς τοῦ κόσμου βεβηκυῖ θορᾷ πάντα ὅσα γενέσεως μετείληφε, καὶ ξυνα ἔφησεν. . . . . .

hominesque eos punire vellet, ut adepti temperantiam mod concinnioresque evaderent, Deos omnes in sedem eorum ratissimam convocavit, unde, tanquam ex medio mundi t quaecunque generationi subiecta sunt, conspiciuntur. vo concilio sic est exorsus.

PLATONIS
DIALOGORUM
PARTIS TERTIAE
APPENDIX

NOMOI

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΑΘΗΝΑΙΟΣ ΞΕΝΟΣ, ΚΛΕΙΝΙΑΣ ΚΡΗΣ
ΜΕΓΙΛΛΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΟΣ.

ATHENIENSIS HOSPES, CLINIAS CRETEN
MEGILLUS LACEDAEMONIUS.

A.

Θεὸς ἤ τις ἀνθρώπων ὑμῖν, ὦ ξένοι, αἴτιος ἦν τῆς τῶν νόμων διαθέσεως;

ΚΛ. Θεός, ὦ ξένε, θεός, ὡς γε τὸ δικαιότατον εἰπεῖν· παρὰ μὲν ἡμῖν Ζεύς, παρὰ δὲ Λακεδαιμονίοις, ὅθεν ὅδ' ἐστίν, οἶμαι φάναι τούτους Ἀπόλλωνα· ἢ γάρ;

ΜΕ. Ναί.

ΑΘ. Μῶν οὖν κατ' Ὅμηρον λέγεις, ὡς τοῦ Μίνω φοιτῶντος πρὸς τὴν τοῦ πατρὸς ἑκάστοτε συνουσίαν δι' ἐνάτου ἔτους καὶ κατὰ τὰς παρ' ἐκείνου φήμας ταῖς πόλεσιν ὑμῖν θέντος τοὺς νόμους;

ΚΛ. Λέγεται γὰρ οὕτω παρ' ἡμῖν· καὶ δὴ καὶ τὸν ἀδελφόν γε αὐτοῦ Ῥαδάμανθυν, ἀκούετε γὰρ τὸ ὄνο-

Deumne an aliquem hominum, o hospites, condendarum legum causam existimatis? *Cli.* Deum, o hospes, Deum, inquam, ut decet asserere: apud nos quidem Iovem, apud Lacedaemonios autem, unde hic est, Apollinem dicturos istos existimo, nonne? *Meg.* Certe. *Athen.* An Homerum secutus ita dicis? quasi Minos semper per novennium patris collocutionem petierit, einsque monitis civitatibus vestris leges posuerit. *Cli.* Sic nostri ferunt. fratrem quoque eius Rhadamanthum iustissimum fuisse auditis.

μα, δικαιότατον γεγονέναι. τοῦτον οὖν φαῖμεν ἄν
625 ἡμεῖς γε οἱ Κρῆτες ἐκ τοῦ τότε διανέμειν τὰ περὶ
τὰς δίκας ὀρθῶς τοῦτον τὸν ἔπαινον αὐτὸν εἰλη-
φέναι.

ΑΘ. Καὶ καλόν γε τὸ κλέος υἱεῖ τε Διὸς μάλα
πρέπον. ἐπειδὴ δὲ ἐν τοιούτοις ἤθεσι τέθραφθε νομι-
κοῖς σύ τε καὶ ὅδε, προσδοκῶ οὐκ ἂν ἀηδῶς ἡμᾶς περί
τε πολιτείας τὰ νῦν καὶ νόμων τὴν διατριβὴν λέγον-
τάς τε καὶ ἀκούοντας ἅμα κατὰ τὴν πορείαν ποιήσε-
σθαι. πάντως δ' ἥ γε ἐκ Κνωσοῦ ὁδὸς εἰς τὸ τοῦ Διὸς 1
ἄντρον καὶ ἱερόν, ὡς ἀκούομεν, ἱκανή, καὶ ἀνάπαυ-
λαι κατὰ τὴν ὁδόν, ὡς εἰκός, πνίγους ὄντος τὰ νῦν
ἐν τοῖς ὑψηλοῖς δένδρεσίν εἰσι σκιαραί, καὶ ταῖς ἡλι-
κίαις πρέπον ἂν ἡμῶν εἴη τὸ διαναπαύεσθαι πυκνὰ
ἐν αὐταῖς λόγοις τε ἀλλήλους παραμυθουμένους τὴν
ὁδὸν ἅπασαν οὕτω μετὰ ῥᾳστώνης διαπερᾶναι.

ΚΛ. Καὶ μὴν ἔξι γε, ὦ ξένε, προϊόντι κυπαρίτ-
των τε ἐν τοῖς ἄλσεσιν ὕψη καὶ κάλλη θαυμάσια, καὶ
λειμῶνες ἐν οἷσιν ἀναπαυόμενοι διατρίβοιμεν ἄν.

ΑΘ. Ὀρθῶς λέγεις. 2

ΚΛ. Πάνυ μὲν οὖν· ἰδόντες δὲ μᾶλλον φήσο-
μεν. ἀλλ' ἴωμεν ἀγαθῇ τύχῃ.

ΑΘ. Ταῦτ' εἴη. καί μοι λέγε, κατὰ τί τὰ ξυσσί-

eumque nos Cretenses, quia tunc recte ius unicuique distribuerit, hanc laudem consecutum fuisse censemus. *Athen.* Egregia profecto laus, maximeque filio Iovis conveniens. verum quia in huiusmodi moribus atque legibus ambo educati estis, tu scilicet atque iste, spero nobis non iniucundum fore, si inter eundum de constituendis civitatibus ac legibus disseramus. est autem a Cnoso in antrum templumque Iovis via satis, ut audivimus, longa: diversoriaque per ipsam sub altis arboribus, ut in aestu convenit, umbrosa sunt. nostrae igitur aetati conveniens erit frequenter in his requiescere, mutuoque orationis solamine sine molestia iter hoc omne transigere. *Cli.* Atqui cum progessi fuerimus, hospes, cupressos offendemus in lucis proceritate specieque mirabili, prata quoque amoena, in quibus requiescentes libenter commorabimur. *Athen.* Recte nimium loqueris. verum haec magis affirmabimus, cum viderimus. sed eamus iam bona fortuna comite. *Cli.* Fiat. *Athen.* Sed dic mihi, oro, quamobrem convivia exercitantes armorum-

τά τέ ὑμῖν συντέταχεν ὁ νόμος καὶ τὰ γυμνάσια καὶ τὴν τῶν ὅπλων ἕξιν;

ΚΛ. Οἶμαι μέν, ὦ ξένε, καὶ παντὶ ῥᾴδιον ὑπολαβεῖν εἶναι τά γε ἡμέτερα. τὴν γὰρ τῆς χώρας πάσης Κρήτης φύσιν ὁρᾶτε, ὡς οὐκ ἔχει, κἀθά περ ἡ τῶν Θετταλῶν, πεδιάς. διὸ δὴ καὶ τοῖς μὲν ἵπποις ἐκεῖνοι χρῶνται μᾶλλον, δρόμοισι δὲ ἡμεῖς· ἥδε γὰρ ἀνώμαλος αὖ καὶ πρὸς τὴν τῶν πεζῇ δρόμων ἄσκησιν μᾶλλον σύμμετρος. ἐλαφρὰ δὴ τὰ ὅπλα ἀναγκαῖον ἐν τῷ τοιούτῳ πεκτῆσθαι καὶ μὴ βάρος ἔχοντα θεῖν· τῶν δὴ τόξων καὶ τοξευμάτων ἡ κουφότης ἁρμόττειν δοκεῖ. ταῦτ' οὖν πρὸς τὸν πόλεμον ἡμῖν ἅπαντα ἐξήρτυται, καὶ πάνθ' ὁ νομοθέτης, ὡς γ' ἐμοὶ φαίνεται, πρὸς τοῦτο βλέπων συνετάττετο, ἐπεὶ καὶ τὰ ξυσσίτια κινδυνεύει ξυναγαγεῖν ὁρῶν ὡς πάντες, ὁπόταν στρατεύωνται, τόθ' ὑπ' αὐτοῦ τοῦ πράγματος ἀναγκάζονται φυλακῆς αὑτῶν ἕνεκα ξυσσιτεῖν τοῦτον τὸν χρόνον. ἄνοιαν δή μοι δοκεῖ καταγνῶναι τῶν πολλῶν ὡς οὐ μανθανόντων ὅτι πόλεμος ἀεὶ πᾶσι διὰ βίου ξυνεχής ἐστι πρὸς ἁπάσας τὰς πόλεις· εἰ δὴ πολέμου γε ὄντος φυλακῆς ἕνεκα δεῖ ξυσσιτεῖν καί τινας ἄρχοντας καὶ ἀρχομένους διακεκοσμημένους εἶναι φύλακας αὐτῶν, τοῦτο καὶ ἐν 628

que artem lex vobis instituit? *Cli.* Arbitror equidem, o hospes, nostra haec esse facillima cognitu. naturam enim regionis huius universam videtis non esse, ut Thessaliae, planam. iccirco equis illi magis, nos cursibus utimur. inaequalitas haec locorum ad pedestrem exercitationem cursumque est aptior. quapropter armaturam quoque leviorem esse necesse est, ne pondere suo cursum impediat. arcuum ergo sagittarumque levitas maxime congruit. haec igitur omnia ad bellum nobis accommodata sunt: ad idque respiciens legislator cuncta, ut mihi videtur, instituit. quippe huius gratia ipsam etiam convivendi legem sanxisse videtur: cum omnes videret in militia, re ipsa coactos, custodiae suae gratia convivia habere communia. in quo sane arbitror eum stultitiae crimine ceteros condemnasse, quod minime intelligant bellum semper inesse civitatibus omnibus ad omnes iuge atque perpetuum. nam si, dum est bellum, custodiae causa convivia celebrare, praefectosque aliquos una cum subiectis suis armatos tueri urbes oportet, id ipsum est pacis etiam tempore fa-

εἰρήνη δραστέον· ἦν γὰρ καλοῦσιν οἱ πλεῖστοι τῶν ἀνθρώπων εἰρήνην, τοῦτ' εἶναι μόνον ὄνομα, τῷ δ' ἔργῳ πάσαις πρὸς πάσας τὰς πόλεις ἀεὶ πόλεμον ἀκήρυκτον κατὰ φύσιν εἶναι. καὶ σχεδὸν ἀνευρήσεις οὕτω σκοπῶν τὸν Κρητῶν νομοθέτην, ὡς εἰς τὸν πόλεμον ἅπαντα δημόσιά καὶ ἰδία τὰ νόμιμα ἡμῖν ἀποβλέπων συνετάξατο, καὶ κατὰ ταῦτα οὕτω φυλάττειν παρέδωκε τοὺς νόμους, ὡς τῶν ἄλλων οὐδενὸς οὐδὲν ὄφελος ὄν, οὔτε κτημάτων οὔτ' ἐπιτηδευμάτων, ἂν μὴ τῷ πολέμῳ ἄρα κρατῇ τις· πάντα δὲ τὰ τῶν νικωμένων ἀγαθὰ τῶν νικώντων γίγνεσθαι.

ΑΘ. Καλῶς γε, ὦ ξένε, φαίνει μοι γεγυμνάσθαι πρὸς τὸ διειδέναι τὰ Κρητῶν νόμιμα. τόδε δέ μοι φράζε ἔτι σαφέστερον· ὃν γὰρ ὅρον ἔθου τῆς εὖ πολιτευομένης πόλεως, δοκεῖς μοι λέγειν οὕτω κεκοσμημένην οἰκεῖν δεῖν ὥστε πολέμῳ νικᾶν τὰς ἄλλας πόλεις. ἦ γάρ;

ΚΛ. Πάνυ μὲν οὖν· οἶμαι δὲ καὶ τῷδε οὕτω ξυνδοκεῖν.

ΜΕ. Πῶς γὰρ ἂν ἄλλως ἀποκρίναιτο, ὦ θεῖε, Λακεδαιμονίων γε ὁστισοῦν;

ΑΘ. Πότερ' οὖν δὴ πόλεσι μὲν πρὸς πόλεις ὀρθὸν τοῦτ' ἐστί, κώμῃ δὲ πρὸς κώμην ἕτερον;

ciundum. quam enim plerique pacem nominant, id esse nomen solummodo existimandum; re vero ipsa omnibus civitatibus ad omnes bellum esse natura, ne indictum quidem. reperies utique, si ita consideres, Cretensium legumlatorem omnes ferme leges, tam privatim quam publice, ita nobis conscripsisse, quasi ad bellum respiceret; atque ita illis parere iussisse, quasi ceterarum rerum nulla esset utilitas, non possessionum, non artium, nisi quis bello superet; cum omnia bona eorum, qui invicti sunt, ad victores illico transeant. *Athen.* Probe, o hospes, ad perficiendas Cretensium leges exercitatus mihi videris. sed id planius dicas. recte dispositam civitatem tunc demum dicere visus es, cum sic instituta est: ut ceteras bello vincere possit. nonne ita? *Cli.* Ita prorsus. hunc etiam arbitror consensurum. *Meg.* Haud aliter, o divine vir, Lacedaemoniorum quispiam responderet. *Athen.* Utrum civitas ad civitatem ita se habet; vicus autem ad vicum ali-

ΚΛ. Οὐδαμῶς.

ΑΘ. Ἀλλὰ ταὐτόν;

ΚΛ. Ναί.

ΑΘ. Τί δέ; πρὸς οἰκίαν οἰκίᾳ τῶν ἐν τῇ κώμῃ, καὶ πρὸς ἄνδρα ἀνδρὶ ἑνὶ πρὸς ἕνα, ταὐτὸν ἔτι;

ΚΛ. Ταὐτόν.

ΑΘ. Αὐτῷ δὲ πρὸς αὑτὸν πότερον ὡς πολεμίῳ πρὸς πολέμιον διανοητέον, ἢ πῶς ἔτι λέγομεν;

ΚΛ. Ὦ ξένε Ἀθηναῖε, οὐ γάρ σε Ἀττικὸν ἐθέλοιμ' ἂν προσαγορεύειν· θρησὶς γάρ μοι τῆς θεοῦ ἐπωνυμίας ἄξιος εἶναι μᾶλλον ἐπονομάζεσθαι· τὸν γὰρ λόγον ἐπ' ἀρχὴν ὀρθῶς ἀναγαγὼν σαφέστερον ἐποίησας, ὥστε ῥᾷον ἀνευρήσεις ὅτι νῦν δὴ ὑφ' ἡμῶν ὀρθῶς ἐρρήθη τὸ πολεμίους εἶναι πάντας πᾶσι δημοσίᾳ τε καὶ ἰδίᾳ ἑκάστους αὐτοὺς σφίσιν αὐτοῖς.

ΑΘ. Πῶς εἰρηκας, ὦ θαυμάσιε;

ΚΛ. Κἀνταῦθα, ὦ ξένε, τὸ νικᾶν αὐτὸν αὑτὸν πασῶν νικῶν πρώτη τε καὶ ἀρίστη, τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ πάντων αἴσχιστόν τε ἅμα καὶ κάκιστον. ταῦτα γὰρ ὡς πολέμου ἐν ἑκάστοις ἡμῶν ὄντος πρὸς ἡμᾶς αὐτοὺς σημαίνει.

ΑΘ. Πάλιν τοίνυν τὸν λόγον ἀναῤῥέψωμεν. ἐπειδὴ γὰρ εἷς ἕκαστος ἡμῶν ὁ μὲν κρείττων αὑτοῦ,

ther? *Cli.* Non aliter. *Athen.* Similiter ergo se habent. *Cli.* Similiter. *Athen.* Nunquid et domus ad domum, quae eodem in vico sunt, et singuli viri ad singulos? *Cli.* Similiter et ista. *Athen.* Quid porro de viro quolibet ad se ipsum est dicendum? utrum quemlibet ad se ipsum, quasi hostem ad hostem, affici dicemus? an aliter? *Cli.* O Atheniensis hospes, non enim ego te Atticum nominare volo, videris namque Deae ipsius Athenas, id est Palladis, cognomento dignior esse, nempe universam hanc rationem ad principium reductam ita planam fecisti, ut facilius invenire queat, modo probe fuisse dictum, hostes videlicet omnes omnibus esse, tam publice quam privatim, et singulos sibi ipsis. *Athen.* Quomodo id ais, o vir mirifice? *Cli.* Primam, o hospes, et optimam esse dico victoriam, ut se ipsum quis vincat: turpissimum vero quiddam et pessimum, ut a se ipso vincatur. atque haec omnia bellum esse singulis ad se ipsos significant. *Athen.* Orationem illam iteram resumamus. nam cum quisque nostrum aut

627 ὁ δὲ ἧττων ἐσί, πότερα φῶμεν οἰκίαν τε καὶ κώμην καὶ πόλιν ἔχειν ταὐτὸν τοῦτο ἐν αὑταῖς ἢ μὴ φῶμεν;

ΚΛ. Τὸ κρείττω τε αὐτῆς εἶναι λέγεις τινά, τὴν δ' ἧττω;

ΑΘ. Ναί.

ΚΛ. Καὶ τοῦτο ὀρθῶς ἤρου· πάνυ γὰρ ἔσι καὶ σφόδρα τὸ τοιοῦτον, οὐχ ἥκιστα, ἐν ταῖς πόλεσιν. ἐν ὁπόσαις μὲν γὰρ οἱ ἀμείνονες νικῶσι τὸ πλῆθος καὶ τοὺς χείρους, ὀρθῶς ἂν αὕτη κρείττων τε αὐτῆς λέγοιθ' ἡ πόλις ἐπαινοῖτό τε ἂν δικαιότατα τῇ τοιαύτῃ νίκῃ· τοὐναντίον δέ, ὅπου τἀναντία.

ΑΘ. Τὸ μὲν τοίνυν εἴ ποτ' ἐσί που τὸ χεῖρον κρεῖττον τοῦ ἀμείνονος ἐάσωμεν· μακροτέρου γὰρ λόγου· τὸ δὲ ὑπὸ σοῦ λεγόμενον μανθάνω νῦν, ὡς ποτε πολῖται ξυγγενεῖς καὶ τῆς αὐτῆς πόλεως γεγονότες ἄδικοι καὶ πολλοὶ ξυνελθόντες δικαίους ἐλάττους ὄντας βιάσονται δουλούμενοι, καὶ ὅταν μὲν κρατήσωσιν, ἧττων ἡ πόλις αὐτῆς ὀρθῶς αὕτη λέγοιτ' ἂν ἅμα καὶ κακή, ὅπου δ' ἂν ἡττῶνται, κρείττων τε καὶ ἀγαθή.

ΚΛ. Καὶ μάλα ἄτοπον, ὦ ξένε, τὸ νῦν λεγόμενον· ὅμως δ' ὁμολογεῖν οὕτως ἀναγκαιότατον.

superior se ipso sit aut inferior; dicendumne est eodem se modo domum, vicum et civitatem habere? an aliter? *Cli.* Sitne superior aliqua se ipsa, aliqua inferior, dicis? *Athen.* Id ipsum. *Cli.* Istud quoque recte quaesisti. non enim minus civitatibus id contingit: immo maxime hoc in eis perspicuum. nam ubi meliores multitudinem peioresque superant, recte profecto civitas illa superior se ipsa dicetur, et hac victoria non iniuria laudabitur: contra vero, ubi contrarium fit. *Athen.* Sed utrum quod peius est, meliore aliquando superius et potentius sit, ad praesens praetermittatur; longiore namque oratione indiget. quod autem abs te dictum est, sic intelligo, quod cives quandoque cognati et civitatis eiusdem, multi et improbi, adversus iustos, qui pauci, conspirabunt, vimque inferent, ut eos subiiciant: ac, si vicerint, civitas illa se ipsa inferior pravaque dicetur, sin autem victi fuerint, superior atque proba. *Cli.* Mirum est, hospes, quod dicitur. sic tamen fateri

ΑΘ. Ἔχε δή. καὶ τόδε πάλιν ἐπισκεψώμεθα. πολλοὶ ἀδελφοί που γένοιντ' ἂν ἑνὸς ἀνδρός τε καὶ μιᾶς νίεῖς, καὶ δὴ καὶ θαυμαζὸν οὐδὲν τοὺς πλείους μὲν ἀδίκους αὐτῶν γίγνεσθαι, τοὺς δὲ ἐλάττους δικαίους.

ΚΛ. Οὐ γὰρ οὖν.

ΑΘ. Καὶ οὐκ ἂν εἴη γε πρέπον ἐμοί τε καὶ ὑμῖν τοῦτο θηρεύειν, ὅτι νικώντων μὲν τῶν πονηρῶν ἥ τε οἰκία καὶ ἡ ξυγγένεια αὕτη πᾶσα ἥττων αὐτῆς λέγοιτ' ἄν, κρείττων δὲ ἡττωμένων· οὐ γὰρ εὐσχημοσύνης τε καὶ ἀσχημοσύνης ῥήμάτων ἕνεκα τὰ νῦν σκοπούμεθα πρὸς τὸν τῶν πολλῶν λόγον, ἀλλ' ὀρθότητός τε καὶ ἁμαρτίας πέρι νόμων, ἥ τίς ποτ' ἐξὶ φύσει.

ΚΛ. Ἀληθέστατα, ὦ ξένε, λέγεις.

ΜΕ. Καλῶς μὲν οὖν, ὡς γε καὶ ἐμοὶ ξυνδοκεῖν τό γε τοσοῦτον τὰ νῦν.

ΑΘ. Ἴδωμεν δὴ καὶ τόδε. τούτοις τοῖς ἄρτι λεγομένοις ἀδελφοῖς γένοιτ' ἄν πού τις δικαιῆς;

ΚΛ. Πάνυ γε.

ΑΘ. Πότερος οὖν ἀμείνων; ὅς τις τοὺς μὲν ἀπολέσειεν αὐτῶν ὅσοι κακοί, τοὺς δὲ βελτίους ἄρχειν αὐτοὺς αὑτῶν προστάξειεν, ἢ ὅδε ὃς ἂν τοὺς μὲν χρηστοὺς ἄρχειν, τοὺς χείρους δ' ἐάσας ζῆν ἄρχεσθαι ἐκόν-

necesse est. *Athen.* Age iam, et hoc rursus consideremus. multi ab uno patre matreque eadem fratres nasci possunt: nec mirum, si plures eorum iniusti erunt, iusti vero pauciores. *Cli.* Nihil mirum. *Athen.* Nec mihi modo neque vobis decorum est in hoc verba aucupari, in quo dicitur domus et cognatio universa inferior se ipsa videri, si pravi superent: superior, si vincantur. neque enim de his disputamus elegantiam vel ruditatem verborum observaturi, quod multi facere solent: sed quae recta ratio secundum naturam in legibus sit, quis error, indagaturi. *Cli.* Vera loqueris, hospes. *Meg.* Probe profecto hucusque mihi quoque dictum videtur. *Athen.* Hoc praeterea consideremus. utrum dictis modo fratribus iudex quispiam praeesse poterit? *Cli.* Procul dubio. *Athen.* Uter igitur melior erit iudex? num qui improbos perdet, efficietque ut probi sibi ipsi imperent? an qui probos quidem faciet imperare, improbos autem, cum sponte subire imperium per-

τας ποιήσεως; τρίτον δέ που δικαστὴν πρὸς ἀρετὴν ἔπεσθαι, εἴ τις εἴη τοιοῦτος, ὅς τις παραλαβὼν συγγένειαν μίαν διαφερομένην μήτε ἀπολέσειε μηδένα, διαλ-
638 λάξας δὲ εἰς τὸν ἐπίλοιπον χρόνον νόμους αὐτοῖς θείς πρὸς ἀλλήλους παραφυλάττειν δύναιτο, ὥστε εἶναι φίλους.

ΚΛ. Μακρῷ ἀμείνων γίγνοιτ' ἂν ὁ τοιοῦτος δικαστής τε καὶ νομοθέτης.

ΑΘ. Καὶ μὴν τοὐναντίον γε ἢ πρὸς πόλεμον ἂν βλέπων αὐτοῖς τοὺς νόμους διανομοθετοῖ.

ΚΛ. Τοῦτο μὲν ἀληθές.

ΑΘ. Τί δ' ὁ τὴν πόλιν ξυναρμόττων; πρὸς πόλεμον αὐτῆς ἂν τὸν ἔξωθεν βλέπων τὸν βίον κοσμοῖ μᾶλλον, ἢ πρὸς πόλεμον τὸν ἐν αὐτῇ γιγνόμενον ἑκάστοτε, ἢ δὴ καλεῖται στάσις; ὃν μάλιστα μὲν ἅπας ἂν βούλοιτο μήτε γενέσθαι ποτὲ ἐν ἑαυτοῦ πόλει γενόμενόν τε ὡς τάχιστα ἀπαλλάττεσθαι.

ΚΛ. Δῆλον ὅτι πρὸς τοῦτον.

ΑΘ. Πότερα δ' ἀπολομένων αὖ τῶν ἑτέρων εἰρήνην τῆς στάσεως γενέσθαι, νικησάντων δὲ ποτέρων, δέ- 8
ξαιτ' ἄν τις μᾶλλον ἢ φιλίας τε καὶ εἰρήνης ὑπὸ διαλλαγῶν γενομένης οὕτω τοῖς ἔξωθεν πολεμίοις προσέχειν ἀνάγκην εἶναι τὸν νοῦν;

suaserit, vivere patietur? tertium virtute iudicem his addamus, si quis talis reperietur, qui dissidentem cognationem ita commendatam habeat, ut neminem perdat, sed reconciliatis leges conscribat, quibus inter se perpetuo amici futuri sint. *Cli.* Longo melior talis iudex legumque conditor erit. *Athen.* Atqui contra, quam si ad bellum respiceret, ipsis leges conscribet. *Cli.* Vera loqueris. *Athen.* Quid autem? qui ad bellum respiciens civitatem constituit, utrum externa bella respiciet, et ad illa vitam civium referet: an intestina, quae seditiones appellantur, quae minime omnium esse in civitate sua quivis eligat, et si accidant, quam ocius fieri potest, sedari cupiat? *Cli.* Ad haec plane. *Athen.* Utrum vero perdita civium parte pacem ex seditione consequi, cum altera pars potita victoria sit, malit quispiam; an potius per reconciliationem facta pace amicitiaque firmata, ad externa bella totius animum civitatis converti? *Cli.* Hoc profecto potius quam illud ei-

ΚΛ. Οὕτω πᾶς ἂν ἐθέλοι πρότερον ἢ κεἰνως περὶ τὴν αὐτοῦ γίγνεσθαι πόλιν.

ΑΘ. Οὐκοῦν καὶ νομοθέτης ὡσαύτως;

ΚΛ. Τί μήν;

ΑΘ. Ἆρ' οὖν οὐ τοῦ ἀρίστου ἕνεκα πάντα ἂν τὰ νόμιμα τιθείη πᾶς;

ΚΛ. Πῶς δ' οὔ;

ΑΘ. Τό γε μὴν ἄριστον οὔτε ὁ πόλεμος οὔτε ἡ ἔφεσις, ἀπευκτὸν δὲ τὸ δεηθῆναι τούτων, εἰρήνη δὲ πρὸς ἀλλήλους ἅμα καὶ φιλοφροσύνη. καὶ δὴ καὶ τὸ νικᾶν, ὡς ἔοικεν, αὐτὴν αὐτὴν πόλιν οὐκ ἦν τῶν ἀρίστων ἀλλὰ τῶν ἀναγκαίων, ὅμοιον ὡς εἰ κάμινον σῶμα ἰατρικῆς καθάρσεως τυχὸν ἡγοῖτό τις ἄριστα πράττειν τότε, τῷ δὲ μηδὲ τὸ παράπαν δεηθέντι σώματι μηδὲ προσέχοι τὸν νοῦν. ὡσαύτως δὲ καὶ πρὸς πόλεως εὐδαιμονίαν ἢ καὶ ἰδιώτου διανοούμενος οὕτω τις οὔτ' ἄν ποτε πολιτικὸς γένοιτο ὀρθῶς, πρὸς τὰ ἔξωθεν πολεμικὰ ἀποβλέπων μόνον καὶ πρῶτον, οὔτ' ἂν νομοθέτης ἀκριβής, εἰ μὴ χάριν εἰρήνης τὰ πολέμου νομοθετοῖ μᾶλλον ἢ τῶν πολεμικῶν ἕνεκα τὰ τῆς εἰρήνης.

ΚΛ. Φαίνεταί μέν πως ὁ λόγος οὗτος, ὦ ξένε, ὀρθῶς εἰρῆσθαι, θαυμάζω γε μὴν εἰ τά τε παρ' ἡμῖν

vitati quae accidere quisque optabit. *Athen.* Nonne et legumlator similiter? *Cli.* Similiter. *Athen.* An non ipsius optimi gratia leges omnes ferendae sunt? *Cli.* Ipsius nempe. *Athen.* Atqui optimum nec bellum nec seditio est: omnes enim deprecantur, ne quid horum sibi ineundum sit: sed pax mutuaque benevolentia. sed neque victoria illa, qua civitas ipsa se ipsam superat, optimum quiddam est, sed necessarium potius. putare autem optimum civitatis statum in pugnando et vincendo consistere, simile est ac si quis optime cum aegrotante agi putet, dum curatur: nec de illo omnino quicquam cogitet, qui nunquam aegrotaverit. et si quis similiter de civitatis vel privati hominis felicitate existimet: nec civilis revera unquam vir erit, dum externa solum atque in primis bella respiciet; nec exquisitus legum conditor, nisi gratia pacis de bello potius quam belli gratia de pace leges conscribat. *Cli.* Recte haec, hospes, dicta esse videntur. ego vero mirarer,

νόμιμα καὶ ἔτι τὰ περὶ Λακεδαίμονα [μὴ πᾶσαν τὴν σπουδὴν τούτων ἕνεκα πεποίηται.

639 *ΑΘ.* Τάχ' ἂν ἴσως· δεῖ δ' οὐδὲν σκληρῶς ἡμᾶς αὐτοῖς διαμάχεσθαι τὰ νῦν, ἀλλ' ἠρέμα ἀνερωτᾶν, ὡς μάλιστα περὶ ταῦτα ἡμῶν τε καὶ ἐκείνων σπουδαζόντων. καί μοι τῷ λόγῳ ξυνακολουθήσατε. προστησώμεθα γοῦν Τύρταιον, τὸν φύσει μὲν Ἀθηναῖον, τῶνδε δὲ πολίτην γενόμενον, ὃς δὴ μάλιστα ἀνθρώπων περὶ ταῦτα ἐσπούδακεν εἰπὼν ὅτι

οὔτ' ἂν μνησαίμην οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην 1
οὔτ' εἴ τις πλουσιώτατος ἀνθρώπων εἴη, φησίν, οὔτ' εἰ πολλὰ ἀγαθὰ κεκτημένος, εἰπὼν σχεδὸν ἅπαντα, ὃς μὴ περὶ τὸν πόλεμον ἄριστος γίγνοιτ' ἀεί. ταῦτα γὰρ ἀκήκοάς που καὶ σὺ τὰ ποιήματα· ὅδε μὲν γάρ, οἶμαι, διακορὴς αὐτῶν ἐστίν.

ΜΕ. Πάνυ μὲν οὖν.

ΚΛ. Καὶ μὴν καὶ παρ' ἡμᾶς ἐλήλυθε κομισθέντα ἐκ Λακεδαίμονος.

ΑΘ. Ἴθι νῦν ἀνερώμεθα κοινῇ τουτονὶ τὸν ποιητὴν οὑτωσί πως, Ὦ Τύρταιε, ποιητὰ θειότατε δοκεῖς 2
γὰρ δὴ σοφὸς ἡμῖν εἶναι καὶ ἀγαθός, ὅτι τοὺς μὲν ἐν τῷ πολέμῳ διαφέροντας διαφερόντως ἐγκεκωμίακας·

si quis forte tam nostras quam Lacedaemoniorum leges non belli gratia sedulo positas esse contendat. *Athen.* Fortasse ita sit. oportet autem non contentiose, sed quiete rem inquirere, studio quam maxime tam a vobis quam ab illis huiusmodi rebus adhibito. attendatis igitur, oro. incipiamus a Tyrtaeo, natura quidem Atheniense, Lacedaemoniorum postea cive, qui prae ceteris hominibus maxime huiusmodi rebus incubuit. Nullam, inquit, illius ipse facio mentionem, nec omnino ullius pretii existimandum censeo, etiamsi ditissimus omnium sit, etiam si multa bona possideat. omnibusque fere numeratis infert: qui non semper optime se gerat in bello. haec tu quoque forsan carmina audivisti. nam hunc obtusum iam esse audiendo arbitror. *Meg.* Vulgatissima haec apud nos sunt. *Cli.* Ad nos quoque ista advecta de Lacedaemone pervenerunt. *Athen.* Communiter igitur hoc modo hunc poëtam interrogemus, O divine poëta Tyrtaee, sapiens certe ac bonus nobis esse videris, quia excellentibus eos extulisti laudibus,

ἤδη οὖν τυγχάνομιεν ἐγώ τε καὶ ὅδε καὶ Κλεινίας ὁ Κνώσιος οὑτοσὶ ξυμφερόμενοί σοι περὶ τούτου σφόδρα, ὡς δοκοῦμεν· εἰ δὲ περὶ τῶν αὐτῶν λέγομιεν ἀνδρῶν ἢ μή, βουλόμεθα σαφῶς εἰδέναι. λέγε οὖν ἡμῖν, ἆρα εἴδη δύο πολέμου, καθά περ ἡμεῖς, ἦγεῖ καὶ σὺ σαφῶς; ἢ πῶς; Πρὸς ταῦτα, οἶμαι, κἂν πολὺ φαυλότερος εἴποι Τυρταίου τις τἀληθές, ὅτι δύο, τὸ μὲν ὃ καλοῦμεν ἅπαντες ϛάσιν, ὃς δὴ πάντων πολέμων χαλεπώτατος, ὡς ἔφαμεν ἡμεῖς νῦν δή· τὸ δ' ἄλλο πολέμου θήσομεν, οἶμαι, γένος ἅπαντες ᾧ πρὸς τοὺς ἐπός τε καὶ ἀλλοφύλους χρώμεθα διαφερόμενοι, πολὺ πραότερον ἐκείνου.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Φέρε δή, ποτέρους καὶ πρὸς πότερον ἐπαινῶν τὸν πόλεμον οὕτως ὑπερεπῄνεσας, τοὺς δ' ἔψεξας τῶν ἀνδρῶν; ἔοικας μὲν γὰρ πρὸς τοὺς ἐκτός· εἴρηκας γοῦν ὧδε ἐν τοῖς ποιήμασιν, ὡς οὐδαμῶς τοὺς τοιούτους ἀνεχόμενος, Οἳ μὴ τολμήσωσι μὲν

ὁρᾶν φόνον αἱματόεντα,
καὶ θῆῖων ὀρέγοιντ' ἐγχύθεν ἰάμενοι.

Οὐκοῦν τὰ μετὰ ταῦτα εἴποιμεν ἂν ἡμεῖς ὅτι Σὺ μὲν ἐπαινεῖς, ὡς ἔοικας, ὦ Τύρταιε, μάλιϛα τοὺς πρὸς τὸν

qui in bello excelluerunt: de quo iam ego et hic et Clinias Gnosius valde tibi assentire videmur. utrum autem eisdem de viris dicamus, an non, plane scire vellemus. quare nobis explana, num tu quoque, sicuti et nos, duo belli genera arbitreris, an aliter. Ad haec arbitror non Tyrtaeum solum, sed et quemvis illo longe deiectiorem duo protinus responsurum: alterum, quod seditionem appellamus omniumque gravissimum esse modo concessimus, alterum vero belli genus, quod omnes ponimus multo mitius illo, quo adversus externos et alienigenas utimur. *Cli.* Cui dubium? *Athen.* Dic igitur nobis, quos viros in quo belli genere ita valde laudasti, et quos usque adeo vituperasti? videris enim eos laudasse, qui externa magno animo bella gerunt. sic enim in carminibus dixisti. Eos quidem prorsus despicio, qui sanguinolentas caedes spectare cominusque cum hoste pugnare non audeant. hinc nos, o Tyrtaee, eos te laudare colligimus, qui in exter-

ἐθνεῖόν τε καὶ ἔξωθεν πόλεμον γιγνόμενον ἐπιφανεῖ. Φαίη ταῦτ' ἄν που καὶ ὁμολογοῖ;

Κλ. Τί μήν;

Αθ. Ἡμεῖς δέ γε ἀγαθῶν ὄντων τούτων ἔτι φαμὲν ἀμείνους εἶναι καὶ πολὺ τοὺς ἐν τῷ μεγίστῳ πολέμῳ γιγνομένους ἀρίστους διαφανῶς. ποιητὴν δὲ καὶ ἡμεῖς μάρτυρα ἔχομεν, Θέογνιν, πολίτην τῶν ἐν Σικελίᾳ Μεγαρέων, ὃς φησί

πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
ἄξιος ἐν χαλεπῇ, Κύρνε, διιοχασίῃ.

τοῦτον δή φαμεν ἐν πολέμῳ χαλεπωτέρῳ ἀμείνονα ἐκείνου πολλοῦ γίγνεσθαι, σχεδὸν ὅσον ἀμείνων δικαιοσύνη καὶ σωφροσύνη καὶ φρόνησις εἰς ταὐτὸν ἐλθοῦσα μετ' ἀνδρίας. πιστὸς μὲν γὰρ καὶ ὑγιὴς ἐν ξύσεσιν οὐκ ἄν ποτε γένοιτο ἄνευ ξυμπάσης ἀρετῆς· βαβάντες δ' εὖ καὶ μαχόμενοι ἐθέλοντες ἀποθνήσκειν ἐν τῷ πολέμῳ, φράζει Τύρταιος, τῶν μισθοφόρων εἰσὶ πάμπολλοι, ὧν οἱ πλεῖστοι γίγνονται θρασεῖς καὶ ἄδικοι καὶ ὑβρισταὶ καὶ ἀφρονέστατοι σχεδὸν ἁπάντων, ἐκτοὶ δή τινων μάλα ὀλίγων. ποῖ δὴ τελευτᾷ νῦν ἡμῖν οὗτος ὁ λόγος, καὶ τί φανερόν ποτε ποιῆσαι βουληθεὶς λέγει ταῦτα; δῆλον ὅτι τόδε, ὡς παντὸς μᾶλλον καὶ ὁ τῇδε παρὰ Διὸς νομοθέτης, πᾶς τε οὗ καὶ συμπρὸν ὄφελος, οὐκ ἄλλο ἢ πρὸς τὴν μεγίστην ἀρετὴν μάλιστα

nis bellis gerendis prae ceteris clareant. concedet ista Tyrtaeus? *Cli.* Quidni? *Athen.* Nos autem, cum isti clari sint, longe clariores eos existimamus, qui maximo in bello praestant. testemque et nos poëtam habemus Theognim Megarensem civem ex Sicilia, qui ait *fidelem virum omni argento atque auro in seditione meliorem.* hunc itaque dicimus in gravissimo bello tanto illo esse meliorem, quanto sola fortitudine melior est iustitia, temperantia, sapientia fortitudini coniuncta. nemo enim integer et fidelis sine omnium virtutum numero in seditionibus reperiri poterit. multi autem etiam mercenarii, quod non negabit Tyrtaeus, reperiuntur, qui externo in bello intrepide pugnant: quorum plurimi feroces, iniurii, contumeliosi, paucissimisque exceptis omnium amentissimi. quorsum haec? quidque ex his declarandum? quod videlicet omnino tam ille, qui leges hic ab Iove dedit, quam alius omnis legumlator, si quid modo profaturus est, ita leges condet,

βλέπων ἀεὶ θήσει τοὺς νόμους· ἔχε δέ, ὡς φησι Θέογνις, αὕτη πιστότης ἐν τοῖς δεινοῖς, ἣν τις δικαιοσύνην ἂν τελέαν ὀνομάσειεν. ἣν δ' αὖ Τύρταιος ἐπῄνεσε μάλιστα, καλὴ μὲν καὶ κατὰ καιρὸν κεκοσμημένη τῷ ποιητῇ, τετάρτη μέντοι ὅμως ἀριθμῷ τε καὶ δυνάμει τοῦ τιμία εἶναι λέγοις' ἂν ὀρθότατα.

Κλ. Ὦ ξένε, τὸν νομοθέτην ἡμῶν ἀποβάλλομεν εἰς τοὺς πόρρω νομοθέτας;

Αθ. Οὐχ ἡμεῖς γε, ὦ ἄριστε, ἀλλ' ἡμᾶς αὐτούς, ὅταν οἰώμεθα πάντα τά τ' ἐν Λακεδαίμονι καὶ τὰ τῇδε πρὸς τὸν πόλεμον μάλιστα βλέποντας Λυκοῦργόν τε καὶ Μίνω τίθεσθαι τὰ νόμιμα.

Κλ. Τὸ δὲ πῶς χρὴν ἡμᾶς λέγειν;

Αθ. Ὡς περ τό τε ἀληθὲς, οἶμαι, καὶ τὸ δίκαιον ὑπέρ γε θείας διαλεγομένους λέγειν, οὐχ ὡς πρὸς ἀρετῆς τι μόριον, καὶ ταῦτα τὸ φαυλότατον, εἰθὺ βλέπων, ἀλλὰ πρὸς πᾶσαν ἀρετήν, καὶ κατ' εἴδη ζητεῖν αὐτῶν τοὺς νόμους, οὐδ' ἃ περ οἱ τῶν νῦν εἴδη προτιθέμενοι ζητοῦσιν· οὐ γὰρ ἂν ἕκαστος ἐν χρείᾳ γίγνηται, τοῦτο ζητεῖ νῦν παραθέμενος, ὁ μὲν τὰ περὶ τῶν κλήρων καὶ ἐπικλήρων, ὁ δὲ τῆς αἰκίας πέρι, ἄλλος δὲ ἄλλα ἄττα μυρία τοιαῦτα. ἡμεῖς δὲ φαμεν

non ad aliud quam ad amplissimam semper virtutem respiciat. Fides autem, ut inquit Theognis, fides illa, quae maxime in periculis lucet, quam iustitiam perfectam quis nominabit. ea vero, quam summopere Tyrtaeus laudavit, tsi pulchra est et a poëta opportune laudata, virtute tamen et numero quarto loco rectissime honoranda est. *Cli.* Ergo, hospes, legum nostrarum conditorem inter ultimos legum conditores proiiciemus? *Athen.* Non illum, o vir optime, sed ipsi nos ipsos: si quidem putemus et hic et apud Lacedaemonios Lycurgum et Minoem ad bellum respicientes leges condidisse. *Cli.* Quomodo igitur de hoc dicere nos oportebat? *Athen.* Ut veritas et iustitia postulat eos dicere, qui de divina re publica disserunt: non ad particulam virtutis, et praesertim ad deiectiorem, sed ad universam ipsos virtutem respexisse putandum, et per singulas earum species leges quaesisse, nec eas species investigasse, quas multi modo proponentes quaerunt. id enim quisque maxime quaerere solet, quo maxime indiget: alius de hereditate, alius de iniuria, alius de ceteris huiusmodi multis.

εἶναι τὸ περὶ νόμους ζήτημα τῶν εὖ ζητούντων, ὅπερ νῦν ἡμεῖς ἠρξάμεθα. καὶ σοῦ τὴν μὲν ἐπιχείρησιν τῆς ἐξηγήσεως περὶ τοὺς νόμους παντάπασιν ἄγαμαι· τὸ γὰρ ἀπ' ἀρετῆς ἄρχεσθαι, λέγοντα ὡς ἐτίθη ταύτης ἕνεκα τοὺς νόμους, ὀρθόν· ὅτι δὲ πάντα εἰς μόριον ἀρετῆς, καὶ ταῦτα τὸ σμικρότατον, ἐπαναφέροντα ἔφησθα αὐτὸν νομοθετεῖν, οὔτε ὀρθῶς ἔτι μοι κατεφάνης λέγων τόν τε ὕστερον νῦν λόγον τοῦτον πάντα εἰρηκα διὰ ταῦτα. πῇ δὴ οὖν σε ἔτ' ἂν ἐβουλόμην διελόμενον λέγειν αὐτός τε ἀκούειν; βούλει σοι φράζω;

ΚΛ. Πάνυ μὲν οὖν, ὦ ξένε.

ΑΘ. Ἐχρῆν εἰπεῖν, οἱ Κρητῶν νόμοι οὐκ εἰσὶ μάτην διαφερόντως ἐν πᾶσιν εὐδόκιμοι τοῖς Ἕλλησιν· ἔχουσι γὰρ ὀρθῶς τοὺς αὐτοῖς χρωμένους εὐδαίμονας ἀποτελοῦντες· ἅπαντα γὰρ τὰ ἀγαθὰ πορίζουσι. διπλᾶ δὲ ἀγαθά ἐστι, τὰ μὲν ἀνθρώπινα, τὰ δὲ θεῖα· ἤρτηται δ' ἐκ τῶν θείων θάτερα, καὶ ἐὰν μὲν δέχηταί τις τὰ μείζονα πόλις, κτᾶται καὶ τὰ ἐλάττονα, εἰ δὲ μή, φέρεται ἀμφοῖν. ἔστι δὲ τὰ μὲν ἐλάττονα ὧν ἡγεῖται μὲν ὑγίεια, κάλλος δὲ δεύτερον, τὸ δὲ τρίτον ἰσχὺς εἴς τε δρόμον καὶ εἰς τὰς ἄλλας πάσας κινήσεις τῷ σώματι, τέταρτον δὲ δὴ πλοῦτος οὐ τυφλὸς ἀλλ' ὀξὺ

nos autem tunc de legibus bene quaeri putamus, cum ita, ut nunc modo incepimus, quaeritur. ac tuum equidem ingressum ad exponendas leges valde probo. quod enim a virtute fecisti principium, dicens leges virtutis gratia conditas, recte quidem aggressus esse videris: quod autem ad particulam virtutis, et eam minimam, respexisse conditorem legum affirmasti, haud recte mihi visus es dicere, atque iccirco longiore postea oratione usus sum. quomodo autem te nobis distinguere voluissem, si vis, tibi dicam. *Cl.* Volo equidem. *Athen.* Hunc in modum dicere oportebat, o hospes. Cretensium leges non temere omnibus Graecis in primis probantur. recte enim positae sunt, cum utentes eis beatos efficiant. omnia enim bona his porrigunt. duplicia vero bona sunt, alia humana, divina alia: dependentque a divinis humana. si qua vero civitas maiora suscepit, minora quoque possidet: sin autem illis caret, utrisque privatur. minorum primum est sanitas, forma secundum, tertium vires ad cursum ceterosque corporis motus, quartum divitiae, quae caecae non sunt, sed acute cernunt, si pruden-

βλέπων, ἂν περ ἅμ' ἕπηται φρονήσει. ὃ δὴ πρῶτον αὖ τῶν θείων ἡγεμονοῦν ἐστὶν ἀγαθῶν, ἡ φρόνησις, δεύτερον δὲ μετὰ νοῦν σώφρων ψυχῆς ἕξις· ἐκ δὲ τούτων μετ' ἀνδρίας κραθέντων τρίτον ἂν εἴη δικαιοσύνη, τέταρτον δὲ ἀνδρία. ταῦτα δὲ πάντα ἐκείνων ἔμπροσθεν τέτακται φύσει, καὶ δὴ καὶ τῷ νομοθέτῃ τακτέον οὕτω. μετὰ δὲ ταῦτα τὰς ἄλλας προστάξεις τοῖς πολίταις εἰς ταῦτα βλεπούσας αὐτοῖς εἶναι διακελευστέον, τούτων δὲ τὰ μὲν ἀνθρώπινα εἰς τὰ θεῖα, τὰ δὲ θεῖα εἰς τὸν ἡγεμόνα νοῦν ξύμπαντα βλέπειν. περί τε γάμους ἀλλήλοις ἐπικοινουμένους, μετὰ δὲ ταῦτα ἐν ταῖς τῶν παίδων γεννήσεσι καὶ τροφαῖς, ὅσοι τε ἄῤῥενες καὶ ὅσοι θήλειαι, νέων τε ὄντων καὶ ἐπὶ τὸ πρεσβύτερον ἰόντων μέχρι γήρως τιμῶντα ὀρθῶς ἐπιμελεῖσθαι δεῖ καὶ ἀτιμάζοντα, ἐν πάσαις ταῖς τούτων ὁμιλίαις τάς τε λύπας αὐτῶν καὶ τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας ξυμπάντων τε ἐρώτων τὰς σπουδὰς ἐπεσεμ- 631
μένον καὶ παραπεφυλαγότα ψέγειν τε ὀρθῶς καὶ ἐπαινεῖν δι' αὐτῶν τῶν νόμων· ἐν ὀργαῖς τε αὖ καὶ ἐν φόβοις, ὅσαι τε διὰ δυστυχίαν παραχαὶ ταῖς ψυχαῖς γίγνονται καὶ ὅσαι ἐν εὐτυχίαις τῶν τοιούτων ἀποφυγαί, ὅσα τε κατὰ νόσους ἢ κατὰ πολέμους ἢ πενίας

sequuntur. quae quidem prudentia divinorum bonorum dux primus exsistit. deinde post mentem temperatus animi habitus. ex his duobus, cum fortitudine mixtis, iustitia tertio emergit. fortitudo quartum tenet locum. quae omnia humanis illis natura praeponuntur. quare oportet ut legum quoque lator et ipse hunc ordinem sequatur, et mandet omnibus ut semper ad haec ipsa respicientes in singulis operentur. humana enim ad divina, divina vero ad mentem principem referenda. curet praeterea oportet nuptias inter cives et generationes educationesque liberorum, masculorum pariter et feminarum, tam iuvenum quam aetate provectorum, et eos, qui recte in hisce se gerunt, ut decet, honoret, contra vero dolores, voluptates et cupiditates in omni conversatione vituperet: considerabit etiam diligenter, ad quae studia quemque raptat amor: rectaque officia per leges laudabit, vituperabit contraria: docebit item atque definiet, quid in cuiusque affectu honestum sit, quid turpe, circa iram videlicet atque metum et alias, quaecunque vel adversis in rebus accidunt perturbationes, vel secundis delicias, atque circa omnes denique motus, qui ex morbo, bello,

ἢ τὰ τούτοις ἐναντία γιγνόμενα προσπίπτει τοῖς ἀνθρώποις παθήματα, ἐν πᾶσι τοῖς τοιούτοις τῆς ἑκάστων διαθέσεως διδακτέον καὶ ὁριστέον τό τε καλὸν καὶ μή. μετὰ δὲ ταῦτα ἀνάγκη τὸν νομοθέτην τὰς κτήσεις τῶν πολιτῶν καὶ τὰ ἀναλώματα φυλάττειν, ὅν τινα ἂν γίγνηται τρόπον, καὶ τὰς πρὸς ἀλλήλους πᾶσι τούτοις κοινωνίας καὶ διαλύσεις ἑκοῦσί τε καὶ ἄκουσι, καθ' ὁποῖον ἂν ἕκαστον πράττωσι τῶν τοιούτων πρὸς ἀλλήλους, ἐπισκοπεῖν τό τε δίκαιον καὶ μή, ἐν οἷς ἔστι τε καὶ ἐν οἷς ἐλλείπει, καὶ τοῖς μὲν εὐπειθέσι τῶν νόμων τιμὰς ἀπονέμειν, τοῖς δὲ δυσπειθέσι δίκας τακτὰς ἐπιτιθέναι, μέχρι περ ἂν πρὸς τέλος ἀπάσης πολιτείας ἐπεξελθὼν ἴδῃ τῶν τελευτησάντων τίνα δεῖ τρόπον ἑκάστοις γίγνεσθαι τὰς ταφὰς καὶ τιμὰς ἃς τινας αὐτοῖς ἀπονέμειν δεῖ. κατιδὼν δὲ ὁ θεὶς τοὺς νόμους ἅπασι τούτοις φύλακας ἐπιστήσει, τοὺς μὲν διὰ φρονήσεως, τοὺς δὲ δι' ἀληθοῦς δόξης ἰόντας, ὅπως πάντα ταῦτα ξυνδήσας ὁ νοῦς ἑπόμενα σωφροσύνῃ καὶ δικαιοσύνῃ ἀποφήνῃ, ἀλλὰ μὴ πλούτῳ μηδὲ φιλοτιμίᾳ. οὕτως, ὦ ξένοι, ἔγωγε ἤθελον ἂν ὑμᾶς, καὶ ἔτι νῦν βούλομαι, διεξελθεῖν πῶς ἐν τοῖς τοῦ Διὸς λεγομένοις νόμοις τοῖς τε τοῦ Πυθίου Ἀπόλλωνος, οὓς Μίνως τε καὶ Λυκοῦργος ἐθέτην, ἔνεσί τε πάντα ταῦτα, καὶ ὅπῃ

paupertate vel horum contrariis homines vexant. post haec necesse est, ut legislator quaestus impensasque civium diligenter observet, et, quomodo fiant, agnoscat, commercia item in his omnibus ac solutiones, quas vel sponte vel coacte faciant, quicquid horum inter se contraxerunt, ubi iustitia adsit, ubi adsit, animadvertat, et parentibus quidem honores, non parentibus debitas poenas constituat. demum omnibus ad finem usque rei publicae pertractatis, animadvertat statuatque necesse est, quomodo monumenta mortuis exstrui quive defunctis singulis honores impendi debeant. his denique declaratis, legislator omnibus istis custodes praeficiet, alios prudentia, alios vera opinione agentes, ut mens in unum haec omnia colligens eo deducat, ut temperantiam et iustitiam potius quam divitias ambitionemve sequantur. ita equidem, hospites, [illegible]issem, atque etiam volo, a vobis exponi, quo pacto in legi[illegible]lovis et Apollinis Pythii, quas Minos et Lycurgus scripse[illegible] insint haec omnia, et quonam ordine posita pateant illi.

τάξιν τινὰ εἰληφότα διάδηλά ἐστι τῷ περὶ νόμων ἐμπείρῳ τέχνῃ εἴτε καί τισιν ἔθεσι, τοῖς δὲ ἄλλοις ἡμῖν οὐδαμῶς ἐστὶ καταφανῆ.

ΚΛ. Πῶς οὖν, ὦ ξένε, λέγειν χρὴ τὰ μετὰ ταῦτα;

ΑΘ. Ἐξ ἀρχῆς πάλιν ἔμοιγε δοκεῖ χρῆναι διεξελθεῖν, καθά περ ἠρξάμεθα, τὰ τῆς ἀνδρίας πρῶτον ἐπιτηδεύματα· ἔπειτα ἕτερον καὶ αὖθις ἕτερον εἶδος τῆς ἀρετῆς διέξιμεν, ἐὰν βούλησθε· ὅπως δ' ἂν τὸ πρῶτον διεξέλθωμεν, πειρασόμεθα αὐτὸ παράδειγμα θέμενοι καὶ τἆλλα οὕτω διαμυθολογοῦντες παραμύθια ποιήσασθαι τῆς ὁδοῦ· ὕστερον δὲ ἀρετῆς πάσης, καὶ ἄ γε νῦν δὴ διήλθομεν, ἐκεῖσε βλέποντα ἀποφανοῦμεν, ἢν θεὸς ἐθέλῃ.

ΜΕ. Καλῶς λέγεις. καὶ πειρῶ πρῶτον κρίνειν τὸν τοῦ Διὸς ἐπαινέτην νόνδε ἡμῖν. 635

ΑΘ. Πειράσομαι καὶ σέ τε καὶ ἐμαυτόν· κοινὸς γὰρ ὁ λόγος. λέγετε οὖν. τὰ ξυσσίτιά φαμεν καὶ τὰ γυμνάσια πρὸς τὸν πόλεμον ἐξευρῆσθαι τῷ νομοθέτῃ;

ΜΕ. Ναί.

ΑΘ. Καὶ τρίτον ἢ τέταρτον; ἴσως γὰρ ἂν οὕτω χρείη διαριθμήσασθαι καὶ περὶ τῶν τῆς ἄλλης ἀρετῆς

qui artificio vel usu quodam legum peritiam habet; nobis vero aliis nullo modo pateant. *Cli.* Quo pacto igitur, hospes, quae sequuntur, tractanda sunt? *Athen.* Ab initio rursus, ut suprà coepimus, tractanda in primis ea mihi videntur, quae ad fortitudinem pertinent: deinde aliam atque aliam virtutis speciem transigemus, si vobis etiam ita placet. verum iam primum pertractemus; ad eiusque exemplar cetera, ut confabulatio levamen nobis itineris afferat. postremo vero, cum de universa virtute tractaverimus, ea, quae modo retulimus, illuc respicere, si Deus voluerit, ostendemus. *Cli.* Recte dicis: conareque primo nobis Iovis hunc laudatorem comprobare. *Athen.* Conabor et te simul et me ipsum. communis enim pertinet haec nobis oratio. dicite igitur: num convivia exercitiaque ad bellum a legumlatore inventa fuisse diximus? *Cli.* Utique. *Athen.* An tertium vel quartum ad idem inventum fuisse dicendum? forte enim ita dinumerare oportet, tum in

εἴτε μερῶν εἴτε ἅττ' αὐτὰ καλεῖν χρεών ἐστι, δηλοῦντα μᾶλλον ἃ λέγει.

ΜΕ. Τρίτον τοίνυν, ἔγωγε ἔφοιμ' ἂν καὶ Λακεδαιμονίων οὐδενὸς οὐν, τὴν θήραν εὑρεῖν· τέταρτον δὲ ἢ πέμπτον εἰ δυναίμεθα λέγειν, πειρώμεθα. ἔτι τοίνυν καὶ τὸ τέταρτον ἔγωγε πειρώμην ἂν λέγειν, τὸ περὶ τὰς παρατρίψεις τῶν ἀλγηδόνων πολὺ παρ' ἡμῖν γιγνόμενον ἔν τε ταῖς πρὸς ἀλλήλους ταῖς χερσὶ μάχαις καὶ ἐν ἁρπαγαῖς νυκτὶ διὰ πολλῶν πληγῶν ἑκάστοτε γιγνομένων. ὅτι δὲ καὶ κρύπτειά τις ὀνομάζεται θαυμαστῶς πολύπονος πρὸς τὰς παρατρίψεις, χειμώνων τε ἀνυποδησίαι καὶ ἀρρωσίαι καὶ ἄνευ θεραπόντων αὐτοῖς ἑαυτῶν διακονήσεις, νύκτωρ τε πλανωμένων διὰ πάσης τῆς χώρας καὶ μεθ' ἡμέραν. ἔτι δὲ πᾶν ταῖς γυμνοπαιδιαῖς δεινὰι παρατρίψεις παρ' ἡμῖν γίγνονται τῇ τοῦ πυγμοῦς ῥώμῃ διαμαχομένων, καὶ πάμπολλα ἕτερα, σχεδὸν ὅσα οὐκ ἂν παύσαιτό τις ἑκάστοτε διεξιών.

ΑΘ. Εὖ γε, ὦ Λακεδαιμόνιε ξένε, λέγεις. τὴν ἀνδρίαν δέ, φέρε, τί θῶμεν, πότερον ἁπλῶς οὕτως εἶναι πρὸς φόβους καὶ λύπας διαμάχην μόνον, ἢ καὶ πρὸς πόθους τε καὶ ἡδονὰς καί τινας δεινὰς θωπείας

hoc virtutis genere, tum in ceterarum virtutum sive parte, sive quomodocunque aliter declarationis duntaxat gratia nominare deceat. *Meg.* Tertium vero ipse dicerem, nec Lacedaemoniorum quisquam negaret, venationem excogitatam fuisse. quartum autem et quintum invenire conemur. quartum itaque pono apud meos praecipuum, scilicet doloris tolerantiam: quae res pugnis inter se ac rapinis quibusdam multis cum vulneribus quotidie adhibetur. ad haec occultatio quaedam mirabilis et ad tolerantiam valida, nudis in hieme pedibus, nudo etiam saepe reliquo corpore, sine ministris die nocteque per omnem regionem errantium enarratur. praeterea in nudorum exercitationibus adolescentum mirabilis apud nos tolerantia, cum intensi caloris potentiae resistendum sit: multa huiusmodi apud nos alia sunt, quae non facile quispiam enumeraret. *Athen.* Probe loqueris, hospes Lacedaemonie. sed virtum ad timores solum atque dolores fortitudini pugna est duntaxat? an etiam ad cupiditates voluptatesque ac vehementes quas-

τελαπιδᾶς, αἳ καὶ τῶν σεμνῶν οἰομένων εἶναι τοὺς θυμοὺς μαλάττουσαι κηρίνους ποιοῦσιν;

ΜΕ. Οἶμαι μὲν οὕτω, πρὸς ταῦτα ξύμπαντα.

ΑΘ. Εἰ γοῦν μεμνήμεθα τοὺς ἔμπροσθεν λόγους, ἦττω τινὰ ὧδε καὶ πόλιν ἔλεγεν αὐτὴν αὑτῆς καὶ ἄνδρα. ἦ γάρ, ὦ ξένε Κνώσιε;

ΚΛ. Καὶ πάνυ γε.

ΑΘ. Νῦν οὖν πότερα λέγομεν τὸν τῶν λυπῶν ἧττω κακὸν ἢ καὶ τὸν τῶν ἡδονῶν μᾶλλον;

ΚΛ. Ἔμοιγε δοκεῖ, τὸν τῶν ἡδονῶν· καὶ πάντες που μᾶλλον λέγομεν τὸν ὑπὸ τῶν ἡδονῶν κρατούμενον, τοῦτον τὸν ἐπονειδίστως ἥττονα ἑαυτοῦ, πρότερον ἢ τὸν ὑπὸ τῶν λυπῶν.

ΑΘ. Ὁ Διὸς οὖν δὴ καὶ ὁ Πυθικὸς νομοθέτης οὐ δή που χωλὴν τὴν ἀνδρίαν νενομοθετήκατον, πρὸς τὰ ἀριστερὰ μόνον δυναμένην ἀντιβαίνειν, πρὸς δὲ τὰ δεξιὰ καὶ κομψὰ καὶ θωπευτικὰ ἀδυνατοῦσαν; ἢ πρὸς ἀμφότερα;

ΚΛ. Πρὸς ἀμφότερα ἔγωγε ἀξιῶ.

ΑΘ. Λέγωμεν τοίνυν πάλιν, ἐπιτηδεύματα ποῖα ἔσθ' ὑμῖν ἀμφοτέραις ταῖς πόλεσιν, ἃ γεύοντα τῶν ἡδονῶν καὶ οὐ φεύγοντα αὐτάς, καθάπερ τὰς λύπας

dam blanditias, quae eorum etiam, qui honesti videntur, animos flectunt et quasi cereos faciunt? *Meg.* Adversus haec omnia. *Athen.* Si recte dictorum meminimus, hic civitatem aliquam se ipsa inferiorem et virum aliquem inferiorem se ipso esse dicebat. itane, hospes Gnosie? *Cli.* Ita prorsus. *Athen.* Utrum igitur eum, qui dolore frangitur, an eum, qui voluptate superatur, deteriorem vocare oportet? *Cli.* Eum, arbitror, qui superatur a voluptate: omnesque voluptate illaqueatum hominem inferiorem se ipso magis, et quidem cum opprobrio, quam dolore demollitum putant. *Athen.* Quare Iovis et Apollinis legumlatores claudam fortitudinem posuerint, quae ad sinistram quidem adversis resistere possit; ad dextram vero rebus secundis et laetis blandientibusque succumbat; immo ad utrumque sufficientem. *Cli.* Ad utrumque, arbitror. *Athen.* Exponamus itaque similiter, quaenam officia vestris in civitatibus sunt, quae gustent quodammodo voluptates, non fugiant omnino, quemadmodum nec dolores refugiunt; sed perinde, ut de doloribus agunt, ducant in me-

οὐκ ἔφευγεν, ἀλλ' ἄγοντα εἰς μέσας ἠνάγκαζε καὶ ἔπειθε τιμαῖς ὥς τε κρατεῖν αὐτῶν; ποῦ δὴ τοῦτ' ἔστι ταὐτὸν περὶ τὰς ἡδονὰς συντεταγμένον ἐν τοῖς νόμοις; λεγέσθω, τί τοῦτ' ἐστὶν ὃ καὶ ἀπεργάζεται ὑμῖν ἀμοίως πρός τε ἀλγηδόνας καὶ πρὸς ἡδονὰς τοὺς αὐτοὺς ἀνδρείους νικῶντάς τε ἃ δεῖ νικᾷν, καὶ οὐδαμῶς ἥττους πολεμίων τῶν ἐγγύτατα ἑαυτῶν καὶ χαλεπωτάτων.

ΜΕ. Οὕτω μὲν τοίνυν, ὦ ξένε, καθά περ πρὸς τὰς ἀλγηδόνας εἶχον νόμους ἀντιτεταγμένους πολλοὺς εἰπεῖν, οὐκ ἂν ἴσως εὐποροίην κατὰ μεγάλα μέρη καὶ διαφανῆ λέγων περὶ τῶν ἡδονῶν· κατὰ δὲ σμικρὰ ἴσως εὐποροίην ἄν.

ΚΛ. Οὐ μὴν οὐδ' ἂν αὐτὸς ἔγωγε ἐν τοῖς κατὰ Κρήτην νόμοις ἔχοιμι ἐμφανὲς ὁμοίως ποιεῖν τὸ τοιοῦτον.

ΑΘ. Ὦ ἄριστοι ξένων, καὶ οὐδέν γε θαυμαστόν. ἀλλ' ἂν ἄρα τις ἡμῶν περὶ τοὺς ἑκάστων οἴκοι νόμους ψέξῃ τι, βουλόμενος ἰδεῖν τό τε ἀληθὲς ἅμα καὶ τὸ βέλτιστον, μὴ χαλεπῶς ἀλλὰ πράως ἀποδεχώμεθα ἀλλήλων.

ΚΛ. Ὀρθῶς, ὦ ξένε Ἀθηναῖε, εἴρηκας, καὶ πειστέον.

dias voluptates, ad easque superandas compellant et honoribus persuadeant. ubinam vestris in legibus id conspicitur, quod aeque contra voluptates, sicuti contra dolores, homines fortes efficiat, victoresque, quorum oportet, ostendat: nec ullo modo patiatur a proximis cuique intra se et gravissimis hostibus superari? dicite, obsecro, quid apud vos tale? *Meg.* Non ita facile, hospes, quemadmodum multas dolori oppositas leges, ita etiam voluptati possem producere: nec magnas perspicuasque partes adversus voluptates habeo; parvas vero forsan reperiam. *Cli.* Nec ego in Cretensium legibus similiter id ostendere possem. *Athen.* Nec mirum est, optimi hospites. verum si quis inter nos veri et optimi diligens investigator nonnihil in patriis cuiusque nostrum legibus reprehendat, non gravi quidem, sed aequo animo, vicissim ferre debemus. *Cli.* Probe loqueris, Atheniensis hospes, quare tibi pa-

ΑΘ. Οὐ γὰρ ἄν, ὦ Κλεινία, τηλικοῖσδε ἀνδράσι πρέποι τὸ τοιοῦτον.

ΚΛ. Οὐ γὰρ οὖν.

ΑΘ. Εἰ μὲν τοίνυν ὀρθῶς ἢ μή τις ἐπιτιμᾷ τῇ τε Λακωνικῇ καὶ τῇ Κρητικῇ πολιτείᾳ, ὁ λόγος ἂν ἕτερος εἴη· τὰ δ' οὖν λεγόμενα πρὸς τῶν πολλῶν ἴσως ἐγὼ μᾶλλον ἔχοιμ' ἂν ὑμῶν ἀμφοτέρων λέγειν. ὑμῖν μὲν γάρ, εἴ περ καὶ μετρίως κατεσκεύασαι τὰ τῶν νόμων, εἷς τῶν καλλίστων ἂν εἴη νόμων μὴ ζητεῖν τῶν νέων μηδένα ἐᾷν ποῖα καλῶς αὐτῶν ἢ μὴ καλῶς ἔχει, μιᾷ δὲ φωνῇ καὶ ἐξ ἑνὸς στόματος πάντας συμφωνεῖν ὡς πάντα καλῶς κεῖται θέντων θεῶν, καὶ ἐάν τις ἄλλως λέγῃ, μὴ ἀνέχεσθαι τὸ παράπαν ἀκούοντας· γέρων δὲ εἴ τίς τι ξυννοεῖ τῶν παρ' ὑμῖν, πρὸς ἄρχοντά τε καὶ πρὸς ἡλικιώτην μηδενὸς ἐναντίον νέου ποιεῖσθαι τοὺς τοιούτους λόγους.

ΚΛ. Ὀρθότατά γε, ὦ ξένε, λέγεις, καὶ παθά περ μάντις ἀπὼν τῆς τότε διανοίας τοῦ τιθέντος αὐτὰ νῦν ἐμπειρικῶς μοι δοκεῖς ἐξοχάσθαι καὶ σφόδρα ἀληθῆ λέγειν.

ΑΘ. Οὐκοῦν ἡμῖν τὰ νῦν ἐρημία μὲν νέων, αὐτοὶ δ' ἕνεκα γήρως ἀφειμεθ' ὑπὸ τοῦ νομοθέτου διαρendum censeo. *Athen.* Profecto non aliter, Clinia, huius aetatis et conditionis homines facere decet. *Cli.* Non certe. *Athen.* Utrum recte, necne, Laconicam et Cretensem rem publicam quis reprehendere possit, alia quaestio est. quae vero a multis dicuntur, forsitan ego magis quam uterque vestrum referre possum: vobis quidem, si recte constitutae sunt leges, una certe lex erit praeclarissima, quae iubeat, ne quis invenum quaerere audeat, rectene an contra se leges habeant, sed uno omnium ore unaque voce recte tanquam a Diis positas concedi praecipiat; nec ullo modo aliter pati quicquam a iuvenibus cogitari: senem autem, si quid excogitarit, principibus et aequalibus, nemine iuvenum audiente, referre. *Cli.* Recte loqueris, hospes: ac licet tunc a mente conditoris abfueris, tamen, tanquam vates, scite ista nunc coniecisse videris veraque penitus dicere. *Athen.* Itaque nobis ad praesens iuvenes nulli adsunt: ipsi vero, propter senectutem, sine

λεγόμενοι περὶ αὐτῶν τούτων μόνοι πρὸς μόνους μηδὲν ἂν πλημμελεῖν;

Κλ. Ἔστι ταῦτα οὕτως, εἰς ἃ καὶ μηδέν με ἀνῇς ἐπιτιμῶν τοῖς νόμοις ἡμῶν· οὐ γὰρ τό γε γνῶναί τι τῶν μὴ καλῶν ἄτιμον, ἀλλὰ ἴασιν ἐξ αὐτοῦ συμβαίνει γίγνεσθαι τῷ μὴ φθόνῳ τὰ λεγόμενα ἀλλ' εὐνοίᾳ δεχομένῳ.

ΑΘ. Καλῶς. οὐ μὴν ἐπιτιμῶν γε ἐρῶ τοῖς νόμοις πω πρὶν βεβαίως εἰς δύναμιν διαρκέψασθαι, μᾶλλον δὲ ἀπορῶν. ὑμῖν γὰρ ὁ νομοθέτης μόνοις Ἑλλήνων καὶ βαρβάρων, ὧν ἡμεῖς πυνθανόμεθα, τῶν μεγίστων ἡδονῶν καὶ παιδῶν ἐπέταξεν ἀπέχεσθαι καὶ μὴ γεύεσθαι, τὸ δὲ τῶν λυπῶν καὶ φόβων, ὅ περ ἄρτι διελήλυθαμεν, ἠνήσατο εἴ τις ἐκ παίδων φευξεῖται διὰ τέλους, ὁπόταν εἰς ἀναγκαίους ἔλθῃ πόνους καὶ φόβους καὶ λύπας, φευξεῖσθαι τοὺς ἐν ἐκείνοις γεγυμνασμένους καὶ δουλεύσειν αὐτοῖς, ταὐτὸν δὴ τοῦτ', οἶμαι, καὶ πρὸς τὰς ἡδονὰς ἔδει διανοεῖσθαι τὸν αὐτὸν νομοθέτην, λέγοντα αὐτὸν πρὸς ἑαυτὸν ὡς ἡμῖν ἐκ νέων εἰ ἄπειροι τῶν μεγίστων ἡδονῶν οἱ πολῖται γενήσονται, καὶ ἀμελέτητοι γιγνόμενοι ἐν ταῖς ἡδοναῖς καρτερεῖν καὶ μηδὲν τῶν αἰσχρῶν ἀναγκάζεσθαι ποιεῖν ἕνεκα τῆς

peccato soli de his inter nos disserere a legislatore permittimur. *Cli.* Est, ut dicis. quare nec parcas: sed libere leges nostras reprehende. neque enim turpe est discere, si quid non probe se habet, in quo delinquit. nam hinc, si quis non cum invidia, sed cum benevolentia accipiat, remedium invenitur. *Athen.* Praeclare tu quidem. ego tamen non reprehendendo ante, quam pro viribus diligenter considerem, sed dubitando potius verba faciam: solis enim vobis Graecorum barbarorumque omnium, quorum notitiam habemus, legislator praecepit a maximis voluptatibus iucundissimisque ludis cavere, nec ex his quicquam gustare. de doloribus autem et timoribus, quod modo tractavimus, censuit: quod videlicet si quis a primis annis eos declinare assuetus fuerit, quotiens necessarios dolores, metus atque labores subire oportebit, fugiet quidem illos, qui in his exercitati sunt, eisque serviet. hoc ipsum, ut ego arbitror, oportuit eum de voluptate etiam cogitare, ac secum dicere: quodsi ineunte aetate maximarum cives voluptatum experies erunt, nec praemeditati continere se in voluptatibus ni-

γλυκυθυμίας τῆς πρὸς τὰς ἡδονάς, ταὐτὸν πείσονται τοῖς ἡττωμένοις τῶν φόβων, δουλεύσουσι τρόπον ἕτερον καὶ ἔτ' αἰσχίω τοῖς γε δυναμένοις καρτερεῖν ἐν ταῖς ἡδοναῖς καὶ τοῖς κεκτημένοις τὰ περὶ τὰς ἡδονάς, ἀνθρώποις ἐνίοτε παντάπασι κακοῖς, καὶ τὴν ψυχὴν τῇ μὲν δούλην τῇ δὲ ἐλευθέραν ἕξουσι, καὶ οὐκ ἄξιοι ἁπλῶς ἀνδρεῖοι καὶ ἐλευθέριοι ἔσονται προαγορεύεσθαι. σκοπεῖτε οὖν εἴ τι τῶν νῦν λεγομένων ὑμῖν κατὰ τρόπον δοκεῖ λέγεσθαι.

ΚΛ. Δοκεῖ μὲν ἡμῖν γέ πως λεγομένου τοῦ λόγου, περὶ δὲ τηλικούτων εὐθὺς πεπιστευκέναι ῥᾳδίως μὴ νέων τε ἢ μᾶλλον καὶ ἀνοήτων.

ΑΘ. Ἀλλ' εἰ τὸ μετὰ ταῦτα διεξίοιμεν ὧν προὐθέμεθα, ὦ Κλεινία τε καὶ Λακεδαιμόνιε ξένε — μετ' ἀνδρίαν γὰρ δὴ σωφροσύνης πέρι λέγωμεν —, τί διαφέρον ἐν ταύταις ταῖς πολιτείαις ἢ ταῖς τῶν εἰκῇ πολιτευομένων ἀνευρήσομεν, ὡς περ τὰ περὶ τὸν πόλεμον νῦν δή;

ΜΕ. Σχεδὸν οὐ ῥᾴδιον· ἀλλ' ἔοικε γὰρ τά τε 636
ξυσσίτια καὶ τὰ γυμνάσια καλῶς εὑρῆσθαι πρὸς ἀμφοτέρας.

ΑΘ. Ἔοικε δῆτα, ὦ ξένοι, χαλεπὸν εἶναι τὸ περὶ

hilque turpe iucunditatis voluptariae gratia facere: ita succumbent, quemadmodum qui timore vincuntur: et modo quodam alio ac turpiore illis servient, qui mediis in voluptatibus sese continere assueti sunt, et illis qui inter voluptates conversantes oblectamenta sibi suppeditare possint, pessimis forsan hominibus. atque ita animum partim servum partim liberum habebunt: nec omnino fortes ac liberi appellari debebunt. considerate igitur, si quid ex dictis probe vobis dici videtur. *Cli.* Videtur quidem. *Athen.* Sed invenum, immo vero amentium penitus esset, de tantis rebus statim ac facile assentiri. verum si, quemadmodum proposuimus, ita nunc prosequamur, o Clinia hospesque Lacedaemonie: moderationem ponebamus: quam differentiam inveniemus inter has et ceteras res publicas, quae casu, non lege gubernari videntur, quemadmodum nunc in bello? *Meg.* Non est ferme id facile. *Cli.* Videntur tamen communia convivia certaminaque gymnastica commode utrisque adinventa fuisse. *Athen.* Videtur autem, o hospites, arduum esse, in rebus publicis ut verbis, ita et re ipsa,

τὰς πολιτείας ἀναμφιςβητήτως ὁμοίως ἔργῳ καὶ λόγῳ γίγνεσθαι. κινδυνεύει γάρ, καθάπερ ἐν τοῖς σώμασιν, οὐ δυνατὸν εἶναι προστάξαι τι πρὸς ἓν σῶμα ἓν ἐπιτήδευμα, ἐν ᾧ οὐκ ἂν φανείη ταὐτὸν τοῦτο τὰ μὲν βλάπτον τὰ ἡμῶν σώματα, τὰ δὲ καὶ ὠφελοῦν, ἐπεὶ καὶ τὰ γυμνάσια ταῦτα καὶ τὰ ξυσσίτια πολλὰ μὲν ἄλλα νῦν ὠφελεῖ τὰς πόλεις, πρὸς δὲ τὰς ξάσεις χαλεπά· δηλοῦσι δὲ Μιλησίων καὶ Βοιωτῶν καὶ Θουρίων παῖδες. καὶ δὴ καὶ παλαιὸν νόμιμον δοκεῖ τοῦτο τὸ ἐπιτήδευμα καὶ κατὰ φύσιν, τὰς περὶ τὰ ἀφροδίσια ἡδονὰς οὐ μόνον ἀνθρώπων ἀλλὰ καὶ θηρίων διεφθαρκέναι. καὶ τούτων τὰς ὑμετέρας πόλεις πρώτας ἄν τις αἰτιῷτο καὶ ὅσαι τῶν ἄλλων μάλιςα ἅπτονται τῶν γυμνασίων· καὶ εἴτε παίζοντα εἴτε σπουδάζοντα ἐννοεῖν δεῖ τὰ τοιαῦτα, ἐννοητέον ὅτι τῇ θηλείᾳ καὶ τῇ τῶν ἀῤῥένων φύσει εἰς κοινωνίαν ἰούσῃ τῆς γεννήσεως ἡ περὶ ταῦτα ἡδονὴ κατὰ φύσιν ἀποδεδόσθαι δοκεῖ, ἀῤῥένων δὲ πρὸς ἄῤῥενας ἢ θηλειῶν πρὸς θηλείας παρὰ φύσιν, καὶ τῶν πρώτων τὸ τόλμημα εἶναι δι' ἀκράτειαν ἡδονῆς. πάντες δὲ δὴ Κρητῶν τὸν περὶ τὸν Γανυμήδη μῦθον κατηγοροῦμεν, ὡς λογοποιησάντων τούτων· ἐπειδὴ παρὰ

undique tutum aliquid certumque inducere. nam quemadmodum in corporibus fieri non potest, ut aliquod unum uni corpori studium accommodetur, quod aliis prodesse, aliis obesse eidem corpori non videatur: sic et in civitate. nempe exercitationes hae commessationesque ad alia quidem civitatibus conferunt: ad seditiones autem obsunt omnino. cuius rei Milesii et Boeotii et Thurii nobis exemplo sunt. atqui studia haec prisca ex lege nobis consueta sunt, videnturque naturales venereorum voluptates, non in hominibus solum, sed in bestiis, pervertisse. qua in re primae civitates vestrae possent accusari, et aliae omnes, quibus maxime cura gymnasticarum exercitationum est. ac seu ioco sive serio intelligere oportet, intelligendum est quod, cum femina et masculus ad generandum conveniunt, conventus huiuscemodi voluptas secundum naturam his tributa videtur. quotiens autem mares maribus aut feminae feminis commiscentur, voluptas ea praeter naturam: et qui primum tale facinus ausi sunt, voluptatis incontinentia id fecerunt. omnes porro Cretensium fabulam de Ganymede vehementer culpamus, quod adversus Iovem ficta sit, ut cum ab eo leges

Διὸς αὐτοῖς οἱ νόμοι πεπιεσμένοι ἦσαν γεγονέναι, τοῦτον τὸν μῦθον προστεθεικέναι κατὰ τοῦ Διός, ἵνα ἑπόμενοι δὴ τῷ θεῷ καρπῶνται καὶ ταύτην τὴν ἡδονήν. τὸ μὲν οὖν τοῦ μύθου χαιρέτω· νόμων δὲ πέρι διασκοπουμένων ἀνθρώπων ὀλίγου πᾶσά ἐστιν ἡ σκέψις περί τε τὰς ἡδονὰς καὶ τὰς λύπας ἔν τε πόλεσι καὶ ἐν ἰδίοις ἤθεσι· δύο γὰρ αὗται πηγαὶ μεθεῖνται φύσει ῥεῖν, ὧν ὁ μὲν ἀρυτόμενος ὅθεν τε δεῖ καὶ ὁπότε καὶ ὁπόσον εὐδαιμονεῖ, καὶ πόλις ὁμοίως καὶ ἰδιώτης καὶ ζῶον ἅπαν, ὁ δ' ἀνεπιστημόνως ἅμα καὶ ἐκτὸς τῶν καιρῶν τἀναντία ἂν ἐκείνῳ ζῴη.

ME. Λέγεται μὲν ταῦτα, ὦ ξένε, καλῶς πως, οὐ μὴν ἀλλ' ἀφασία γ' ἡμᾶς λαμβάνει τί ποτε χρὴ λέγειν πρὸς ταῦτα. ὅμως δ' ἔμοιγε ὀρθῶς δοκεῖ τὸ τὰς ἡδονὰς φεύγειν διακελεύεσθαι τόν γε ἐν Λακεδαίμονι νομοθέτην· περὶ δὲ τῶν ἐν Κνωσῷ νόμων ὅδε, ἂν ἐθέλῃ, βοηθήσει. τὰ δ' ἐν Σπάρτῃ κάλλιστ' ἀνθρώπων δοκεῖ μοι κεῖσθαι τὰ περὶ τὰς ἡδονάς· οὗ γὰρ μά- 637
λιστ' ἄνθρωποι καὶ μεγίσταις προσπίπτουσιν ἡδοναῖς καὶ ὕβρεσι καὶ ἀνοίᾳ πάσῃ, τοῦτ' ἐξέβαλεν ὁ νόμος ἡμῶν ἐκ τῆς χώρας ξυμπάσης, καὶ οὔτ' ἂν ἐπ' ἀγρῶν ἴδοις οὔτ' ἐν ἄστεσιν ὅσων Σπαρτιάταις μέλει συμπόσια

ipsorum originem habuisse credantur, eum Deum imitantes, qui leges tradidit, hac etiam voluptate fruantur. sed fabula quidem valeat. eorum autem, qui de legibus considerant, cogitatio paene omnis de voluptatibus et doloribus tam circa publicos quam circa privatos cuiusque mores esse debet. duo namque hi fontes natura scaturiunt, a quibus qui haurit, unde, quando quantumque oportet, felix est, privatus scilicet et civitas omneque animal: qui autem insipienter et praeter opportunitatem, contra vivit infelix. *Meg.* Recte ista dicuntur, o hospes: nec, quid adversus haec dici possit, videmus. videtur autem mihi Lacedaemoniarum legum conditor recte, fugiendas esse voluptates, iussisse. Gnosiis autem legibus Clinia hic, si volet, opitulabitur. nam apud Spartiatas, quae ad voluptates pertinent, optime omnium disposita esse arbitror. quo enim omnes homines summopere in voluptates vehementissimas petulantiamque et insaniam incidunt, id ab universa regione lex nostra exterminavit, nec in agris nec in urbibus, quas Spartiatae gubernant, compotationes videbis; sed nec compotationibus

οὐδ' ὁπόσα τούτοις ξυνεπόμενα πάσας ἡδονὰς κινεῖ κατὰ δύναμιν, οὐδ' ἔσιν ὅς τις ἂν ἁπάντων κωμάζοντί τινι μετὰ μέθης οὐκ ἂν τὴν μεγίστην δίκην εὐθὺς ἐπιθείη, καὶ οὔτ' ἂν Διονύσια πρόφασιν ἔχοντ' αὐτὸν λύσαιτο, ὥς περ ἐν ἁμάξαις εἶδόν ποτε παρ' ὑμῖν ἐγώ. καὶ ἐν Τάραντι δὲ παρὰ τοῖς ἡμετέροις ἀποίκοις πᾶσαν ἐθεασάμην τὴν πόλιν περὶ τὰ Διονύσια μεθύουσαν· παρ' ἡμῖν δ' οὐκ ἔξ' οὐδὲν τοιοῦτον.

ΑΘ. Ὦ Λακεδαιμόνιε ξένε, ἐπαινετὰ μὲν πάντ' ἐξὶ τὰ τοιαῦτα, ὅπου τινὲς ἔνεισι καρτερήσεις, ὅπου δ' ἀνεῖνται, βλακικώτερα· ταχὺ γάρ σου λάβοιτ' ἄν τις τῶν παρ' ἡμῶν ἀμυνόμενος, δεικνὺς τὴν τῶν γυναικῶν παρ' ὑμῖν ἄνεσιν. ἅπασι δὴ τοῖς τοιούτοις, καὶ ἐν Τάραντι καὶ παρ' ἡμῖν καὶ παρ' ὑμῖν δέ, μία ἀπόκρισις ἀπολύεσθαι δοκεῖ τοῦ μὴ κακῶς ἔχειν ἀλλ' ὀρθῶς· πᾶς γὰρ ἀποκρινόμενος ἐρεῖ θαυμάζοντι ξένῳ, τὴν παρ' αὐτοῖς ἀήθειαν ὁρῶντι, Μὴ θαύμαζε, ὦ ξένε· νόμος ἔσθ' ἡμῖν οὗτος, ἴσως δ' ὑμῖν περὶ αὐτῶν τούτων ἕτερος. ἡμῖν δ' ἐξὶ νῦν, ὦ φίλοι ἄνδρες, οὐ περὶ τῶν ἀνθρώπων τῶν ἄλλων ὁ λόγος, ἀλλὰ περὶ τῶν νομοθετῶν αὐτῶν κακίας τε καὶ ἀρετῆς. ἔτι γὰρ οὖν εἴπωμεν πλείω περὶ ἁπάσης μέθης· οὐ γὰρ σμικρόν ἐξι

coniuncta, quibus ad omnes voluptates movemur. nec ullus est, qui cuidam ebrietate lascivienti obviam factus non maximo ipsum supplicio statim afficiat: neque Bacchanalium occasio ipsum liberet: quemadmodum apud vos in curribus vidi et apud Tarentinos, qui nostri coloni sunt, omnem in Bacchanalibus ebriam civitatem. apud nos autem nihil tale conspicitur. *Athen.* Laudanda haec omnia sunt, o hospes Lacedaemonie, ubi continentia quaedam est: ubi autem omnino permittuntur, emolliunt. cito enim quispiam nostra defendens te reprehendat, si mulierum apud vos licentiam aperuerit. una certe in omnibus istis et Tarentinos et nos, immo vero et vos responsio liberat, quod haec probe, non improbe se habeant, quisque enim peregrino admiranti, quod insolita videat, respondere poterit: noli mirari, o hospes: haec apud nos exstat lex. apud vos autem iisdem de rebus forsan alia lex est. nobis vero in praesentia, o amantissimi viri, non de hominibus aliis sermo est, sed de conditorum ipsorum virtute ac vitio. verum latius de universa ebrietate dicamus. non enim exigua res est, neque ad

τὸ ἐπιτήδευμα οὐδὲ φαύλου διαγνῶναι νομοθέτου. λέγω δ' οὐκ οἴνου πέρι πόσεως τὸ παράπαν ἢ μή, μέθης δὲ αὐτῆς πέρι, πότερον, ὥς περ Σκύθαι χρῶνται καὶ Πέρσαι, χρηστέον, καὶ ἔτι Καρχηδόνιοι καὶ Κελτοὶ καὶ Ἴβηρες καὶ Θρᾷκες, πολεμικὰ ξύμπαντα ὄντα ταῦτα γένη, ἢ καθά περ ὑμεῖς. ὑμεῖς μὲν γάρ, ὃ περ λέγεις, τὸ παράπαν ἀπέχεσθε, Σκύθαι δὲ καὶ Θρᾷκες ἀκράτῳ παντάπασι χρώμενοι, γυναῖκές τε καὶ αὐτοί, καὶ κατὰ τῶν ἱματίων καταχεόμενοι καλὸν καὶ εὔδαιμον ἐπιτήδευμα ἐπιτηδεύειν νενομίκασι. Πέρσαι δὲ σφόδρα μὲν χρῶνται καὶ ταῖς ἄλλαις τρυφαῖς, ἃς ὑμεῖς ἀποβάλλετε, ἐν τάξει δὲ μᾶλλον τούτων, ὦ λῷστε.

ΜΕ. Λιώκομεν δέ γε ἡμεῖς πάντας τούτους ὅταν 638
ὅπλα εἰς τὰς χεῖρας λάβωμεν.

ΑΘ. Ὦ ἄριστε, μὴ λέγε ταῦτα· πολλαὶ γὰρ δὴ φυγαὶ καὶ διώξεις ἀτέκμαρτοι γεγόνασί τε καὶ ἔσονται, διὸ φανερὸν ὅρον τοῦτον οὐκ ἄν ποτε λέγοιμεν ἀλλ' ἀμφισβητήσιμον περὶ καλῶν ἐπιτηδευμάτων καὶ μή, νίκην τε καὶ ἧτταν λέγοντες μάχης. ἐπειδὴ γὰρ αἵ μείζους τὰς ἐλάττους πόλεις νικῶσι μαχόμεναι καὶ καταδουλοῦνται, Συρακόσιοι μὲν Λοκρούς, οἵ δὴ δο-

abiectum quemque eius spectat iudicium. non dico, utrum bibendum sit vinum necne: sed de ebrietate quaerendum, inquam, utrum ita utendum sit, quemadmodum Scythae ac Persae utuntur, Carthaginenses praeterea et Celtiberi et Thraces, quae omnes gentes bellicosissimae sunt: vel quemadmodum vos, qui, ut ais, omnino abstinetis. Scythae vero ac Thraces mero penitus utuntur, tam viri quam mulieres: ac mero vestes perfundunt, praeclarum hoc et beatum vitae genus existimantes. Persae vero aliis quoque deliciis, quas vos spernitis, valde utuntur, quamvis moderatius, quam isti. *Meg.* Sed omnes istos nos tum, cum arma ceperimus, fundimus atque fugamus. *Athen.* Noli haec, o vir optime, dicere. permulti namque et fugarunt alios et ab aliis fugati sunt, de quibus certa quaepiam eiusmodi causa reddi non potest. quare non certum, sed ambiguum argumentum signumque de honestis officiis et contrariis in vita sumemus, si ad victoriam belli fugamque respexerimus: praesertim cum minores civitates a maioribus in servitutem pugnando redigantur: ut a Syracusanis Locrenses, qui

κοῦσιν εὐνομώτατοι τῶν περὶ ἐκεῖνον τὸν τόπον γεγονέναι, Κείους δὲ Ἀθηναῖοι· μυρία δ' ἄλλα τοιαῦτ' ἄν εὕροιμεν. ἀλλὰ περὶ αὐτοῦ ἑκάστου ἐπιτηδεύματος πειρώμεθα λέγοντες πείθειν ἡμᾶς αὐτούς, νίκας δὲ καὶ ἥττας ἐκτὸς λόγου τὰ νῦν θῶμεν, λέγωμεν δ' ὡς τὸ μὲν τοιόνδε ἐστὶ καλόν, τὸ δὲ τοιόνδε οὐ καλόν. πρῶτον δ' ἀκούσατέ τί μου περὶ αὐτῶν τούτων, ὡς δεῖ τό τε χρηστὸν καὶ τὸ μὴ σκοπεῖν.

ΜΕ. Πῶς οὖν δὴ λέγεις;

ΑΘ. Δοκοῦσί μοι πάντες οἱ λόγῳ τι λαβόντες ἐπιτήδευμα καὶ προθέμενοι ψέγειν αὐτὸ ἢ ἐπαινεῖν εὐθὺς ῥηθὲν οὐδαμῶς δρᾶν κατὰ τρόπον, ἀλλὰ ταὐτὸν ποιεῖν οἷον εἴ δή τις ἐπαινέσαντός τινος πυρούς, βρῶμα ὡς ἀγαθόν, εὐθὺς ψέγοι, μὴ διαπυθόμενος αὐτοῦ μήτε τὴν ἐργασίαν μήτε τὴν προσφοράν, ὅν τινα τρόπον καὶ οἷς τισὶ καὶ μεθ' ὧν καὶ ὅπως ἔχοντα καὶ ὅπως προσφέρειν ἔχουσι. νῦν δὴ ταὐτόν μοι δοκοῦμεν ἡμεῖς ἐν τοῖς λόγοις ποιεῖν· περὶ μέθης γὰρ ἀκούσαντες τοσοῦτον μόνον εὐθὺς οἱ μὲν ψέγειν αὐτό, οἱ δ' ἐπαινεῖν, καὶ μάλα ἀτόπως. μάρτυσι γὰρ καὶ ἐπαινέταις χρώμενοι ἐπαινοῦμεν ἑκάτεροι, καὶ οἱ μέν, ὅτι πολλοὺς παρεχόμεθα, ἀξιοῦμέν τι λέγειν κύριον, οἱ δέ, ὅτι τοὺς μὴ χρωμέ-

optimis inter eas gentes legibus usi sunt; et ab Atheniensibus Cei; similiaque huiusmodi multa liceat intueri. igitur victoria et offensione belli praetermissa, conemur de unoquoque officio secundum se considerantes, quod in quoque verum est, nobis persuadere. dicamus autem, quemadmodum hoc quidem tale bonum est: illud autem tale non bonum. sed imprimis me audiatis, quomodo in huiuscemodi rebus bonum malumque considerari debet. *Meg.* Quo pacto id ais? *Athen.* Quicunque rem aliquam statim in disputatione propositam vituperant aut laudant, delinquere mihi videntur, idemque facere ac si quis cerealem cibum, ab aliquo laudatum ut bonum, statim vituperet, priusquam eius effectus percipiat, et qua ratione, quibus, cum quibus, quomodo praeparantes, et quomodo affectis corporibus offerri debeat. quod nos modo facere in disputando videmur. qui, cum primum ebrietatis facta mentio est, statim alii vituperamus, alii vero laudamus et valde quidem id absurde. testibus enim assertoribusque utentes id facimus. et alii, quia plures habemus, aliquid fide dignum afferre

νους αὐτῷ ὁρῶμεν νικῶντας μαχομένους· ἀμφισβητεῖται δ' αὖ καὶ τοῦθ' ἡμῖν. εἰ μὲν δὴ καὶ περὶ ἑκάστων οὕτω καὶ τῶν ἄλλων νομίμων διέξιμεν, οὐκ ἂν ἔμοιγε κατὰ νοῦν εἴη. τρόπον δὲ ἄλλον ὃν ἐμοὶ φαίνεται δεῖν ἐθέλω λέγειν περὶ αὐτοῦ τούτου, τῆς μέθης, πειρώμενος ἂν ἄρα δύνωμαι τὴν περὶ ἁπάντων τῶν τοιούτων ὀρθὴν μέθοδον ἡμῖν δηλοῦν, ἐπειδὴ καὶ μυρία ἐπὶ μυρίοις ἔθνη περὶ αὐτῶν ἀμφισβητοῦντα ὑμῖν πόλεσι δυεῖν τῷ λόγῳ διαμάχοιτ' ἄν.

ΜΕ. Καὶ μὴν εἴ τινα ἔχομεν ὀρθὴν σκέψιν τῶν τοιούτων, οὐκ ἀποκνητέον ἀκούειν.

ΑΘ. Σκεψώμεθα δή πῃ τῇδε. φέρε, εἴ τις αἰγῶν τροφὴν καὶ τὸ ζῶον αὐτό, κτῆμα ὡς ἔστι καλόν, ἐπαινοῖ, ἄλλος δέ τις ἐωρακὼς αἶγας χωρὶς νεμομένας αἰπόλου ἐν ἐργασίμοις χωρίοις δρώσας κακὰ διαψέγοι, καὶ πᾶν θρέμμα ἄναρχον ἢ μετὰ τῶν κακῶν ἀρχόντων ἰδὼν οὕτω μέμφοιτο, τὸν τοῦ τοιούτου ψόγον ἡγώμεθα ὑγιὲς ἂν ποτε ψέξαι καὶ ὁτιοῦν; 639

ΜΕ. Καὶ πῶς;

ΑΘ. Χρηστὸς δὲ ἄρχων ἔσθ' ἡμῖν ἐν πλοίοις πότερον ἐὰν τὴν ναυτικὴν ἔχῃ ἐπιστήμην μόνον, ἂν τ' οὖν ναυτιᾷ ἄν τε μή; ἢ πῶς ἂν λέγοιμεν;

putamus; alii, quia vino abstinentes vincant in pugna: quod tamen ambiguum nobis est. si ergo hoc modo etiam in aliis procedemus, nihil mea sententia faciemus. quomodo autem mihi quidem videtur, conabor ipsius ebrietatis exemplo viam nobis pro viribus ac rationem rectam in huiusmodi omnibus aperire: praesertim cum gentes innumerabiles, de eisdem dubitantes, duabus cum civitatibus vestris contendant. *Meg.* Audiendum est omnino, si qua de his recta consideratio invenitur. *Athen.* Consideremus itaque sic. si quis caprarum cultum et genus id animantis habendum ac possidendum probet; alius vero vituperet, cum absque pastore eas per sata pasci damnumque facere viderit, et omne adeo pecus, cum vel sine pastore vel malis pastoribus gubernatum conspexerit: nunquid iustam eius vituperationem censebimus? *Meg.* Nullo modo. *Athen.* Gubernator vero utrum gubernandae navis probus erit princeps, si gubernandi solummodo artem habeat, sive nausea exagitetur sive non, vel quo modo aliter dici-

ΜΕ. Οὐδαμῶς, ἄν γε πρὸς τῇ τέχνῃ ἔχῃ καὶ τοῦτο τὸ πάθος ὃ λέγεις.

ΑΘ. Τί δ' ἄρχων στρατοπέδων; ἆρ' ἐὰν τὴν πολεμικὴν ἔχῃ ἐπιστήμην, ἱκανὸς ἄρχειν, κἂν δειλὸς ὢν ἐν τοῖς δεινοῖς ὑπὸ μέθης τοῦ φόβου ναυτιᾷ;

ΜΕ. Καὶ πῶς;

ΑΘ. Ἂν δὲ αὖ μήτ' ἔχῃ τὴν τέχνην δειλός τ' ᾖ;

ΜΕ. Παντάπασί τινα πονηρὸν λέγεις, καὶ οὐδαμῶς ἀνδρῶν ἄρχοντα ἀλλά τινων σφόδρα γυναικῶν.

ΑΘ. Τί δ' ἐπαινέτην ἢ ψέκτην κοινωνίας ἥστινοσοῦν, ἢ πέφυκέ τε ἄρχων εἶναι μετ' ἐκείνου τε ὠφέλιμός ἐστιν· ὁ δὲ μήθ' ἑωρακὼς εἴη ποτ' ὀρθῶς αὐτὴν αὑτῇ κοινωνοῦσαν μετ' ἄρχοντος, ἀεὶ δὲ ἄναρχον ἢ μετὰ κακῶν ἀρχόντων ξυνοῦσαν· οἰώμεθα δή ποτε τοὺς τοιούτους θεωροὺς τῶν τοιούτων κοινωνιῶν χρηστόν τι ψέξειν ἢ ἐπαινέσεσθαι;

ΜΕ. Πῶς δ' ἄν; μηδέποτέ γε ἰδόντας μηδὲ ξυγγενομένους ὀρθῶς γενομένῳ μηδενὶ τῶν τοιούτων κοινωνημάτων;

ΑΘ. Ἔχε δή. τῶν πολλῶν κοινωνιῶν ξυμπόταις καὶ ξυμπόσια θεῖμεν ἂν μίαν τινὰ ξυνουσίαν εἶναι;

ΜΕ. Καὶ σφόδρα γε.

ΑΘ. Ταύτην οὖν μῶν ὀρθῶς γιγνομένην ἤδη τίς

mus? *Meg.* Nequaquam; si ad artem haec accedit turbatio. *Athen.* Quid autem ductor exercitus? si bellandi probe teneat artem, nunquid ex hoc sufficiens dux putandus est, etiamsi timidus sit et in periculis ebrietate quadam metus ipsius nauseet? *Meg.* Quonam modo? *Athen.* Quid porro, si neque artem habeat et sit timidus? *Meg.* Ignavum et inutilem narras omnino. neque virorum sed vilium quarundam mulierum principem. *Athen.* Qui vero laudat aut vituperat societatem aliquam, cuius esse dux aliquis possit, sitque utilis societas, quotiens suum nacta est gubernatorem; ille vero nunquam eam recte viderit gubernatam, sed semper aut absque principibus aut cum improbis: nunquid recte unquam vituperare eam aut laudare poterit? *Meg.* Quo pacto id faciet, qui nunquam societatem recte gubernatam prospexerit? *Athen.* Age, iam attendite. compotatores compotationesque nonne de multis communionibus unam ponemus? *Meg.* Summopere. *Athen.* Hanc vero nunquid unquam recte gubernatam aspexit quisquam?

πώποτε ἐθεάσατο, καὶ σφῶν μὲν ἀποκρίνασθαι ῥᾴδιον ὡς οὐδεπώποτε τὸ παράπαν· οὐ γὰρ ἐπιχώριον ὑμῖν τοῦτο οὐδὲ νόμιμον· ἐγὼ δ' ἐντετύχηκά τε πολλαῖς καὶ πολλαχοῦ, καὶ προσέτι πάσας ὡς ἔπος εἰπεῖν διηρώτηκα, καὶ σχεδὸν ὅλην μὲν οὐδεμίαν ὀρθῶς γιγνομένην ἑώρακα οὐδ' ἀκήκοα, μόρια δ' εἴ που σμικρὰ καὶ ὀλίγα, τὰ πολλὰ δὲ ξύμπαντ' ὡς εἰπεῖν διημαρτημένα.

ΚΛ. Πῶς δὴ ταῦτα, ὦ ξένε, λέγεις; εἰπὲ ἔτι σαφέστερον· ἡμεῖς μὲν γάρ, ὅ περ εἶπες, ἀπειρίᾳ τῶν τοιούτων, οὐδ' ἐντυγχάνοντες ἂν ἴσως εὐθύς γε γνοῖ- 640
μεν τό τε ὀρθὸν καὶ μὴ γιγνόμενον ἐν αὐτοῖς.

ΑΘ. Εἰκὸς λέγεις· ἀλλ' ἐμοῦ φράζοντος πειρῶ μανθάνειν. τὸ μὲν γὰρ ἐν πάσαις τε ξυνόδοις καὶ κοινωνίαις πράξεων ὧντινωνοῦν ὡς ὀρθὸν πανταχοῦ ἑκάστοις ἄρχοντα εἶναι, μανθάνεις;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Καὶ μὴν ἐλέγομεν νῦν δή, μαχομένων ὡς ἀνδρεῖον δεῖ τὸν ἄρχοντα εἶναι.

ΚΛ. Πῶς δ' οὔ;

ΑΘ. Ὁ μὴν ἀνδρεῖος τῶν δειλῶν ὑπὸ φόβων ἧττον τεθορύβηται.

ΚΛ. Καὶ τοῦτο οὕτως.

sed vobis respondere facillimum, nunquam id perspexisse: neque enim id vobis ex patriis legibus consuetum: ego autem multis passim interfui, diligenterque de omnibus. ut breviter dicam, quaesivi: nullamque terme recte universam administrari aut vidi unquam aut audivi; sed particulas quodammodo parvas quasdam et paucas. multas autem; ut sic dixerim, penitus aberrare cognovi. *Cli.* Qua ratione haec dicis, o hospes? apertius enodato. nos enim, ut aiebas, cum nullam huius rei peritiam habeamus, non illico, quid recte, quid non in ea fiat, cognoscere possumus. *Athen.* Consentaneum id quidem: sed conare me dicente perdiscere. in omni conventu atque communitate quarumcunque rerum gerendarum principem esse oportere fateris? *Cli.* Procul dubio. *Athen.* Atqui paulo ante dicebamus, fortem esse pugnantium principem oportere. *Cli.* Dicebamus. *Athen.* Fortis autem vir a timore minus, quam timidus, perturbatur. *Cli.* Est ita. *Athen.* Si quis

ΑΘ. Εἰ δ' ἦν τις μηχανὴ μηδὲν τὸ παράπαν διότα μηδὲ θορυβούμενον ἐπιξῆσαι στρατοπέδῳ στρ γύν, ἆρ' οὐ τοῦτ' ἂν παντὶ τρόπῳ ἐπράττομεν;

ΚΛ. Σφόδρα μὲν οὖν.

ΑΘ. Νῦν δέ γε οὐ στρατοπέδου πέρι λέγομεν ξοντος ἐν ἀνδρῶν ὁμιλίαις ἐχθρῶν ἐχθροῖς μετὰ π μου, φίλων δ' ἐν εἰρήνῃ πρὸς φίλους κοινωνησόν φιλοφροσύνης.

ΚΛ. Ὀρθῶς.

ΑΘ. Ἔστι δέ γε ἡ τοιαύτη συνουσία, εἴ περ μετὰ μέθης, οὐκ ἀθόρυβος. ἦ γάρ;

ΚΛ. Πῶς γάρ; ἀλλ' οἶμαι πᾶν τοὐναντίον.

ΑΘ. Οὐκοῦν πρῶτον μὲν καὶ τούτοις ἆρ τος δεῖ;

ΚΛ. Τί μήν; ὡς οὐδενί γε πράγματι.

ΑΘ. Πότερον οὖν ἀθόρυβον, εἰ δυνατὸν εἴη, τοιοῦτον ἄρχοντα ἐκποριζεσθαι δεῖ;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Καὶ μὴν περί γε συνουσίας, ὡς ἔοικεν, τὸν φρόνιμον εἶναι δεῖ. γίγνεται γὰρ φύλαξ τῆς ὑπαρχούσης φιλίας αὐτοῖς, καὶ ἔτι πλείονος ἐπιμελ ὅπως ἔσαι διὰ τὴν τότε ξυνουσίαν.

ΚΛ. Ἀληθέστατα.

ΑΘ. Οὐκοῦν νήφοντά τε καὶ σοφὸν ἄρχοντα θυόντων δεῖ καθιζάναι, καὶ μὴ τοὐναντίον; μεθυ

modus inveniri posset, ut exercitui ducem prorsus intrepi praeficeremus, nonne ad id omni studio niteremur? *Cli.* xime. *Athen.* Nunc autem non de exercitu, nec imperaturo versus hostes in bello, sed de gubernaturo in pace iucundam s corum inter se consuetudinem dicimus. *Cli.* Sic est. *Athen.* in societate si ebrietas aderit, nonne turbatio quoque aderit? Aderit prorsus. *Athen.* Primum igitur etiam his opus est d *Cli.* Maxime omnium. *Athen.* Utrum igitur principem, qui perturbetur, si fieri possit, deligere oporteat. *Cli.* Oportet s *Athen.* Societatis conciliandae peritum hunc principem esse op tet. eius enim officium esse debet, ut et praesentem amicitiam conservet, et maiorem insuper ex eo contubernio fieri procu *Cli.* Vera loqueris. *Athen.* Nonne igitur sobrius et sapiens eb rum princeps, non contra, constituendus est? nam si inve

των γὰρ μεθύων καὶ νέος ἄρχων μὴ σοφός, εἰ μὴ κακὸν ἀπεργάσαιτό τι μέγα, πολλῇ χρῶτ' ἂν ἀγαθῇ τύχῃ.

ΚΛ. Παμπόλλῃ μὲν οὖν.

ΑΘ. Οὐκοῦν εἰ μὲν γιγνομένων ὡς δυνατὸν ὀρθότατα τούτων ἐν ταῖς πόλεσι τῶν ξυνουσιῶν μεμφοιτό τις, ἐπικαλῶν αὐτῷ τῷ πράγματι, τάχ' ἂν ὀρθῶς ἴσως μέμφοιτο· εἰ δὲ ἁμαρτανόμενον ὡς οἷόν τε μάλιστα ἐπιτήδευμά τις ὁρῶν λοιδορεῖ, πρῶτον μὲν δῆλον ὡς ἀγνοεῖ τοῦτ' αὐτὸ γιγνόμενον οὐκ ὀρθῶς, εἶθ' ὅτι πᾶν τοὐτῳ τῷ τρόπῳ φανεῖται πονηρόν, δεσπότου τε καὶ ἄρχοντος νήφοντος χωρὶς πραττόμενον. ἢ οὐ ξυννοεῖς τοῦθ', ὅτι μεθύων κυβερνήτης καὶ πᾶς παντὸς ἄρχων ἀναιρήσει πάντα εἴτε πλοῖα εἴτε ἅρματα εἴτε στρατόπεδον, εἶθ' ὅ τι ποτ' εἴη τὸ κυβερνώμενον ὑπ' αὐτοῦ; 641

ΚΛ. Παντάπασι τοῦτό γε ἀληθὲς εἴρηκας, ὦ ξένε· τοὐμὲ τῷδε δ' ἡμῖν λέγε, τί ποτ', ἂν γίγνηται τοῦτο ὀρθὸν τὸ περὶ τὰς πόσεις νόμιμον, ἀγαθὸν ἂν δράσειεν ἡμᾶς; οἷον ὃ νῦν δὴ ἐλέγομεν, εἰ στρατευμα ὀρθῆς ἡγεμονίας τυγχάνοι, νίκη πολέμου τοῖς ἑπομένοις ἂν γίγνοιτο, οὐ σμικρὸν ἀγαθόν· καὶ τἆλλ' οὕτω· συμποσίου δὲ ὀρθῶς παιδαγωγηθέντος τί μέγα ἰδιώταις ἢ τῇ πόλει γίγνοιτ' ἄν;

nec sapiens, sed ebrius ipse etiam erit ebriorum princeps, bona secum agetur fortuna, si temeritate sua omnia non everterit. *Cli.* Optima certe. *Athen.* Si quis ergo compotationes, dum, quoad fieri posset, recte in civitate dispositae sint, accusaret, rem ipsam accusans, recte quandoque id forsan faceret. sin autem compotationem nullo ordine gubernatam inspexerit propterea que omnem compotationem vituperet, primum quidem patet ignorare eum eam non recte disponi: deinde constat omnia hoc modo, cum absque sobrio domino ac principe fient, improba visum iri. an non animadvertis, quod ebrius navis aut cuiusvis rei alterius gubernator evertit omnia, sive naves sive currus seu exercitus seu quodvis aliud ab eo regatur? *Cli.* Vere omnino id dixisti, hospes: sed et hoc pro nobis expone, quid nobis compotationes istae, si recte aguntur, conferent? ut, quod modo dicebamus, recte ductus exercitus victoriam in bello afferet, bonum profecto non parvum: idemque de ceteris iudicandum. compotatione vero recte gubernata quid magni vel civitati vel privatis accedet? *Athen.* Quid au-

ΑΘ. Τί δέ; παιδὸς ἑνὸς ἢ καὶ χοροῦ παιδαγ θέντος κατὰ τρόπον ἑνὸς τί μέγα τῇ πόλει φαῖμε γίγνεσθαι; ἢ τοῦτο οὕτως ἐρωτηθέντες εἴποιμεν ἃ ἑνὸς μὲν βραχύ τι τῇ πόλει γίγνοιτ' ἂν ὄφελος, εἰ δ' ἐρωτᾷς παιδείαν τῶν παιδευθέντων, τί μέγα τὴν λιν ὀνίνησιν, οὐ χαλεπὸν εἰπεῖν ὅτι παιδευθ μὲν εὖ γίγνοιντ' ἂν ἄνδρες ἀγαθοί, γεγόμενοι δὲ οὗτοι τά τ' ἄλλα πράττοιεν καλῶς, ἔτι δὲ κἂν νε τοὺς πολεμίους μαχόμενοι. παιδεία μὲν οὖν φέρει νίκην, νίκη δ' ἐνίοτε ἀπαιδευσίαν· πολλοὶ γὰρ ὕβρ τεροι διὰ πολέμων νίκας γενόμενοι μυρίων ἄλλων κῶν δι' ὕβριν ἐνεπλήσθησαν, καὶ παιδεία μὲν ο πώποτε γέγονε Καδμεία, νίκαι δὲ ἀνθρώποις πο δὴ τοιαῦται γεγόνασί τε καὶ ἔσονται.

ΚΛ. Δοκεῖς ἡμῖν, ὦ φίλε, τὴν ἐν τοῖς οἴνοις νὴν διατριβὴν ὡς εἰς παιδείας μεγάλην μοῖραν τεί σαν λέγειν, ἂν ὀρθῶς γίγνηται.

ΑΘ. Τί μήν;

ΚΛ. Ἔχοις ἂν τὸ μετὰ τοῦτ' εἰπεῖν ὃς ἔς νῦν εἰρημένον ἀληθές;

ΑΘ. Τὸ μὲν ἀληθές, ὦ ξένε, διισχυρίζεσθαι τι οὕτως ἔχειν, πολλῶν ἀμφισβητούντων, θεοῦ· εἰ δ' ἐμοὶ φαίνεται δεῖ λέγειν, οὐδεὶς φθόνος, ἐπεί περ

tem puero uno vel uno quodam coetu recte instituto magn vitas adipiscetur? at enim ita de hoc interrogati respondeb parvam ex unius duntaxat educatione civitati utilitatem acce si autem universaliter de iuvenum bene institutorum erudit quid potissimum conferat rei publicae, quaeras, haud difficil cluerit: bene eruditi viri probi evadent: probi autem facti cetera bene agent, tum etiam hostes pugnando vincent. disci unique victoriam praestat, victoria nonnunquam negligentia ruditatem gignit. multi enim in victoria elati alia quoque n per insolentiam contraxerunt. et disciplina quidem nulla unc Cadmea fuit: victoriae vero multae huiusmodi et fuerunt et e *Cli.* Videris, o amice, quasi magnam disciplinae partem munem in vini potu consuetudinem, si recte fiat, laudare. *A* Profecto. *Cli.* Poteris ergo deinceps, verum id esse, ostend *Athen.* Vera haec ita esse, o hospes, approbare, cum mul his ambigant, solius Dei est. si tamen, quod sentio, dict

μήπαμέν γε τοὺς λόγους περὶ νόμων καὶ πολιτείας ποιεῖσθαι τὰ νῦν.

ΚΛ. Τοῦτ' αὐτὸ δὴ πειρώμεθα τὸ σοὶ δοκοῦν περὶ τῶν νῦν ἀμφισβητουμένων καταμαθεῖν.

ΑΘ. Ἀλλὰ χρὴ ποιεῖν οὕτως, ὑμᾶς τε ἐπὶ τὸ μαθεῖν καὶ ἐμὲ ἐπὶ τὸ δηλῶσαι πειρώμενον ἁμῶς γέ πως ξυντεῖναι τὸν λόγον. πρῶτον δέ μου ἀκούσατε τὸ ταιόνδε. τὴν πόλιν ἅπαντες ἡμῶν Ἕλληνες ὑπολαμβάνουσιν ὡς φιλολόγος τέ ἐστι καὶ πολυλόγος, Λακεδαί-
01 μονα δὲ καὶ Κρήτην, τὴν μὲν βραχυλόγον, τὴν δὲ πολύνοιαν μᾶλλον ἢ πολυλογίαν ἀσκοῦσαν, σκοπῶ δὴ μὴ δόξαν ὑμῖν παράσχωμαι περὶ σμικροῦ πολλὰ λέ- 642
γειν, μέθης πέρι σμικροῦ πράγματος παμμήκη λόγον ἀνακαθαιρόμενος. τὸ δὲ ἧ κατὰ φύσιν αὐτοῦ διόρθωσις οὐκ ἂν δύναιτο ἄνευ μουσικῆς ὀρθότητός ποτε σαφὲς οὐδ' ἱκανὸν ἐν τοῖς λόγοις ἀπολαβεῖν· μουσικὴ δὲ ἄνευ παιδείας τῆς πάσης οὐκ ἂν αὖ ποτὲ δύναιτο· ταῦτα δὲ παμπόλλων ἐξὶ λόγων. ὁρᾶτε οὖν τί ποιῶμεν, εἰ ταῦτα μὲν ἐάσαιμεν ἐν τῷ παρόντι, μετεκβαί-
20 μεν δ' εἰς ἕτερόν τινα νόμων πέρι λόγον.

ΜΕ. Ὦ ξένε Ἀθηναῖε, οὐκ οἶσθ' ἴσως ὅτι τυγχάνει ἡμῶν ἡ ἐξία τῆς πόλεως οὖσα ὑμῶν πρό-

sum, nulla obstabit invidia, postquam de legibus et re publica verba facere in praesentia statuimus. *Cli.* Age, conemur, quod tibi de his ambiguitatibus videtur, perdiscere. *Athen.* Oportet autem, cum et vos discere et ego declarare cupiamus, quodammodo orationem protrahere. sed primum illud audiatis. Graeci omnes civitatem nostram et eloquentiae studiosam iudicant et verbosam: Lacedaemonem vero atque Cretam, alteram breviloquam, alteram intelligentiae magis quam verbositati studentem. vereor itaque, ne vobis, tanquam verbosus, parva de re loqui multa videar, dum de ebrietate, re quidem parva, nimis longa utor oratione. compotationis autem ipsius recta secundum naturam constitutio nunquam poterit sine recta musicae regula aperte et sufficienter oratione tractari; nec musica sine universa disciplina. quae omnia profecto multis indigent verbis. videte igitur, quid agendum sit. an, his in praesentia praetermissis, ad aliam quandam legum quaestionem iam transeundum? *Meg.* Ignoras forsan, Atheniensis hospes, domum nostram communem civitatis vestrae hospitem

ξενος. ἴσως μὲν οὖν καὶ πᾶσι τοῖς παισίν, ἐπειδὰν ἀκούσωσιν ὅτι τινός εἰσι πόλεως πρόξενοι, ταύτῃ τις εὔνοια ἐκ νέων εὐθὺς ἐνδύεται ἕκαστον ἡμῶν τῶν προξένων τῇ πόλει, ὡς δευτέρᾳ οὔσῃ πατρίδι μετὰ τὴν αὐτοῦ πόλιν· καὶ δὴ καὶ ἐμοὶ νῦν ταὐτὸ τοῦτο ἐγγέγονεν. ἀκούων γὰρ τῶν παίδων εὐθύς, εἴ τι μέμφοιντο ἢ καὶ ἐπαινοῖεν Λακεδαιμόνιοι Ἀθηναίους, ὡς ἡ πόλις ὑμῶν, ὦ Μέγιλλε, ἔφασαν, ἡμᾶς οὐ καλῶς ἢ καλῶς ἔῤῥεξε, — ταῦτα δὴ ἀκούων καὶ μαχόμενος πρὸς αὐτὰ ὑπὲρ ὑμῶν ἀεὶ πρὸς τοὺς τὴν πόλιν εἰς ψόγον ἄγοντας πᾶσαν εὔνοιαν ἔσχον, καί μοι νῦν ἥ τε φωνὴ προσφιλὴς ὑμῶν, τό τε ὑπὸ πολλῶν λεγόμενον, ὡς ὅσοι Ἀθηναίων εἰσὶν ἀγαθοὶ διαφερόντως εἰσὶ τοιοῦτοι, δοκεῖ ἀληθέστατα λέγεσθαι· μόνοι γὰρ ἄνευ ἀνάγκης, αὐτοφυῶς, θείᾳ μοίρᾳ, ἀληθῶς καὶ οὐ τι πλαττῶς εἰσιν ἀγαθοί. θαῤῥῶν δὴ ἐμοῦ γε ἕνεκα λέγοις ἂν τοσαῦτα ὁπόσα σοι φίλον.

ΚΛ. Καὶ μήν, ὦ ξένε, καὶ τὸν παρ' ἐμοῦ λόγον ἀκούσας καὶ ἀποδεξάμενος θαῤῥῶν ὁπόσα βούλει λέγε. τῇδε γὰρ ἴσως ἀκήκοας ὡς Ἐπιμενίδης γέγονεν ἀνὴρ θεῖος, ὃς ἦν ἡμῖν οἰκεῖος, ἐλθὼν δὲ πρὸ τῶν Περσικῶν δέκα ἔτεσι πρότερον παρ' ὑμᾶς κατὰ τὴν τοῦ

esse? atque forte omnibus etiam pueris accidit, ut, cum audiunt maiores suos civitatis alicuius hospites fuisse, benivolentia quaedam erga illam, quasi secundam patriam, confestim a teneris usque annis eorum animis illabatur. quod quidem mihi quoque contigit. audiebam equidem a pueritia Lacedaemonios, quotiens aliquid vel succenserent Atheniensibus vel laudi darent, ita dicere: Vestra, Megille, urbs nobis id mali intulit aut boni. atque haec audiens pugnabam adversus eos, qui vos vituperabant, magna erga vos affectus benivolentia. ac mihi quidem nunc vestra vox valde iucunda est, quodque vulgo fertur, probos Athenienses praecipue probos esse, vere prorsus mihi dictum videtur. soli enim suapte natura, divina quadam sorte, non coacti neque ficti, sed vere probi sunt. quare mea quidem causa libere, quotcumque velis, enarrato. *Cli.* Si me quoque audies, hospes, quaecunque in mentem tibi veniant, summa fiducia proferes. fortasse namque audisti Epimenidem virum fuisse divinum: qui ex familia nostra fuit, ac decem annis ante Persicum bellum, Dei oraculo monitus, ad vos

θεοῦ μαντείαν θυσίας τε ἐθύσατό τινας, ἃς ὁ θεὸς ἀνεῖλε, καὶ δὴ καὶ φοβουμένων τὸν Περσικὸν Ἀθηναίων στόλον εἶπεν ὅτι δέκα μὲν ἐτῶν οὐχ ἥξουσιν, ὅταν δὲ ἔλθωσιν, ἀπαλλαγήσονται πράξαντες οὐδὲν ὧν ἤλπιζον παθόντες τε ἢ δράσαντες πλείω κακά. τότ' οὖν ξενώθησαν ὑμῖν οἱ πρόγονοι ἡμῶν, καὶ εὔνοιαν ἐκ τόσου ἔχωγε ὑμῖν καὶ οἱ ἡμέτεροι ἔχουσι γονῆς. 643

ΑΘ. Τὰ μὲν τοίνυν ὑμέτερα ἀκούειν, ὡς ἔοικεν, ἕτοιμ' ἄν εἴη· τὰ δ' ἐμὰ βούλεσθαι μὲν ἕτοιμα, δύνασθαι δὲ οὐ πάνυ ῥᾴδια, ὅμως δὲ πειρατέον. πρῶτον δὴ οὖν πρὸς τὸν λόγον ὁρισώμεθα παιδείαν τί ποτ' ἐστὶ καὶ τίνα δύναμιν ἔχει· διὰ γὰρ ταύτης φαμὲν ἰτέον εἶναι τὸν προκεχειρισμένον ἐν τῷ νῦν λόγον ὑφ' ἡμῶν, μέχρι περ ἂν πρὸς τὸν θεὸν ἀφίκηται.

ΚΛ. Πάνυ μὲν οὖν δρῶμεν ταῦτα, εἴ περ σοί γε ἡδύ.

ΑΘ. Λέγοντος τοίνυν ἐμοῦ τί ποτε χρὴ φάναι παιδείαν εἶναι, σκέψασθε ἂν ἀρέσκῃ τὸ λεχθέν.

ΚΛ. Λέγοις ἄν.

ΑΘ. Λέγω δή, καί φημι τὸν ὁτιοῦν ἀγαθὸν ἄνδρα μέλλοντα ἔσεσθαι τοῦτο αὐτὸ ἐκ παίδων εὐθὺς μελετᾶν δεῖν παίζοντά τε καὶ σπουδάζοντα ἐν τοῖς τοῦ

pervenit, et sacrificia quaedam Dei oraculo edita fecit, Atheniensibusque Persicam formidantibus classem praedixit decennio Persas nequaquam venturos; sed et postquam venerint, infecta re discessuros, pluraque perpessos mala quam fecerint. tunc quidem maiores nostri vestros hospitali affectu complexi sunt, et ex illo tempore parentes nostri egoque vobis benivoli sumus. *Athen.* Parati ergo vos quidem estis audire, ut videmini. ego autem ad dicendum voluntate promptus sum potius quam facultate paratus. conabor tamen, ut potero. primum vero, quo ad hunc sermonem, quid disciplina sit, quamque vim habeat, definiamus. per hanc enim eundum est disputationi nobis in praesentia institutae, quousque ad Deum ipsum perveniat. *Cli.* Ita certe faciendum est, si tibi placet. *Athen.* Dum ego, quid disciplina sit, dico, considerate, nunquid mea vobis sententia placeat. *Cli.* Dicas. *Athen.* Assero equidem eos, qui praestantes viri in aliquo evasuri sunt ab ineunte statim pueritia oportere id ipsum tam ludendo quam stu-



μένον ἡμῶν ὄντα τινά, τὸν δὲ ἀπαίδευτον, ἐνίοτε εἰς τε καπηλείας καὶ ναυκληρίας καὶ ἄλλων τοιούτων μάλα πεπαιδευμένων σφόδρα ἀνθρώπων. οὐ γὰρ ταῦτα ἡγουμένων, ὡς ἔοικεν, εἶναι παιδείαν ὁ νῦν λόγος ἂν εἴη, τὴν δὲ πρὸς ἀρετὴν ἐκ παίδων παιδείαν, ποιοῦσαν ἐπιθυμητήν τε καὶ ἐραστὴν τοῦ πολίτην γενέσθαι τέλειον, ἄρχειν τε καὶ ἄρχεσθαι ἐπιστάμενον μετὰ δίκης. ταύτην τὴν τροφὴν ἀφορισάμενος ὁ λόγος οὗτος, ὡς 644
ἐμοὶ φαίνεται, νῦν βούλοιτ' ἂν μόνην παιδείαν προσαγορεύειν, τὴν δὲ εἰς χρήματα τείνουσαν ἢ τινα πρὸς ἰσχὺν ἢ καὶ πρὸς ἄλλην τινὰ σοφίαν ἄνευ νοῦ καὶ δίκης βάναυσόν τ' εἶναι καὶ ἀνελεύθερον καὶ οὐκ ἀξίαν τὸ παράπαν παιδείαν καλεῖσθαι. ἡμεῖς δὴ μηδὲν ὀνόματι διαφερώμεθ' αὐτοῖς, ἀλλ' ὁ νῦν δὴ λόγος ἡμῖν ὁμολογηθεὶς μενέτω, ὡς οἵ γε ὀρθῶς πεπαιδευμένοι σχεδὸν ἀγαθοὶ γίγνονται, καὶ δεῖ δὴ τὴν παιδείαν μηδαμοῦ ἀτιμάζειν, ὡς πρῶτον τῶν καλλίστων τοῖς ἀρίστοις ἀνδράσι παραγιγνόμενον· καὶ εἴ ποτε ἐξέρχεται, δυνατὸν δ' ἐστὶν ἐπανορθοῦσθαι, τοῦτ' ἀεὶ δραστέον διὰ
ο βίου παντὶ κατὰ δύναμιν.

ΚΛ. Ὀρθῶς, καὶ συγχωροῦμεν ἃ λέγεις.

ΑΘ. Καὶ μὴν πάλαι γε συνεχωρήσαμεν ὡς ἀγα-

hunc esse, illum disciplinae expertem, quamvis cauponariam et navigandi artem ceteraque huiusmodi optime calleat. quippe non hanc disciplinam putamus, sed eam, quae a pueritia desiderari amarique virtutem facit: et quidem illam, qua perfectus quispiam civis effectus, iure imperare sciat atque parere. hanc educationem hic sermo solam disciplinam appellandam esse determinat: illam vero, quae ad colligendam pecuniam vel ad corporis robur augendum vel ad peritiam quandam aliam absque mente et iustitia conquirendam tendit, mechanicam atque illiberalem et disciplinae appellatione ducit indignam. sed nos de verbo quidem non contendamus: hoc autem, nuper assertum, inter nos conveniat, quod, qui rectam nacti sunt disciplinam, omnes ferme probi evadunt; qui contra, improbi. quare nulla in re disciplina negligenda est, quae praeclarissimarum rerum prima praestantibus hominibus adest. et si quis in re aliqua excidit potestque corrigi, se ipsum emendet, idque per totam vitam pro viribus faciat. *Cli.* Recte loqueris. iccirco, quae dicis, concedenda sunt. *Athen.* Atqui olim

θῶν μὲν ὄντων τῶν δυναμένων ἄρχειν αὐτῶν, κακῶν δὲ τῶν μή.

ΚΛ. Λέγεις ὀρθότατα.

ΑΘ. Σαφέστερον ἔτι τοίνυν ἀναλάβωμεν τοῦτ' αὐτὸ ὅ τί ποτε λέγομεν. καί μοι δι' εἰκόνος ἀποδέξασθε ἐάν πως δυνατὸς ὑμῖν γένωμαι δηλῶσαι τὸ τοιοῦτον.

ΚΛ. Λέγε μόνον.

ΑΘ. Οὐκοῦν ἕνα μὲν ἡμῶν ἕκαστον αὐτῶν τιθῶμεν;

ΚΛ. Ναί.

ΑΘ. Δύο δὲ κεκτημένον ἐν αὑτῷ ξυμβούλω ἐναντίω τε καὶ ἄφρονε, ὧ προσαγορεύομεν ἡδονὴν καὶ λύπην;

ΚΛ. Ἔστι ταῦτα.

ΑΘ. Πρὸς δὲ τούτοιν ἀμφοῖν αὖ δόξας μελλόντων, οἷν κοινὸν μὲν ὄνομα ἐλπίς, ἴδιον δὲ φόβος μὲν ἡ πρὸ λύπης ἐλπίς, θάῤῥος δὲ ἡ πρὸ τοῦ ἐναντίου, ἐπὶ δὲ πᾶσι τούτοις λογισμός, ὅ τί ποτ' αὐτῶν ἄμεινον ἢ χεῖρον· ὃς γενόμενος δόγμα πόλεως κοινὸν νόμος ἐπωνόμασται.

ΚΛ. Μόγις μέν πως ἐφέπομαι, λέγε μὴν τὸ μετὰ ταῦτα ὡς ἑπομένου.

ΜΕ. Καὶ ἐν ἐμοὶ μὴν ταὐτὸ τοῦτο πάθος ἔνι.

iam concessimus, bonos esse illos, qui sibimet imperare possunt; malos autem, qui nequeunt. *Cli.* Scite admodum. *Athen.* Resumamus igitur id ipsum, ut clarius innotescat, quod dicimus. ac vos per imaginem istud, ut liqueat, accipiatis, si quo modo possim rem nobis hanc aperire. *Cli.* Dic iam. *Athen.* Nonne quemlibet nostrum unum putamus? *Cli.* Unum. *Athen.* Habentem videlicet in se consiliarios duos, contrarios atque amentes, quos voluptatem ac dolorem appellamus. *Cli.* Et hoc. *Athen.* Ad hos futurorum opiniones accedunt, quibus commune nomen spes est: proprie vero, quae ante dolorem spes est, timor, quae ante contrarium, confidentia. ad haec omnia: rationis iudicium, dictans, quid istorum melius sit, quid peius. hoc si commune decretum civitatis efficitur, lex nominatur. *Cli.* Vix ego te sequor. dic tamen, quae restant, perinde ac si sequerer. *Meg.* Idem mihi quo-

ΑΘ. Περὶ δὴ τούτων διανοηθῶμεν οὑτωσί. θαῦμα μὲν ἕκαστον ἡμῶν ἡγησώμεθα τῶν ζώων θεῖον, εἴτε ὡς παίγνιον ἐκείνων εἴτε ὡς σπουδῇ τινὶ ξυνεστηκός· οὐ γὰρ δὴ τοῦτό γε γιγνώσκομεν· τόδε δὲ ἴσμεν, ὅτι ταῦτα τὰ πάθη ἐν ἡμῖν οἷον νεῦρα ἢ σμήρινθοί τινες ἐνοῦσαι σπῶσί τε ἡμᾶς καὶ ἀλλήλαις ἀνθέλκουσιν ἐναντίαι οὖσαι ἐπ' ἐναντίας πράξεις, οὗ δὴ διωρισμένη ἀρετὴ καὶ κακία κεῖται. μιᾷ γάρ φησιν ὁ λόγος δεῖν τῶν ἕλξεων ξυνεπόμενον ἀεὶ καὶ μηδαμῇ ἀπολειπόμενον ἐκείνης ἀνθέλκειν τοῖς ἄλλοις νεύροις ἕκαστον, ταύτην δ' εἶναι τὴν τοῦ λογισμοῦ ἀγωγὴν χρυσῆν καὶ 645
ἱεράν, τῆς πόλεως κοινὸν νόμιον ἐπικαλουμένην, ἄλλας δὲ σκληρὰς καὶ σιδηρᾶς, τὴν δὲ μαλακὴν ἅτε χρυσῆν οὖσαν, τὰς δὲ ἄλλας παντοδαποῖς εἴδεσιν ὁμοίας· δεῖν δὴ τῇ καλλίστῃ ἀγωγῇ τοῦ νόμου ἀεὶ ξυλλαμβάνειν· ἅτε γὰρ τοῦ λογισμοῦ καλοῦ μὲν ὄντος, πράου δὲ καὶ οὐ βιαίου, δεῖσθαι ὑπηρετῶν αὐτοῦ τὴν ἀγωγήν, ὅπως ἂν ἡμῖν τὸ χρυσοῦν γένος νικᾷ τἆλλα γένη. καὶ οὕτω δὴ περὶ θαυμάτων ὡς ὄντων ἡμῶν ὁ μῦθος ἀρετῆς σεσωσμένος ἂν εἴη, καὶ τὸ κρείττω ἑαυτοῦ καὶ ἥττω εἶναι τρόπον τινὰ φανερὸν ἂν γίγνοιτο μᾶλλον

que accidit. *Athen.* Sic autem de his cogitemus, ut miraculum quoddam divinum in animantium genere unumquemque nostrum existimemus, sive ludo seu studio quodam (non enim id novimus) a superis constitutum. illud autem non ignoramus, quod hi affectus in nobis, quasi nervi aut funes ingeniti, trahunt nos contraque invicem retrahunt ad contrarias actiones, ubi virtus et vitium discreta versantur. ratio enim tractionem unam sequendam semper neque unquam reli iquendam, sed ad illam ceteros quoque nervos retrahendos aperte dictat, eamque iudicii rationalis esse perductionem auream atque sacram, quae civitatis lex communis vocatur. et ceteras quidem duras ac ferreas esse; hanc mollem, quod aurea sit: et uniformem praeterea; ceteras multiformes. oportere itaque pulcherrimam legis ductionem sequi semper eique favere. nam cum rationis iudicium honesta res sit, et mitis quidem potius quam violenta, ministris ductionem ipsius egere, ut aureum in nobis genus alia genera superet, et sic illa fabula, qua mira res homo esse narratur, virtute servabitur, et qua ratione superior quis et inferior quodammodo se ipso dicatur, planius cognoscetur,

ὃ νοεῖ, καὶ ὅτι πόλιν καὶ ἰδιώτην, τὸν μὲν λόγον ἀληθῆ λαβόντα ἐν ἑαυτῷ περὶ τῶν ἕξεων τούτων τούτῳ ἑπόμενον δεῖ ζῆν, πόλιν δὲ ἢ παρὰ θεῶν τινὸς ἢ παρὰ τούτου τοῦ γνόντος ταῦτα λόγον παραλαβοῦσαν, νόμον θεμένην, αὐτῇ τε ὁμιλεῖν καὶ ταῖς ἄλλαις πόλεσιν. οὕτω καὶ κακία δὴ καὶ ἀρετὴ σαφέστερον ἡμῖν διηρθρωμένον ἂν εἴη. ἐναργεστέρου δ' αὐτοῦ γενομένου καὶ παιδεία καὶ τἆλλα ἐπιτηδεύματα ἴσως ἔσται μᾶλλον καταφανῆ, καὶ δὴ καὶ τὸ περὶ τῆς ἐν τοῖς οἴνοις διατριβῆς, ὃ δοξασθείη μὲν ἂν εἶναι φαύλου πέρι μῆκος πολὺ λόγων περιττὸν εἰρημένον,

ΚΛ. Φανείη δὲ τάχ' ἄν ἴσως τοῦ μήκους γ' αὐτῶν οὐκ ἀπάξιον.

ΑΘ. Εὖ λέγεις, καὶ περαίνωμεν ὅ τί περ ἂν τῆς γε νῦν διατριβῆς ἄξιον γίγνηται.

ΚΛ. Λέγε δή.

ΑΘ. Προσφέροντες τῷ θαύματι τούτῳ τὴν μέθην ποῖόν τί ποτε αὐτὸ ἀπεργαζόμεθα.

ΚΛ. Πρὸς τί δὲ ἀκουόμενος αὐτὸ ἐπανερωτᾷς;

ΑΘ. Οὐδέν πω πρὸς ὅ τι, τοῦτο δὲ ὅλως κοινωνῆσαν τούτῳ ποῖόν τι ξυμπίπτει γίγνεσθαι. ἔτι δὲ σαφέστερον ὃ βούλομαι πειράσομαι φράζειν. ἐρωτῶ γὰρ

et quod oporteat privatum quemque, vera in se ipso de his tractibus ratione percepta, ad eam ipsam vitam suam dirigere: civitatem vero, vel a Deorum aliquo vel ab hoc ipso, qui haec cognovit, ratione accepta, eam habere pro lege, ad eiusque normam officia sua secum et cum aliis civitatibus instituere. atque ita virtus et vitium clarius nobis distincta patebunt: quibus plane perceptis, et disciplina et reliqua studia magis forsan clarescent, consuetudo praeterea, quae in vino habetur, de qua longiorem habere sermonem vile fortassis putabitur. *Cli.* Forte vero non videbitur prolixa oratione indigna. *Athen.* Probe loqueris: quare dicamus, quid in ea sit dignum. *Cli.* Prosequere iam. *Athen.* Si mirae huic rei ebrietatem afferamus, qualem ipsam reddemus? *Cli.* Ad quid modo istud rogitas? *Athen.* Nondum dico ad quid. sed si mira haec res vino se misceat, qualis redditur? verum apertius etiam, quod volo, dicere conabor. tale quiddam interrogo,

τὸ τοιόνδε. ἆρα σφοδροτέρας τὰς ἡδονὰς καὶ λύπας καὶ θυμοὺς καὶ ἔρωτας ἢ τῶν οἴνων πόσις ἐπιτείνει;

ΚΛ. Πολύ γε.

ΑΘ. Τί δ' αὖ τὰς αἰσθήσεις καὶ μνήμας καὶ δόξας καὶ φρονήσεις; πότερον ὡσαύτως σφοδροτέρας, ἢ πάμπαν ἀπολείπει ταῦτα αὐτόν, ἂν κατακορὴς τις τῇ μέθῃ γίγνηται;

ΚΛ. Ναί, πάμπαν ἀπολείπει.

ΑΘ. Οὐκοῦν εἰς ταὐτὸν ἀφικνεῖται τὴν τῆς ψυχῆς ἕξιν τῇ τότε ὅτε νέος ἦν παῖς;

ΚΛ. Τί μήν;

ΑΘ. Ἧκιστα δὴ τότ' ἂν αὐτὸς αὑτοῦ γίγνοιτο ἐγκρατής.

ΚΛ. Ἧκιστα. 646

ΑΘ. Ἆρ' οὖν πονηρότατος, φαμέν, ὁ τοιοῦτος;

ΚΛ. Πολύ γε.

ΑΘ. Οὐ μόνον ἄρ', ὡς ἔοικεν, ὁ γέρων δὶς παῖς γίγνοιτ' ἄν, ἀλλὰ καὶ ὁ μεθυσθείς.

ΚΛ. Ἄριστα εἶπες, ὦ ξένε.

ΑΘ. Τούτου δὴ τοῦ ἐπιτηδεύματος ἔσθ' ὅς τις λόγος ἐπιχειρήσει πείθειν ἡμᾶς ὡς χρὴ γεύεσθαι καὶ μὴ φεύγειν παντὶ σθένει κατὰ τὸ δυνατόν;

ΚΛ. Ἔοικ' εἶναι· σὺ γοῦν φῂς καὶ ἕτοιμος ἦσθα νῦν δὴ λέγειν.

ΑΘ. Ἀληθῆ μέντοι μνημονεύεις. καὶ νῦν γ' εἰμὶ

am vini usus voluptates, dolores, iras, amores vehementius concitet. *Cli.* Maxime quidem. *Athen.* Utrum etiam sensus, memoriam, opinionem, intelligentiam similiter vehementiora efficiat, an prorsus exstinguat, si quis ebrietate fuerit occupatus? *Cli.* Omnino certe exstinguit. *Athen.* Ad eum igitur animi habitum redit, quem puer primis ab annis habebat. *Cli.* Profecto. *Athen.* Quare minime tunc sui ipsius compos erit. *Cli.* Minime. *Athen.* Erit itaque pessimus. *Cli.* Valde. *Athen.* Non solum igitur senex, ut videtur, bis erit puer, sed ipse etiam temulentus. *Cli.* Optime istud, hospes, est dictum. *Athen.* Poteritne ratio nobis aliqua suadere hanc rem aliquo pacto gustandam esse, neque esse totis viribus fugiendam? *Cli.* Poterit forsitan, ut tu ais: et modo paratum te dicere ostendebas. *Athen.* Optime meministi. nempe

ἕτοιμος, ἐπειδή περ σφώ γε ἐθελήσειν προθύμως ἕφατον ἀκούειν.

ΚΛ. Πῶς δ' οὐκ ἀκουσόμεθα; κἂν εἰ μηδενὸς ἄλλου χάριν, ἀλλὰ τοῦ θαυμαστοῦ τε καὶ ἀτόπου, εἰ δεῖ ἑκόντα ποτὲ ἄνθρωπον εἰς ἅπασαν φαυλότητα ἑαυτὸν ἐμβάλλειν.

ΑΘ. Ψυχῆς λέγεις. ἦ γὰρ;

ΚΛ. Ναί.

ΑΘ. Τί δὲ; σώματος, ὦ ἑταῖρε, εἰς πονηρίαν, λεπτότητά τε καὶ αἶσχος καὶ ἀδυναμίαν, θαυμάζοιμεν ἄν εἴ ποτέ τις ἑκὼν εἶναι ἐπὶ τὸ τοιοῦτον ἀφικνεῖται;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Τί οὖν; τοὺς εἰς τὰ ἰατρεῖα αὐτοὺς βαδίζοντας ἐπὶ φαρμακοποσίαν ἀγνοεῖν οἰόμεθα ὅτι μετ' ὀλίγον ὕστερον καὶ ἐπὶ πολλὰς ἡμέρας ἕξουσι τοιοῦτον τὸ σῶμα, οἷον εἰ διὰ τέλους ἔχειν μέλλοιεν, ζῆν οὐκ ἂν δέξαιντο; ἢ τοὺς ἐπὶ τὰ γυμνάσια καὶ πόνους ἰόντας οὐκ ἴσμεν ὡς ἀσθενεῖς εἰς τὸ παραχρῆμα γιγνονται;

ΚΛ. Πάντα ταῦτα ἴσμεν.

ΑΘ. Καὶ ὅτι τῆς μετὰ ταῦτα ὠφελείας ἕνεκα ἑκόντες πορεύονται;

ΚΛ. Κάλλιστα.

ΑΘ. Οὐκοῦν χρὴ καὶ τῶν ἄλλων ἐπιτηδευμάτων περὶ διανοεῖσθαι τὸν αὐτὸν τρόπον;

et nunc paratus sum, quandoquidem utrique libenter audituros vos promisistis. *Cli.* Quidni audiamus? et si non ob aliud, tamen quia mirum absurdumque videtur, si oportebit quandoque hominem sponte se ipsum in omnem pravitatem immittere. *Ath.* Animine dicis? *Cli.* Animi. *Athen.* Nunquid autem mirabimur, o amice, si quis in corporis pravitatem, maciem dico, deformitatem, imbecillitatem sponte deveniat? *Cli.* Quidni? *Athen.* An igitur putamus eos, qui ultro medicorum pharmaca accipiunt, ignorare se paulo post ita corpus per aliquod dies affectum habituros, ut, si affectum similiter perpetuo sint habituri, vivere nolint? an etiam ignoramus, eos, qui gymnasia et labores subeunt, imbecilles lassitudine confestim fieri? *Cli.* Haec omnia novimus. *Athen.* Atqui et istud, quod cuncti futurae utilitatis gratia ad haec ultro proficiscuntur. *Cli.* Praeclare. *Athen.* Nonne eodem modo

ΚΛ. Πάνυ γε.

ΑΘ. Καὶ τῆς περὶ τὸν οἶνον ἄρα διατριβῆς ὡσαύτως διανοητέον, εἴ περ ἔνι τοῦτο ἐν τούτοις ὀρθῶς διανοηθῆναι.

ΚΛ. Πῶς δ' οὔ;

ΑΘ. Ἆν ἄρα τινὰ ἡμῖν ὠφέλειαν ἔχουσα φαίνηται μηδὲν τῆς περὶ τὸ σῶμα ἐλάττω, τῇ γε ἀρχῇ τὴν συμασκίαν νικᾷ τῷ τὴν μὲν μετ' ἀλγηδόνων εἶναι, τὴν δὲ μή.

ΚΛ. Ὀρθῶς λέγεις, θαυμάζοιμι δ' ἂν εἴ τι δυναίμεθα τοιοῦτον ἐν αὐτῷ καταμαθεῖν.

ΑΘ. Τοῦτ' αὐτὸ δὴ νῦν, ὡς ἔοιχ', ἡμῖν ἤδη πειρατέον φράζειν. καί μοι λέγε· δύο φόβων εἴδη σχεδὸν ἐναντία δυνάμεθα κατανοῆσαι;

ΚΛ. Ποῖα δή;

ΑΘ. Τὰ τοιάδε. φοβούμεθα μέν που τὸ κακά, προσδοκῶντες γενήσεσθαι;

ΚΛ. Ναί.

ΑΘ. Φοβούμεθα δέ γε πολλάκις δόξαν, ἡγούμενοι δοξάζεσθαι κακοὶ πράττοντες ἢ λέγοντές τι τῶν μὴ καλῶν· ὃν δὴ καὶ καλοῦμεν τὸν φόβον ἡμεῖς γε, οἶμαι δὲ καὶ πάντες, αἰσχύνην. 647

ΚΛ. Τί δ' οὔ;

de ceteris rebus existimandum? *Cli.* Eodem prorsus. *Athen.* Non aliter quoque de compotatione vini est cogitandum, si datur hoc in istis recte considerari. *Cli.* Sic certe. *Athen.* Si utilitatem aliquam habere perspicietur nihilo inferiorem, quam quae in corporali exercitatione inest, bene quidem: principio tamen in hoc exercitationem corporis superat, quod haec dolorem habeat, illa non habeat. *Cli.* Recte id quidem. sed mirarer equidem, si quid tale in eo possemus percipere. *Athen.* Hoc ipsum iam explanare conandum. quare mihi dicas, an duas timoris species invicem paene contrarias possumus cogitare? *Cli.* Quas dicis? *Athen.* Has, inquam, timemus profecto mala, cum futura exspectamus. *Cli.* Timemus. *Athen.* Metuimus quoque saepenumero existimationem, cum formidamus, ne dicendo aut faciendo aliquid minus honestum mali videamur. quem quidem timorem nos, immo omnes, ut arbitror, pudorem appellamus. *Cli.* Cui dubium? *Athen.*

ΑΘ. Τούτους δὴ δύο ἔλεγον φόβους· ὧν ὁ ἕτερος ἐναντίος μὲν ταῖς ἀληδόσι καὶ τοῖς ἄλλοις φόβοις, ἐναντίος δ' ἐσὶ ταῖς πλειςαις καὶ μεγίςαις ἡδοναῖς.

ΚΛ. Ὀρθότατα λέγεις.

ΑΘ. Ἆρ' οὖν οὐκ ἂν νομοθέτης, καὶ πᾶς οὗ καὶ σμικρὸν ὄφελος, τοῦτον τὸν φόβον ἐν τιμῇ μεγίςῃ σέβει, καὶ παλῶν αἰδῶ τὸ τούτῳ θάῤῥος ἐναντίον ἀναιδειάν τε προσαγορεύει καὶ μέγιςον κακὸν ἰδίᾳ τε καὶ δημοσίᾳ πᾶσι νενόμικεν;

ΚΛ. Ὀρθῶς λέγεις.

ΑΘ. Οὐκοῦν τά τ' ἄλλα πολλὰ καὶ μεγάλα ὁ φόβος ἡμᾶς οὗτος σώζει, καὶ τὴν ἐν τῷ πολέμῳ νίκην καὶ σωτηρίαν ἓν πρὸς ἓν οὐδὲν οὕτω σφόδρα ἡμῖν ἀπεργάζεται. δύο γὰρ οὖν ἐςὸν τὰ τὴν νίκην ἀπεργαζόμενα, θάῤῥος μὲν πολεμίων, φίλων δὲ φόβος αἰσχύνης πέρι κακῆς.

ΚΛ. Ἔςι ταῦτα.

ΑΘ. Ἄφοβον ἡμῶν ἄρα δεῖ γίγνεσθαι καὶ φοβερὸν ἕκαςον· ὧν δ' ἑκάτερον ἕνεκα, διῃρήμεθα.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Καὶ μὴν ἄφοβόν γε ἕκαςον βουληθέντες

Hos equidem timores duos dicebam, quorum alter contrarius quidem est doloribus ceterisque timoribus, contrarius est et plurimis ingentibusque voluptatibus. *Cli.* Recte admodum. *Athen.* Nonne igitur et legislator et quivis alius, qui prodesse hominibus quoquo modo possit, hunc timorem maximo honore colat, vocetque pudorem? confidentiam vero, huius contrariam, impudentiam nominet, ac maximum privatim et publice malum hominibus arbitretur? *Cli.* Recte dictum. *Athen.* Is utique timor et in aliis multis ingentibusque nos maxime servat, et in bello, si unum uni comparetur, hic certe maxime omnium victoriam nobis salutemque largitur. duo enim sunt, quae victoriam pariunt: adversus hostes quidem audacia, adversus amicos autem turpis infamiae timor. *Cli.* Est ita. *Athen.* Intrepidum itaque unumquemque nostrum et timidum fieri oportet. quamobrem vero ita utrumque oporteat, iam distinximus. *Cli.* Omnino. *Athen.* Atqui quotiens

ποιεῖν, φόβων πολλῶν τινῶν εἰς φόβον ἄγοντες αὐτὸν μετὰ νόμου, τοιοῦτον ἀπεργαζόμεθα.

ΚΛ. Φαινόμεθα.

ΑΘ. Τί δ' ὅταν ἐπιχειρῶμέν τινα φοβερὸν ποιεῖν μετὰ δίκης, ἆρ' οὐκ ἀναισχυντίᾳ ξυμβάλλοντας αὐτὸν καὶ προγυμνάζοντας νικᾶν δεῖ ποιεῖν διαμαχόμενον αὐτοῦ ταῖς ἡδοναῖς; ἢ τῇ μὲν διαίτῃ τῇ ἐν αὐτῷ προσμαχόμενον καὶ νικῶντα αὐτὴν δεῖ τέλεον οὕτω γίγνεσθαι πρὸς ἀνδρίαν, ἄπειρος δὲ δή που καὶ ἀγύμναστος ὢν τῶν τοιούτων ἀγώνων ὁστισοῦν οὐδ' ἂν ἥμισυς ἑαυτοῦ γένοιτο πρὸς ἀρετήν; σώφρων δὲ ἆρα τελέως ἔσαι μὴ πολλαῖς ἡδοναῖς καὶ ἐπιθυμίαις προτρεπούσαις ἀναισχυντεῖν καὶ ἀδικεῖν διαμεμαχημένος καὶ νενικηκὼς μετὰ λόγου καὶ ἔργου καὶ τέχνης ἔν τε παιδιαῖς καὶ ἐν σπουδαῖς, ἀλλ' ἀπαθὴς ὢν πάντων τῶν τοιούτων;

ΚΛ. Οὔκουν τόν γ' εἰκότα λόγον ἂν ἔχοι.

ΑΘ. Τί οὖν; φόβου φάρμακον ἔσθ' ὅς τις θεὸς ἔδωκεν ἀνθρώποις, ὥστε ὁπόσῳ πλέον ἂν ἐθέλῃ τις πίνειν αὐτοῦ, τοσούτῳ μᾶλλον αὐτὸν νομίζειν καθ' ἑκάσην πόσιν δυστυχῆ γίγνεσθαι, καὶ φοβεῖσθαι τὰ παρόντα καὶ τὰ μέλλοντα αὐτῷ πάντα, καὶ τελευτῶντα εἰς πᾶν 648

intrepidum aliquem reddere volumus, in multarum terrorem formidinum lege inpulsum, talem efficimus. *Cli.* Ita videmur. *Athen.* Cum vero pertimescentem recto iudicio aliquem efficere volumus, cum profecto debemus rebus ad impudentiam declinantibus tentare, exercentes ipsum in pugna contra voluptates suas, aut institutum anteactae vitae, et ad victoriam cohortantes atque ita vincentem perfectum ad fortitudinem reddere. qui vero nec periculum sui fecerit ullum, neque in his certaminibus exercitatus fuerit, nec mediam quidem suarum virium partem ad virtutem habebit. temperatus autem quomodo erit perfecte, nisi voluptatibus atque cupiditatibus plurimis ad impudentiam et iniuriam compellentibus fortiter repugnaverit; ac ratione opereque et arte tam iocosis quam seriis in rebus devicerit? an temperans erit, inquam, qui nihil huiusmodi sit perpessus? *Cli.* Haudquaquam verisimile est. *Athen.* Sed hic, oro, aliquodne ad inducendum timorem pharmacum aliquis Deus dedit hominibus? ut, quanto plus ex eo quispiam bibat, tanto ex qualibet potione infeliciorem se fieri putet, cum omnia tam praesentia quam futura sibi metuat; atque ad omnem formi-

θεὸς ἔδωκεν ἀνθρώποις τοιοῦτον φάρμακον οὔτε αὐτοὶ μεμηχανήμεθα. τοὺς γὰρ γόητας οὐκ ἐν ϑοίνῃ λέγω· τῆς δὲ ἀφοβίας καὶ τοῦ λίαν ϑαῤῥεῖν καὶ ἀκαίρως ἃ μὴ χρή, πότερον ἔξι πῶμα, ἢ πῶς λέγομεν;

ΚΛ. Ἔξι, φήσει που, τὸν οἶνον φράζων.

ΑΘ. Ἦ καὶ τοὐναντίον ἔχει τοῦτο τῷ νῦν δὴ λεγομένῳ; πιόντα τὸν ἄνθρωπον αὐτὸν αὑτοῦ ποιεῖ πρῶτον ἵλεων εὐθὺς μᾶλλον ἢ πρότερον, καὶ ὁπόσῳ ἂν πλέον αὐτοῦ γεύηται, τοσούτῳ πλειόνων ἐλπίδων ἀγαθῶν πληροῦσθαι καὶ δυνάμεως εἰς δόξαν; καὶ τελευτῶν δὴ πάσης ὁ τοιοῦτος παῤῥησίας ὡς σοφὸς ὢν μεστοῦται καὶ ἐλευθερίας, πάσης δὲ ἀφοβίας, ὥς τε εἰπεῖν τε ἀόκνως ὁτιοῦν, ὡσαύτως δὲ καὶ πρᾶξαι;

ΚΛ. Πᾶς ἡμῖν, οἶμαι, ταῦτ' ἂν συγχωροῖ.

ΜΕ. Τί μήν;

ΑΘ. Ἀναμνησθῶμεν δὴ τόδε, ὅτι δύ' ἔφαμεν ἡμῶν ἐν ταῖς ψυχαῖς δεῖν ϑεραπεύεσθαι, τὸ μὲν ὅπως ὅτι μάλιστα ϑαῤῥήσομεν, τὸ δὲ τοὐναντίον ὅτι μάλιστα φοβησόμεθα.

ΚΛ. Ἃ τῆς αἰδοῦς ἔλεγες, ὡς οἰόμεθα.

ΑΘ. Καλῶς μνημονεύετε. ἐπειδὴ δὲ τήν τε ἀνδρίαν καὶ τὴν ἀφοβίαν ἐν τοῖς φόβοις δεῖ καταμελετᾶ-

dedit pharmacum, neque ipsi excogitavimus. ipsos namque venefícos in convivio nequaquam dico. confidendi autem valde et intrepide praeterquam oportet audendi in quibuscunque, utrum est potio quaedam, an nulla? *Cli.* Vinum esse dicet. *Athen.* Porro contra id facit, quam ea potio, de qua modo facta est mentio. nam cum biberit quis: primo alacrior fit quam prius erat: deinde quo plus biberit, eo maiore et meliore spe atque insuper potentia pro sua opinione repletur. tandem, quasi sapiens, ea homo confidentia, libertate audaciaque repletur, ut intrepide et dicat et faciat, quicquid placet. *Cli.* Arbitror equidem omnes id concessuros. *Meg.* Certe omnes. *Athen.* Recordemur itaque nunc duo quaedam esse, quae in nostris animis curanda superius diximus: alterum ut maxime confidamus; alterum ut maxime formidemus. *Cli.* De pudore dicta haec existimamus. *Athen.* Recte tenetis. sed quoniam fortitudinem imperterritique animi habitum in timoribus

σθαι, σκεπτέον ἄρα τὸ ἐναντίον ἐν τοῖς ἐναντίοις θεμπευέσθαι δέον ἂν εἴη.

ΚΛ. Τό γ' οὖν εἰκός.

ΑΘ. Ἃ παθόντες ἆρα πεφύκαμεν διαφερόντως θαῤῥαλέοι τ' εἶναι καὶ θρασεῖς, ἐν τούτοις δέον ἄν, ὡς ἔοικ', εἴη τὸ μελετᾶν ὡς ἥκιστα εἶναι ἀναισχύντους τε καὶ θρασύτητος γέμοντας, φοβεροὺς δὲ εἰς τό τι τολμᾶν ἑκάστοτε λέγειν ἢ πάσχειν ἢ καὶ δρᾶν αἰσχρὸν ὁτιοῦν.

ΚΛ. Ἔοικεν.

ΑΘ. Οὐκοῦν ταῦτά ἐστι πάντα ἐν οἷς ἐσμὲν τοιοῦτοι, θυμός, ἔρως, ὕβρις, ἀμαθία, φιλοκέρδεια, δειλία, καὶ ἔτι τοιάδε, πλοῦτος, κάλλος, ἰσχύς, καὶ πάνθ' ὅσα δι' ἡδονῆς αὖ μεθύσκοντα παράφρονας ποιεῖ τούτων δ' εὐτελῆ τε καὶ ἀσινεστέραν πρῶτον μὲν πρὸς τὸ λαμβάνειν πεῖραν, εἶτα εἰς τὸ μελετᾶν, πλὴν τῆς ἐν οἴνῳ βασάνου καὶ παιδιᾶς τίνα ἔχομεν ἡδονὴν εἰπεῖν ἔμμετρον μᾶλλον, ἂν καὶ ὀπωστιοῦν μετ' εὐλαβείας γίγνηται; σκοπῶμεν γὰρ δή. δυσκόλου ψυχῆς καὶ ἀγρίας, ἐξ ἧς ἀδικίαι μυρίαι γίγνονται, πότερον ἰόντα εἰς τὰ ξυμβόλαια πεῖραν λαμβάνειν, κινδυνεύοντα περὶ αὐτῶν, σφαλερώτερον, ἢ ξυγγενόμενον μετὰ τῆς τοῦ Διονύσου θεωρίας; ἢ πρὸς ταφροδίσια ἡττημένης τινὸς 650

praemeditari oportet, considerandum, nunquid contrarium in contrariis praemeditari conveniat. *Cli.* Consequens id est. *Athen.* In his igitur, quae perpessi confidentes audacesque maxime fieri natura solemus, cogitandum videtur, ut quam minime impudentes et audaces simus; sed contra formidolosi ad dicendum aut patiendum aut agendum quicquam turpe. *Cli.* Ita videtur. *Athen.* Nonne haec ea sunt, in quibus tales sumus, ira, amor, petulantia, insciția, avaritia, secordia: et ad haec illa, divitiae, forma, vires, et quaecunque voluptatis ebrietate quadam homines amentes faciunt? ad horum omnium facile et innocuum periculum faciendum inducendamque exercitationem nullam habemus voluptatem commodiorem ea, quae in vini ludo mores examinat, si modo prudens quaedam cautio adhibeatur. consideremus autem, utrum difficilis et agrestis animi, unde plurimae perpetrantur iniuriae, in ipsis commerciis summo cum rerum discrimine, an potius in Dionysii spectaculo faciendum periculum sit. an vero animi ad

ψυχῆς βάσανον λαμβάνειν, ἐπιτρέποντα αὐτοῦ θυγατέρας τε καὶ υἱεῖς καὶ γυναῖκας, οὕτως ἐν τοῖς φιλτάτοις κινδυνεύσαντα, ἦθος ψυχῆς θεάσασθαι; καὶ μυρίοις δὴ λέγων οὐκ ἄν τίς ποτε ἀνύσειεν, ὅσῳ διαφέρει τὸ μετὰ παιδιᾶς τὴν ἄλλως ἄνευ μισθοῦ ζημιώδους θεωρεῖν. καὶ δὴ καὶ τοῦτο μὲν αὐτὸ περί γε τούτων οὔτ' ἂν Κρῆτας οὔτ' ἄλλους ἀνθρώπους οὐδένας οἰόμεθα ἀμφισβητῆσαι, μὴ οὐ πεῖράν τε ἀλλήλων ἐπιεικῆ ταύτην εἶναι τό τε τῆς εὐτελείας καὶ ἀσφαλείας καὶ τάχους διαφέρειν πρὸς τὰς ἄλλας βασάνους.

ΚΛ. Ἀληθῆ τοῦτό γε.

ΑΘ. Τοῦτο μὲν ἄρ' ἂν τῶν χρησιμωτάτων ἓν εἴη, τὸ γνῶναι τὰς φύσεις τε καὶ ἕξεις τῶν ψυχῶν, τῇ τέχνῃ ἐκείνῃ ἧς ἐσὶ ταῦτα θεραπεύειν· ἔσι δέ που, φαμεν, ὡς οἶμαι, πολιτικῆς. ἦ γάρ;

ΚΛ. Πάνυ μὲν οὖν.

venerea proni affectum considerare ita debemus, ut summo cum periculo coniunctissimas sibi, filias videlicet ac filios, committamus? permulta insuper afferre quis poterit, neque verbis consequetur, quantum praestet cum ioco simpliciter, sine damno hominum mores exquirere. qua de re neque Cretenses neque alios hominum ullos dubitaturos unquam putamus. quin huiusmodi morum examinatio conveniens sit ac prae ceteris facilis, tuta, brevis. *Cli.* Verum id quidem. *Athen.* Hoc igitur utilissimum quiddam erit, naturas et habitus animorum arte illa cognoscere, qua ista curanda sunt. est autem hoc, ut arbitror, civilis facultatis officium, an non? *Cli.* Sic est omnino.

B.

Τὸ δὴ μετὰ τοῦτο, ὡς ἔοικε, σκεπτέον ἐμοίνα, περὶ 652
αὐτῶν, πότερα τοῦτο μόνον ἀγαθὸν ἔχει, τὸ κατιδεῖν. πῶς ἔχομεν τὰς φύσεις, ἢ καί τι μέγεθος ὠφελείας ἄξιον πολλῆς σπουδῆς ἔνεστ' ἐν τῇ κατ' ὀρθὸν χρείᾳ τῆς ἐν οἴνῳ συνουσίας. τί οὖν δὴ λέγομεν; ἔνεσθ', ὡς ὁ λόγος ἔοικε βούλεσθαι σημαίνειν· ὅπῃ δὲ καὶ ὅπως, ἀκούωμεν προσέχοντες τὸν νοῦν, μή πῃ παραποδισθῶμεν ὑπ' αὐτοῦ.

Κλ. Λέγ' οὖν.

Αθ. Ἀναμνησθῆναι τοίνυν ἔγωγε πάλιν ἐπιθυμῶ τί ποτε λέγομεν ἡμῖν εἶναι τὴν ὀρθὴν παιδείαν. τούτου γάρ, ὡς γ' ἐγὼ τοπάζω τὰ νῦν, ἔσιν 653
ἐν τῷ ἐπιτηδεύματι τούτῳ καλῶς κατορθουμένῳ σωτηρία.

Deinceps autem de his considerandum est, utrum id solum bonum habeant, ut perspiciamus, quomodo naturae nostrae se habent, an magna etiam utilitas multo studio digna in vini compotatione, si recte regitur, insit. quid igitur dicimus? Inest utique, ut sermo significare videtur. ubi autem et quomodo, attente, obsecro, audiamus, ne ab eo praepediamur. *Cli.* Dic igitur. *Athen.* Repetere itaque memoria cupio, quid esse rectam dicimus disciplinam. huius enim, ut in praesentia coniicio, est in hoc officio, quando recte institutum est, salus. *Cli.* Magnum dicis. *Athen.*

ΚΛ. Μέγα λέγεις.

ΑΘ. Λέγω τοίνυν τῶν παίδων παιδικὴν εἶναι πρώτην αἴσθησιν ἡδονὴν καὶ λύπην, καὶ ἐν οἷς ἀρετὴ ψυχῇ καὶ κακία παραγίγνεται, πρῶτον τοῦτ' εἶναι· φρόνησιν δὲ καὶ ἀληθεῖς δόξας βεβαίους, εὐτυχὲς ὅτῳ καὶ πρὸς τὸ γῆρας παρεγένετο· τέλεος δ' οὖν ἓξ' ἄνθρωπος ταῦτα καὶ τὰ ἐν τούτοις πάντα κεκτημένος ἀγαθά. παιδείαν δὴ λέγω τὴν παραγιγνομένην πρῶτον παισὶν ἀρετήν, ἡδονὴ δὲ καὶ φιλία καὶ λύπη καὶ μῖσος ἂν ὀρθῶς ἐν ψυχαῖς ἐγγίγνωνται μήπω δυναμένων λόγῳ λαμβάνειν, λαβόντων δὲ τὸν λόγον συμφωνήσωσι τῷ λόγῳ, ὀρθῶς εἰθίσθαι ὑπὸ τῶν προσηκόντων ἐθῶν· αὐτῆς δ' ἡ ξυμφωνία ξύμπασα μὲν ἀρετή, τὸ δὲ περὶ τὰς ἡδονὰς καὶ λύπας τεθραμμένον αὐτῆς ὀρθῶς, ὥστε μισεῖν μὲν ἃ χρὴ μισεῖν εὐθὺς ἐξ ἀρχῆς μέχρι τέλους, στέργειν δὲ ἃ χρὴ στέργειν, τοῦτ' αὐτὸ ἀποτεμὼν τῷ λόγῳ καὶ παιδείαν προσαγορεύων κατά γε τὴν ἐμὴν ὀρθῶς ἂν προσαγορεύοις.

ΚΛ. Καὶ γάρ, ὦ ξένε, ἡμῖν καὶ τὰ πρότερον ὀρθῶς σοι παιδείας πέρι καὶ τὰ νῦν εἰρῆσθαι δοκεῖ.

ΑΘ. Καλῶς τοίνυν. τούτων γὰρ δὴ τῶν ὀρθῶς τεθραμμένων ἡδονῶν καὶ λυπῶν παιδειῶν οὐσῶν γα-

Primum profecto puerorum sensum esse dico voluptatis atque doloris, atque haec duo esse, in quibus primum virtus et vitium animo innascuntur. si cui autem prudentia et vera opinio ac stabilis vel in senectute affuerint, felix est. perfectus porro vir est, qui haec, et quae in his sunt, omnia possidet bona. disciplinam appello virtutem, quae primo pueris advenit, si voluptas et amor dolorque et odium recte in animos inflant, antequam ratione moveantur, et, ratione deinde praesente, rationi consentiant propter superiorem bonorum morum consuetudinem: haec ipsa consensio universa quidem virtus est. ipsam vero decentem circa voluptates et dolores assuetudinem, per quam ab initio, usque ad extremum vitae, homines oderint quae odisse oportet, et ament quae amanda sunt, si per se ipsam seorsum ratione consideratam disciplinam vocaveris, recte, ut ego arbitror, appellabis. *Cli.* Etenim quae antea, hospes, et quae nunc de disciplina disseruisti, probe dicta videntur. *Athen.* Bene igitur est. huiusmodi vero voluptatum atque dolorum rectam educationem, quae disciplina dicitur, trans-

λᾶται τοῖς ἀνθρώποις καὶ διαφθείρεται τὰ πολλὰ ἐν τῷ βίῳ, θεοὶ δὲ οἰκτείραντες τὸ τῶν ἀνθρώπων ἐπίπονον πεφυκὸς γένος ἀναπαύλας τε αὐτοῖς τῶν πόνων ἐτάξαντο τὰς τῶν ἑορτῶν ἀμοιβὰς τοῖς θεοῖς, καὶ Μούσας Ἀπόλλωνά τε μουσηγέτην καὶ Διόνυσον ξυνεορτασὰς ἔδοσαν, ἵν' ἐπανορθῶνται τὰς τροφὰς γενομένας ἐν ταῖς ἑορταῖς μετὰ θεῶν. ὁρᾶν οὖν χρὴ πότερον ἀληθὴς ἡμῖν κατὰ φύσιν ὁ λόγος ὑμνεῖται τὰ νῦν, ἢ πῶς. φησὶ δὲ τὸ νέον ἅπαν ὡς ἔπος εἰπεῖν τοῖς τε σώμασι καὶ ταῖς φωναῖς ἡσυχίαν ἄγειν οὐ δύνασθαι, κινεῖσθαι δὲ ἀεὶ ζητεῖν καὶ φθέγγεσθαι, τὰ μὲν ἁλλόμενα καὶ σκιρτῶντα, οἷον ὀρχούμενα μεθ' ἡδονῆς καὶ προσπαίζοντα, τὰ δὲ φθεγγόμενα πάσας φωνάς. τὰ μὲν οὖν ἄλλα ζῶα οὐκ ἔχειν αἴσθησιν τῶν ἐν ταῖς κινήσεσι τάξεων οὐδὲ ἀταξιῶν, οἷς δὴ ῥυθμὸς ὄνομα καὶ ἁρμονία· ἡμῖν δὲ οὓς εἴπομεν τοὺς θεοὺς συγχορευτὰς δεδόσθαι, τούτους εἶναι καὶ τοὺς δεδωκότας τὴν ἔνρυθμόν τε καὶ ἐναρμόνιον αἴσθησιν μεθ' ἡδονῆς, ᾗ δὴ κινεῖν τε ἡμᾶς καὶ χορηγεῖν ἡμῶν τούτους, ᾠδαῖς τε καὶ ὀρχήσεσιν ἀλλήλοις ξυνείροντας, χορούς τε ὠνομακέναι παρὰ τῆς χαρᾶς ἄμφυτον ὄνομα. πρῶτον δὴ τοῦτο 654

grediuntur homines in vita ac saepe pervertunt. dii autem, genus hominum laboribus natura pressum miserati, remissiones laborum ipsis statuerunt, solemnia videlicet festa vicissim in ipsorum Deorum honorem instituta praebentes. musas quin etiam et Apollinem Musarum ducem et Bacchum concelebratores, Deorumque consilio emendatores inter solemnia morum adhibuere. considerandum igitur, utrum hic sermo secundum naturam nobis ac verus est, qui dicit, tenerioris aetatis omnes, ut uno verbo complectar, non posse nec corpore nec voce quiescere, sed moveri semper et loqui velle, alios exsultantes ac gestientes et veluti cum voluptate saltantes ludentesque; alios variis vocibus conclamantes. ac cetera quidem animalia ordinem ordinisve defectum, qui sane ordo in motibus inspicitur et rhythmus harmoniaque vocatur, nequaquam advertere. nobis autem ab his Diis, quos concelebratores datos esse nobis diximus, rhythmi et harmoniae participem sensum esse tributum, eosque movere nos cum voluptate, chorumque nobis ducere, cantibus et saltationibus nos invicem copulantes, quem quidem chorum achara, id est laetitia, nominaverint. pri-

ἀποδεξώμεθα; θῶμεν παιδείαν εἶναι πρώτην διὰ Μουσῶν τε καὶ Ἀπόλλωνος; ἢ πῶς;

ΚΛ. Οὕτως.

ΑΘ. Οὐκοῦν ὁ μὲν ἀπαίδευτος ἀχόρευτος ἡμῖν ἔξαι, τὸν δὲ πεπαιδευμένον ἱκανῶς κεχορευκότα θετέον;

ΚΛ. Τί μήν;

ΑΘ. Χορεία γε μὴν ὄρχησίς τε καὶ ᾠδὴ τὸ ξύνολόν ἐστιν.

ΚΛ. Ἀναγκαῖον.

ΑΘ. Ὁ καλῶς ἄρα πεπαιδευμένος ᾄδειν τε καὶ ὀρχεῖσθαι δυνατὸς ἂν εἴη καλῶς.

ΚΛ. Ἔοικεν.

ΑΘ. Ἴδωμεν δὴ τί ποτ' ἐστὶ τὸ νῦν αὖ λεγόμενον.

ΚΛ. Τὸ ποῖον δή;

ΑΘ. Καλῶς ᾄδει, φαμέν, καὶ καλῶς ὀρχεῖται· πότερον εἰ καὶ καλὰ ᾄδει καὶ καλὰ ὀρχεῖται, προσθῶμεν ἢ μή;

ΚΛ. Προσθῶμεν.

ΑΘ. Τί δ'; ἂν τὰ καλά τε ἡγούμενος εἶναι καλὰ καὶ τὰ αἰσχρὰ αἰσχρὰ οὕτως αὐτοῖς χρῆται, βέλτιον ὁ τοιοῦτος πεπαιδευμένος ἡμῖν ἕξαι τὴν χορείαν τε καὶ μουσικὴν ἢ ὃς ἂν τῷ μὲν σώματι καὶ τῇ φωνῇ τὸ

mum vero considerandum, num concedamus disciplinam primam per Musas et Apollinem esse. an quomodo? *Cli.* Ita prorsus. *Athen.* Disciplinae igitur expers dicendus est, qui nunquam chorea usus est: disciplinae vero compos contra, qui satis id fecit. *Cli.* Sic ponimus. *Athen.* Chorea vero omnis tripudium simul est et concentus. *Cli.* Necesse est. *Athen.* Quisquis ergo bene disciplina instructus est, et saltare et cantare bene potest. *Cli.* Videtur. *Athen.* Sed videamus, quid est, quod modo diximus. *Cli.* Quid istud? *Athen.* Cum bene cantare et bene saltare quempiam dicimus, utrum etiam bona cantare et bona saltare, addendum est; an non? *Cli.* Addendum. *Athen.* Quid porro? si quis honesta, ut sunt, ita honesta esse arbitratur, et turpia similiter turpia, atque ita his utitur, melius choream musicamque tenebit, quam ille qui corpore atque voce, quod honestum putat, suffi-

διανοηθὲν εἶναι καλὸν ἱκανῶς ὑπηρετεῖν δυνηθῇ ἑκάστοτε, χαίρῃ δὲ μὴ τοῖς καλοῖς μηδὲ μισῇ τὰ μὴ καλά; ἢ κεῖνος ὃς ἂν τῇ μὲν φωνῇ καὶ τῷ σώματι μὴ πάνυ δυνατὸς ᾖ κατορθοῦν ἢ διανοεῖσθαι, τῇ δὲ ἡδονῇ καὶ λύπῃ κατορθοῖ, τὰ μὲν ἀσπαζόμενος, ὅσα καλά, τὰ δὲ δυσχεραίνων, ὁπόσα μὴ καλά;

ΚΛ. Πολὺ τὸ διαφέρον, ὦ ξένε, λέγεις τῆς παιδείας.

ΑΘ. Οὐκοῦν εἰ μὲν τὸ καλὸν ᾠδῆς τε καὶ ὀρχήσεως περὶ γιγνώσκομεν τρεῖς ὄντες, ἴσμεν καὶ τὸν πεπαιδευμένον τε καὶ ἀπαίδευτον ὀρθῶς· εἰ δὲ ἀγνοοῦμέν γε τοῦτο, οὐδ' εἴτις παιδείας ἐξει φυλακὴ καὶ ὅπου διαγιγνώσκειν ἄν ποτε δυναίμεθα. ἆρ' οὐχ οὕτως;

ΚΛ. Οὕτω μὲν οὖν.

ΑΘ. Ταῦτ' ἄρα μετὰ τοῦθ' ἡμῖν αὖ, καθά περ κυσὶν ἰχνευούσαις, διερευνητέον, σχῆμά τε καλὸν καὶ μέλος καὶ ᾠδὴν καὶ ὄρχησιν. εἰ δὲ ταῦθ' ἡμᾶς διαφυγόντα οἰχήσεται, μ[illegible]αιος ὁ μετὰ ταῦθ' ἡμῖν περὶ παιδείας ὀρθῆς εἶθ' Ἑλληνικῆς εἴτε βαρβαρικῆς λόγος ἂν εἴη.

ΚΛ. Ναί.

ΑΘ. Εἶεν· τί δὲ δὴ τὸ καλὸν χρὴ φάναι σχῆμα ἢ μέλος εἶναί ποτε; φέρε, ἀνδρικῆς ψυχῆς ἐν πόνοις ἐρχομένης καὶ δειλῆς ἐν τοῖς αὐτοῖς τε καὶ ἴσοις ἆρ' ὅ- 655

cienter exsequi passim valet; nec honestis tamen gaudet, nec odit turpia? an ille, qui quamvis voce corporeque non potest, ut decet, assequi, voluptate tamen et dolore assequitur, ut bonis quidem gaudeat, prava autem oderit? *Cli.* Magnum vero disciplinae discrimen, o hospes, narras. *Athen.* Si ergo cantus tripudiique bonum nos tres non ignoramus, cognoscimus utique, et qui disciplina recte potitus est, et qui contra. sin autem hoc ignoramus, neque, si qua disciplinae conservatio est et ubi est, scire unquam poterimus. nonne ita? *Cli.* Ita prorsus. *Athen.* Deinceps igitur, sicuti canes per vestigia, decentem figuram, melodiam, cantum et saltationem investigemus. nam si ista nos fugiant, frustra de recta disciplina sive Graeca sive barbara disputabimus. *Cli.* Sic arbitror. *Athen.* Quam igitur figuram et melodiam bonam vocare decet? num fortis animi et timidi similes figurae vocesque in eis-

μοια τά τε σχήματα καὶ τὰ φθέγματα ξυμβαίνει γίγνεσθαι;

ΚΛ. Καὶ πῶς, ὅτε γε μηδὲ τὰ χρώματα;

ΑΘ. Καλῶς γε, ὦ ἑταῖρε, ἀλλ' ἐν γὰρ μουσικῇ καὶ σχήματα μὲν καὶ μέλη ἔνεστι, περὶ ῥυθμὸν καὶ ἁρμονίαν οὔσης τῆς μουσικῆς. ὥστε εὔρυθμον μὲν καὶ εὐάρμοστον, εὔχρων δὲ μέλος ἢ σχῆμα οὐκ ἔστιν, ἀπεικάσαντα ὡς περ οἱ χοροδιδάσκαλοι ἀπεικάζουσιν, ὀρθῶς φθέγγεσθαι· τὸ δὲ τοῦ δειλοῦ τε καὶ ἀνδρείου σχῆμα ἢ μέλος ἔξι τε καὶ ὀρθῶς προαγορεύειν ἔχει τὰ μὲν 16
τῶν ἀνδρείων καλά, τὰ δὲ τῶν δειλῶν αἰσχρά. καὶ ἵνα δὴ μὴ μακρολογία πολλή τις γίγνηται περὶ ταῦθ' ἡμῖν, ἅπαντά ἁπλῶς ἔξω τὰ μὲν ἀρετῆς ἐχόμενα ψυχῆς ἢ σώματος, εἴτε αὐτῆς εἴ τέ τινος εἰκόνος, ξύμπαντα σχήματά τε καὶ μέλη καλά, τὰ δὲ κακίας αὖ τοὐναντίον ἅπαν.

ΚΛ. Ὀρθῶς τε προκαλεῖ καὶ ταῦθ' ἡμῖν οὕτως ἔχειν ἀποκεκρίσθω τὰ νῦν.

ΑΘ. Ἔτι δὴ τόδε. πότερον ἅπαντες πάσαις χορείαις ὁμοίως χαίρομεν, ἢ πολλοῦ δεῖ. 2ℓ

ΚΛ. Τοῦ παντὸς μὲν οὖν.

ΑΘ. Τί ποτ' ἂν οὖν λέγωμεν τὸ πεπλανημένος ἡμᾶς εἶναι; πότερον οὐ ταὐτά ἐστι καλὰ ἡμῖν πᾶσιν,

dem aequisque laboribus sunt? *Cli.* Quomodo similes, quando neque colores? *Athen.* Scite, o amice. sed in musica et figurae sunt et concentus, cum circa rhythmum et harmoniam versetur. quare boni rhythmi harmoniaeque figuram et cantum licet dicere: boni autem coloris non possumus recte dicere, perinde imaginantes, ut magistri choreae solent. ignavi autem et fortis viri figura quaedam est et cantus: atque haec recte in viris fortibus honesta, in ignavis turpia nominantur. sed ne in his longior sim, omnes simpliciter virtuti animi vel corporis aut virtutis imagini adhaerentes figurae atque concentus honesti, contrarii vero turpes. *Cli.* Recte tu quidem: atque ista sic se habere, in praesentia iudicamus. *Athen.* Praeterea et hoc animadvertamus, utrum omnes omnibus choreis similiter delectemur, an multum intersit. *Cli.* Multum omnino. *Athen.* Quid igitur esse dicemus, quid in errorem nos impulit? utrum non eadem sunt honesta bonaque no-

ἢ τὰ μὲν αὐτά, ἀλλ' οὐ δοκεῖ ταὐτὰ εἶναι; οὐ γάρ που ἐρεῖ γέ τις ὡς ποτε τὰ τῆς κακίας ἢ ἀρετῆς καλλίονα χορεύματα, οὐδ' ὡς αὐτὸς μὲν χαίρει τοῖς τῆς μοχθηρίας σχήμασιν, οἱ δ' ἄλλοι ἐναντίᾳ ταύτης Μούσῃ τινί. καί τοι λέγουσί γε οἱ πλεῖστοι μουσικῆς ὀρθότητα εἶναι τὴν ἡδονὴν ταῖς ψυχαῖς πορίζουσαν δύναμιν. ἀλλὰ τοῦτο μὲν οὔτε ἀνεκτὸν οὔτε ὅσιον τὸ παράπαν φθέγγεσθαι· τόδε δὲ μᾶλλον εἰκὸς πλανᾶν ἡμᾶς.

ΚΛ. Τὸ ποῖον;

ΑΘ. Ἐπειδὴ μιμήματα τρόπων ἐστὶ τὰ περὶ τὰς χορείας, ἐν πράξεσί τε παντοδαπαῖς γιγνόμενα καὶ τύχαις καὶ ἤθεσι καὶ μιμήμασι διεξιόντων ἑκάστων, οἷς μὲν ἂν πρὸς τρόπου τὰ ῥηθέντα ἢ μελῳδηθέντα ἢ καὶ ὀπωσοῦν χορευθέντα ᾖ κατὰ φύσιν ἢ κατὰ ἔθος ἢ κατ' ἀμφότερα, τούτους μὲν καὶ τούτοις χαίρειν τε καὶ ἐπαινεῖν αὐτὰ καὶ προσαγορεύειν καλὰ ἀναγκαῖον, οἷς δ' ἂν παρὰ φύσιν ἢ τρόπον ἢ τινα ξυνήθειαν, οὔτε χαίρειν δυνατὸν οὔτε ἐπαινεῖν αἰσχρά τε προσαγορεύειν. οἷς δ' ἂν τὰ μὲν τῆς φύσεως ὀρθὰ ξυμβαίνῃ, τὰ δὲ τῆς συνηθείας ἐναντία, ἢ τὰ μὲν τῆς συνηθείας ὀρθά, τὰ δὲ τῆς φύσεως ἐναντία, οὗτοι δὲ ταῖς ἡδοναῖς τοὺς

bis omnibus? an ipsa quidem eadem sunt, non tamen eadem esse videntur? neque vero dicere quisquam audebit vitiosam choream virtutis participe meliorem esse. neque fatebitur unquam aliquis quidem figuris pravis laetari, alios autem contraria quadam Musa. quanquam plerique praedicant rectam musicae rationem in vi quadam consistere, quae voluptatem animis offerat. quod neque ferendum est neque dicendum omnino: nefas enim. haec autem potius erroris causa est. *Cli.* Quaenam? *Athen.* Quoniam in chorea variorum morum variarumque rerum variis in fortunis moribusque gestarum imitationes fiunt, quibus illa, quae dicuntur aut decantantur aut sub specie saltationis exprimuntur, vel natura vel consuetudine vel utrisque probantur, atque animo eorum conveniunt, hos gaudere illis laudareque et honesta mancipare necesse est. quibus autem praeter naturam vel morem consuetudinem aliquam, hi neque gaudere ipsis possunt neque ea laudare, immo turpia appellare necesse. at vero quibus haec natura recte contingunt, consuetudine autem contra, vel consuetudine quidem recte, contra vero natura, isti laudes voluptatibus contrarias proferunt. singula

ἐπαίνους ἐναντίους προσαγορεύουσιν· ἡδέα γὰρ τούτων
656 ἕκαστα εἶναί φασι, πονηρὰ δέ, καὶ ἐναντίον ἄλλων οὓς οἴονται φρονεῖν αἰσχύνονται μὲν κινεῖσθαι τῷ σώματι τὰ τοιαῦτα, αἰσχύνονται δὲ ᾄδειν ὡς ἀποφαινόμενοι καλὰ μετὰ σπουδῆς, χαίρουσι δὲ παρ' αὑτοῖς.

ΚΛ. Ὀρθότατα λέγεις.

ΑΘ. Μῶν οὖν τι βλάβην ἔσθ' ἥν τινα φέρει τῷ χαίροντι πονηρίας ἢ σχήμασιν ἢ μέλεσιν, ἤ τιν' ὠφέλειαν αὖ τοῖς πρὸς τἀναντία τὰς ἡδονὰς ἀποδεχομένοις;

ΚΛ. Εἰκός γε.

ΑΘ. Πότερον εἰκὸς ἢ καὶ ἀναγκαῖον ταὐτὸν εἶναι ὃ περ ὅταν τις πονηροῖς ἤθεσι ξυνὼν κακῶν ἀνθρώπων μὴ μισῇ, χαίρῃ δὲ ἀποδεχόμενος, ψέγῃ δὲ ὡς ἐν παιδιᾶς μοίρᾳ, ὀνειρώττων αὐτοῦ τὴν μοχθηρίαν; τότε ὁμοιοῦσθαι δή που ἀνάγκη τὸν χαίροντα, ὁποτέροις ἂν χαίρῃ, ἐὰν ἄρα καὶ ἐπαινεῖν αἰσχύνηται. καί τοι τοῦ τοιούτου τί μεῖζον ἀγαθὸν ἢ κακὸν φαῖμεν ἂν ἡμῖν ἐκ πάσης ἀνάγκης γίγνεσθαι;

ΚΛ. Δοκῶ μὲν οὐδέν.

ΑΘ. Ὅπου δὴ νόμοι καλῶς εἰσὶ κείμενοι ἢ καὶ εἰς τὸν ἔπειτα χρόνον ἔσονται, τὴν περὶ τὰς Μούσας παιδείαν τε καὶ παιδιὰν οἰόμεθα ἐξέσεσθαι τοῖς ποιη-

enim horum iucunda asserunt esse, sed et prava esse concedunt. atque iccirco coram aliis, quos mentis compotes putant, verentur corpus eo pacto movere, verentur quoque ea cantare, honestaque et studio digna asserere. ipsi vero secum iis omnibus delectantur. *Cli.* Verissima loqueris. *Athen.* Nunquid damnum aliquod infertur illi, qui pravis figuris aut cantibus delectantur? vel utilitas eis, qui voluptates in contrariis capiunt? *Cli.* Verisimile id quidem. *Athen.* Utrum verisimile tantum, an etiam necessarium sit, ita id se habere? sicuti cum quispiam cum hominibus improbis conflictatur, neque mores eorum odit, sed delectatur his potius et indulget; et tamen ioci loco vitnperat, quasi per somnum ipse in se eorum percipiens pravitatem. tunc quippe necesse est, ut similis efficiatur illis, quibus gaudet, etiamsi laudare vereatur. qua quidem re quidnam maius aut bonum aut malum ex omni necessitate accedere nobis existimemus? *Cli.* Nihil puto. *Athen.* Nunquid arbitramur, ubi leges bene constitutae sunt, aut et in posterum ita erunt, in disciplinis iocisque Musarum eam poëticis fore licen-

τικοῖς; ὅ τί περ ἂν αὐτὸν τὸν ποιητὴν ἐν τῇ ποιήσει τέρπῃ ῥυθμοῦ ἢ μέλους ἢ ῥήματος ἐχόμενον, τοῦτο διδάσκοντα καὶ τοὺς τῶν εὐνόμων παῖδας καὶ νέους ἐν τοῖς χοροῖς ὅ, τι ἂν τύχῃ ἀπεργάζεσθαι πρὸς ἀρετὴν ἢ μοχθηρίαν;

ΚΛ. Οὔ τοι δὴ τοῦτό γε λόγον ἔχει· πῶς γὰρ ἄν;

ΑΘ. Νῦν δέ γε αὐτὸ ὡς ἔπος εἰπεῖν ἐν πάσαις ταῖς πόλεσιν ἔξεσι δρᾶν, πλὴν κατ' Αἴγυπτον.

ΚΛ. Ἐν Αἰγύπτῳ δὲ δὴ πῶς τὸ τοιοῦτον φῂς νενομοθετῆσθαι;

ΑΘ. Θαῦμα καὶ ἀκοῦσαι. πάλαι γὰρ δή ποτε, ὡς ἔοικεν, ἐγνώσθη παρ' αὐτοῖς οὗτος ὁ λόγος ὃν τὰ νῦν λέγομεν ἡμεῖς, ὅτι καλὰ μὲν σχήματα, καλὰ δὲ μέλη δεῖ μεταχειρίζεσθαι ταῖς συνηθείαις τοὺς ἐν ταῖς πόλεσι νέους. ταξάμενοι δὲ ταῦτα ἄττα ἐξὶ καὶ ὁποῖ' ἄττα, ἀπέφηναν ἐν τοῖς ἱεροῖς, καὶ παρὰ ταῦτ' οὐκ ἐξῆν οὔτε ζωγράφοις οὔτ' ἄλλοις ὅσοι σχήματα καὶ ὁποῖ' ἄττα ἀπεργάζονται καινοτομεῖν οὐδ' ἐπινοεῖν ἄλλ' ἄττα ἢ τὰ πάτρια, οὐδὲ νῦν ἔξεσιν, οὔτ' ἐν τούτοις οὔτ' ἐν μουσικῇ ξυμπάσῃ. σκοπῶν δ' εὑρήσεις αὐτόθι τὰ μυριοσὸν ἔτος γεγραμμένα ἢ τετυπωμένα, οὐχ ὡς ἔπος εἰπεῖν μυριοσὸν ἀλλ' ὄντως, τῶν νῦν δεδημιουργημένων

tiam, ut, quicquid poëtam delectet vel rhythmo vel cantu vel verbo poëtico, idem et docere ei liceat, et bene institutorum civium pueros adolescentesque in choreis, quacunque contingit, vel ad virtutem vel ad vitium flectere? *Cli.* Praeter rationem id est. *Me.* Certe. *Athen.* Id modo, ut breviter dicam, ubique praeterquam in Aegypto agere licet. *Cli.* Quo autem pacto id in Aegypto hanc legem sancitum esse dicis? *Athen.* Mirum hoc quidem auditu est. nam id olim, mihi videtur, illi cognoverunt, oportere, quod nunc nos diximus, ut in civitate iuvenes bonis figuris et bonis cantibus assuescant. quae vero et qualia sint huiusmodi, in sacris ab eis est institutum: ac praeter illa neque pictoribus neque aliis figurarum vel quorumcunque artificiorum fabris nova ulla licebat inducere, neque etiam excogitare alia praeter patria; neque hodie licet, aut in universa musica. itaque si curiose rimeris, invenies ibi, quae iam decem annorum millibus depicta vel aliter figurata fuerunt; quasi non adeo vetera sint, ut ita dicam; nec pulchriora neque turpiora his, quae ho-

657 οὔ τέ τι καλλίονα οὔτ' αἴσχίω, τὴν αὐτὴν δὲ τέχνην ἀπειργασμένα.

ΚΛ. Θαυμαστὸν λέγεις.

ΑΘ. Νομοθετικὸν μὲν οὖν καὶ πολιτικὸν ὑπερβαλλόντως. ἀλλ' ἕτερα φαῦλ' ἂν εὕροις αὐτόθι· τοῦτο δ' οὖν τὸ περὶ μουσικὴν ἀληθές τε καὶ ἄξιον ἐννοίας, ὅτι δυνατὸν ἄρ' ἦν περὶ τῶν τοιούτων νομοθετεῖσθαι βεβαίως θαῤῥοῦντα μέλη τὰ τὴν ὀρθότητα φύσει παρεχόμενα. τοῦτο δὲ θεοῦ ἢ θείου τινὸς ἂν εἴη, καθάπερ ἐκεῖ φασὶ τὰ τὸν πολὺν τοῦτον σεσωσμένα χρόνον μέλη τῆς Ἴσιδος ποιήματα γεγονέναι. ὥςθ', ὃ περ ἔλεγον, εἰ δύναιτό τις ἕλξιν αὐτῶν καὶ ὁπωσοῦν τὴν ὀρθότητα, θαῤῥοῦντα χρὴ εἰς νόμον ἄγειν καὶ τάξιν αὐτά, ὡς ἡ τῆς ἡδονῆς καὶ λύπης ζήτησις τοῦ παντὸς ζητεῖν ἀεὶ μουσικῇ χρῆσθαι σχεδὸν οὐ μεγάλην τινὰ δύναμιν ἔχει πρὸς τὸ διαφθεῖραι τὴν καθιερωθεῖσαν χορείαν, ἐπικαλοῦσα ἀρχαιότητα. τὴν γοῦν ἐκεῖ οὐδαμῶς ἔοικε δυνατὴ γεγονέναι διαφθεῖραι, πᾶν δὲ τοὐναντίον.

ΚΛ. Φαίνεται οὕτως ἂν ταῦτα ἔχειν ἐκ τῶν ὑπὸ σοῦ τὰ νῦν λεχθέντων.

die depinguntur, eadem arte confecta. *Cli.* Mirabile auditu est, quod dicis. *Athen.* Immo civile nimium maximeque legum positioni conveniens. invenies ibi alia quaedam levia. sed hoc circa musicam verum est dignumque animadversione: quod videlicet poterat de rebus huiusmodi certa stabilique lege caveri, atque licebat adducere summa cum fiducia concentus tales, qui natura rectitudinem exhiberent. quod quidem aut Dei aut divini alicuius viri opus est: quemadmodum et ibi ferunt antiquissimos illos apud eos concentus Isidis esse poëmata. quamobrem, ut dicebam, si quis quoquo modo istorum possit rectitudinem intelligere, illum oportet bona cum spe haec ad ordinem legemque reducere. nam nova semper circa voluptatem et dolorem appetitus ipsius affectio, quae quidem tentat ut nova semper musica uti quaeramus, haud magnam fortasse vim habet ad eas choreas vetustatis incusatione corrumpendas, quae sunt sacris legibus institutae. nempe Aegyptiorum choreas nequaquam tanto tempore corrumpere potuisse videtur, sed contra omnino. *Cli.* Ita se res habet, ut ex tuis verbis colligitur. *Athen.* Dicamus igitur con-

ΑΘ. Ἆρ' οὖν θαῤῥοῦντες λέγωμεν τὴν τῇ μουσικῇ καὶ τῇ παιδιᾷ μετὰ χορείας χρείαν ὀρθὴν εἶναι τοιῷδέ τινι τρόπῳ; χαίρομεν ὅταν οἰώμεθα εὖ πράττειν, καὶ ὁπόταν χαίρωμεν, οἰόμεθα εὖ πράττειν αὖ; μῶν οὐχ οὕτως;

ΚΛ. Οὕτω μὲν οὖν.

ΑΘ. Καὶ μὴν ἔν γε τῷ τοιούτῳ χαίροντες ἡσυχίαν οὐ δυνάμεθα ἄγειν.

ΚΛ. Ἔστι ταῦτα.

ΑΘ. Ἆρ' οὖν οὐχ ἡμῶν οἱ μὲν νέοι αὐτοὶ χορεύειν ἕτοιμοι, τὸ δὲ τῶν πρεσβυτέρων ἡμῶν, ἐκείνους αὖ θεωροῦντες διάγειν ἡγούμεθα πρεπόντως, χαίροντες τῇ ἐκείνων παιδιᾷ τε καὶ ἑορτάσει, ἐπειδὴ τὸ παρ' ἡμῖν ἡμᾶς ἐλαφρὸν ἐκλείπει νῦν, ὃ ποθοῦντες καὶ ἀσπαζόμενοι τίθεμεν οὕτως ἀγῶνας τοῖς δυναμένοις ἡμᾶς ὅτι μάλιστα εἰς τὴν νεότητα μνήμην ἐπεγείρειν;

ΚΛ. Ἀληθέστατα.

ΑΘ. Μῶν οὖν οἰώμεθα καὶ κομιδῇ μάτην τὸν νῦν λεγόμενον λόγον περὶ τῶν ἑορταζόντων λέγειν τοὺς πολλούς, ὅτι τοῦτον δεῖ σοφώτατον ἡγεῖσθαι καὶ κρίνειν νικᾶν, ὃς ἂν ἡμᾶς εὐφραίνεσθαι καὶ χαίρειν ὅτι μάλιστα ἀπεργάζηται; δεῖ γὰρ δή, ἐπεί περ ἀφεί-

fidenter, usum ludorum musicaeque cum chorea hoc pacto rectum esse. laetamur, quotiens feliciter vivere nos opinamur: quotiensque laetamur, rursus feliciter vivere ducimus. nonne ita? *Cli.* Ita prorsus. *Athen.* Atque etiam dum ita laetamur, quiescere non valemus. *Cli.* Est, ut dicis. *Athen.* Nonne igitur, iuvenes nostris choreas celebrare parati sunt? nos autem seniores in his spectandis decenter versari putamus, dum eorum ludis et celebritate gaudemus: quandoquidem nos corporis levitas dereliquit, quam desiderantes certamina his imponimus, qui quam maxime queant ad iuventae nos memoriam revocare. *Cli.* Vera narras. *Athen.* An igitur frustra nimium illud a multis de celebratoribus dictum esse putamus? quod eum sapientissimum et victoriae compotem iudicare oporteat, qui nos laetari atque gaudere quam maxime faciat? nam postquam ludere in istis permit-

μεθά γε παίζειν ἐν τοῖς τοιούτοις, τὸν πλείστους καὶ μάλιστα χαίρειν ποιοῦντα, τοῦτον μάλιστα τιμᾶσθαί τε, καὶ ὅ περ εἶπον νῦν δή, τὰ νικητήρια φέρειν; ἆρ' οὐκ ὀρθῶς λέγεταί τε τοῦτο καὶ πράττοιτ' ἄν, εἰ ταύτῃ γίγνοιτο;

658 *ΚΛ.* Τάχ' ἄν.

ΑΘ. Ἀλλ', ὦ μακάριε, μὴ ταχὺ τὸ τοιοῦτον κρίνωμεν, ἀλλὰ διαιροῦντες αὐτὸ κατὰ μέρη σκοπώμεθα τοιῷδέ τινι τρόπῳ· τί ἄν, εἴ ποτέ τις οὕτως ἁπλῶς ἀγῶνα θείη ὁντινοῦν, μηδὲν ἀφορίσας μήτε γυμνικὸν μήτε μουσικὸν μήθ' ἱππικόν, ἀλλὰ πάντας συναγαγὼν τοὺς ἐν τῇ πόλει προείποι θεὶς νικητήρια τὸν βουλόμενον ἥκειν ἀγωνιούμενον ἡδονῆς πέρι μόνον, ὃς δ' ἂν τέρψῃ τοὺς θεατὰς μάλιστα, μηδὲν ἐπιταττόμενος ᾧ τινὶ τρόπῳ, νικήσῃ δὲ αὐτὸ τοῦτο ὅτι μάλιστα ἀπεργασάμενος καὶ κριθῇ τῶν ἀγωνισαμένων ἥδιστος γεγονέναι· τί ποτ' ἄν ἡγούμεθα ἐκ ταύτης τῆς προρρήσεως ξυμβαίνειν;

ΚΛ. Τοῦ πέρι λέγεις;

ΑΘ. Εἰκός που τὸν μέν τινα ἐπιδεικνύναι, καθά περ Ὅμηρος, ῥαψῳδίαν, ἄλλον δὲ κιθαρῳδίαν, τὸν δέ τινα τραγῳδίαν, τὸν δ' αὖ κωμῳδίαν. οὐ θαυμαστὸν δὲ εἴ τις καὶ θαύματα ἐπιδεικνὺς μάλις' ἂν νικᾷν

titur, conveniens esse videtur, ut eum, qui quam plurimos et quam maxime ad gaudium provocet, praecipue honoremus: et ut modo dicebam victorem esse dicamus. rectene id ita dicitur? recteque fieret, si ita fieret? *Cli.* Forte. *Athen.* Sed, o beate, ne adeo citam feramus sententiam, sed hoc ipsum in partes distinguentes hoc modo consideremus. si quis ad certamen plurimos concitet, nec gymnicum aut musicum aut equestre determinet, sed omnibus civibus congregatis voluptatis gratia certamen dumtaxat instituat, praemiaque ei proponat, qui spectatores maxime delectabit iudicatusque fuerit id optimeque omnium effecisse, cum nullus delectandi modus expressus sit: quidnam ex praeconio eventurum putamus? *Cli.* Qua de re dicis? *Athen.* Par est, ut alius, sicut Homerus, rhapsodiam ostendat, alius citharoediam, tragoediam alius, alius vero comoediam. neque deerit, qui miraculo ostendendo victoriam se opinetur consecuturum. cum

ἦγοῖτο, τούτων δὴ τοιούτων καὶ ἑτέρων ἀγωνιζῶν μυρίων ἐλθόντων ἔχομεν εἰπεῖν τίς ἂν νικῷ δικαίως;

ΚΛ. Ἄτοπον ἦρου· τίς γὰρ ἂν ἀποκρίνοιτό σοι τοῦτο, ὡς γνοὺς ἄν ποτε πρὶν ἀκοῦσαί τε καὶ τῶν ἀθλητῶν ἑκάτερον αὐτήκοος αὐτὸς γενέσθαι;

ΑΘ. Τί οὖν δή; βούλεσθε ἐγὼ σφῷν τὴν ἄτοπον ταύτην ἀπόκρισιν ἀποκρίνωμαι;

ΚΛ. Τί μήν;

ΑΘ. Εἰ μὲν τοίνυν τὰ πάνυ σμικρὰ κρίνοι παιδία, κρινοῦσι τὸν τὰ θαύματα ἐπιδεικνύντα. ἦ γάρ;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Ἐὰν δέ γ' οἱ μείζους παῖδες, τὸν τὰς κωμῳδίας· τραγῳδίαν δὲ αἵ τε πεπαιδευμέναι τῶν γυναικῶν καὶ τὰ νέα μειράκια καὶ σχεδὸν ἴσως τὸ πλῆθος πάντων.

ΚΛ. Ἴσως δῆτα.

ΑΘ. Ῥαψῳδὸν δέ, καλῶς Ἰλιάδα καὶ Ὀδύσσειαν ἤ τι τῶν Ἡσιοδείων διατιθέντα, τάχ' ἂν ἡμεῖς οἱ γέροντες ἥδιστα ἀκούσαντες νικᾶν ἂν φαῖμεν πάμπολυ. τίς οὖν ὀρθῶς ἂν νενικηκὼς εἴη; τοῦτο μετὰ τοῦτο; ἦ γάρ;

ΚΛ. Ναί.

ΑΘ. Δῆλον ὡς ἔμοιγε καὶ ὑμῖν ἀναγκαῖόν ἐστι

tales et alii generis eiusdem certatores multi confluxerint, possumusne dicere, quis non iniuria victor evadet? *Cli.* Absurdum quod petis. quis enim scite ad id respondere poterit, priusquam ipse ibi praesens singulos certatores audiverit? *Athen.* Vultisne igitur, ut ipse ad absurdum istud respondeam? *Cli.* Quidni? *Athen.* Si pueri admodum parvi sententiam dicant, eum qui miracula ostentet vicisse alios iudicabunt. an non? *Cli.* Quid obstat? *Athen.* Pueri vero mainsculi comoedum ceteris anteponent. sed mulieres eruditae atque adolescentuli et ferme omnium multitudo tragoediam fortasse laudabunt. *Cli.* Fortassis ita continget. *Athen.* Seniores autem nos iucundissime rhapsodum forsitan audiemus, qui Homericum aliquid, Iliada vel Odysseam. aut aliquid Hesiodicum bene cecinerit: victoremque omnium praedicabimus. quis ergo iure victor sit, declarandum nonne restat? *Cli.* Sane. *Athen.* Perspicuum quidem est, ut et mihi videtur

φάναι τοὺς ὑπὸ τῶν ἡμετέρων ἡλικιωτῶν κριθέντας ὀρθῶς ἂν νικᾶν. τὸ γὰρ ἔθος ἡμῖν τῶν νῦν δὴ πάμπολυ δοκεῖ τῶν ἐν ταῖς πόλεσιν ἁπάσαις καὶ πανταχοῦ βέλτιζον γίγνεσθαι.

ΚΛ. Τί μήν;

ΑΘ. Συγχωρῶ δὴ τό γε τοσοῦτον καὶ ἐγὼ τοῖς πολλοῖς, δεῖν τὴν μουσικὴν ἡδονῇ κρίνεσθαι, μὴ μέντοι τῶν γε ἐπιτυχόντων, ἀλλὰ σχεδὸν ἐκείνην εἶναι Μοῦσαν καλλίζην ἥ τις τοὺς βελτίζους καὶ ἱκανῶς πεπαιδευμένους τέρπει, μάλιζα δὲ ἥ τις ἕνα τὸν ἀρετῇ 10
659 τε καὶ παιδείᾳ διαφέροντα. διὰ ταῦτα δὲ ἀρετῆς φαμὲν δεῖσθαι τοὺς τούτων κριτάς, ὅτι τῆς τε ἄλλης μετόχους αὐτοὺς εἶναι δεῖ φρονήσεως καὶ δὴ καὶ τῆς ἀνδρίας. οὔτε γὰρ παρὰ θεάτρου δεῖ τόν γε ἀληθῆ κριτὴν κρίνειν μανθάνοντα καὶ ἐκπληττόμενον ὑπὸ θορύβου τῶν πολλῶν καὶ τῆς αὐτοῦ ἀπαιδευσίας, οὔτ' αὖ γιγνώσκοντα δι' ἀνανδρίαν καὶ δειλίαν ἐκ ταὐτοῦ ζώματος οὗ περ τοὺς θεοὺς ἐπεκαλέσατο μέλλων κρίνειν, ἐκ τούτου ψευδόμενον ἀποφαίνεσθαι ῥᾳθύμως τὴν κρίσιν· οὐ γὰρ μαθητὴς ἀλλὰ διδάσκαλος, ὡς γε τὸ 2
δίκαιον, θεατῶν μᾶλλον ὁ κριτὴς καθίζει, καὶ ἐναντιωσόμενος τοῖς τὴν ἡδονὴν μὴ προσηκόντως μηδὲ ὀρ-

et vos necessario concedetis, eum revera esse victorem, qui vicissè a nostris aequalibus iudicabitur. usus enim rerum, quem ab aetate habemus, omnium quidem civilium magnum quiddam ubique est et optimum. *Cli.* Procul dubio. *Athen.* Concedo igitur ipse hoc multis, voluptate musicam iudicandam; non tamen quorumvis hominum voluptate: sed illam ferme Musam esse dico pulcherrimam, quae optimos satisque eruditos delectet, praecipue vero, quae virum virtute et disciplina praestantem. quapropter virtute egere harum rerum iudices affirmamus. nam et prudentiae eos et fortitudinis oportet esse participes, prudentiae quidem, quia non debet verus iudex, quae determinanda iudicio sunt, ab alio discere, et quasi stupefactus tam clamore multorum quam ignorantia sua ita ferre sententiam: fortitudinis autem, quia nec etiamsi per se ipsum intelligit, debet propter ignaviam et formidinem ex eodem ore, quo iudicaturus Deos invocavit, desidiose iniquum iudicium promulgare. non enim ut discipulus, sed ut magister spectatorum, sicut par est, iudex sedet pro tribunali, ineptis spectantium voluptatibus adversaturus.

θῶς ἀποδιδοῦσι θεαταῖς. ἐξῆν γὰρ δὴ τῷ παλαιῷ τε καὶ Ἑλληνικῷ νόμῳ, καθά περ ὁ Σικελικός τε καὶ Ἰταλικὸς νόμος νῦν τῷ πλήθει τῶν θεατῶν ἐπιτρέπων καὶ τὸν νικῶντα διακρίνων χειροτονίαις διέφθαρκε μὲν τοὺς ποιητὰς αὐτούς — πρὸς γὰρ τὴν τῶν κριτῶν ἡδονὴν ποιοῦσιν οὖσαν φαύλην, ὥστε αὐτοὶ αὑτοὺς οἱ θεαταὶ παιδεύουσι —, διέφθαρκε δ' αὐτοῦ τοῦ θεάτρου τὰς ἡδονάς· δέον γὰρ αὐτοὺς ἀεὶ βελτίω τῶν αὑτῶν ἠθῶν ἀκούοντας βελτίω τὴν ἡδονὴν ἴσχειν, νῦν αὐτοῖς δρῶσι πᾶν τοὐναντίον ξυμβαίνει. τί ποτ' οὖν ἡμῖν τὰ νῦν αὖ διαπερανθέντα τῷ λόγῳ σημαίνειν βούλεται; σκοπεῖσθ' εἰ τόδε.

ΚΛ. Τὸ ποῖον;

ΑΘ. Δοκεῖ μοι τρίτον ἢ τέταρτον ὁ λόγος εἰς ταὐτὸν περιφερόμενος ἥκειν, ὡς ἄρα παιδεία μέν ἐσθ' ἡ παίδων ὁλκή τε καὶ ἀγωγὴ πρὸς τὸν ὑπὸ τοῦ νόμου λόγον ὀρθὸν εἰρημένον καὶ τοῖς ἐπιεικεστάτοις καὶ πρεσβυτάτοις δι' ἐμπειρίαν ξυνδεδογμένον ὡς ὄντως ὀρθός ἐστιν· ἵν' οὖν ἡ ψυχὴ τοῦ παιδὸς μὴ ἐναντία χαίρειν καὶ λυπεῖσθαι ἐθίζηται τῷ νόμῳ καὶ τοῖς ὑπὸ τοῦ νόμου πεπεισμένοις, ἀλλὰ ξυνέπηται χαίρουσά τε καὶ λυπουμένη τοῖς αὐτοῖς τούτοις οἷς περ ὁ γέ-

licebat prisca Graecaque lege, quemadmodum nunc Sicula et Italica: quae multitudini spectatorum rem permittens, et manibus tensis victorem declarans, depravavit quidem poëtas ipsos, qui ad iudicum vulgarium pravam voluptatem componunt omnia, ita ut ipsi spectatores poëtas et se ipsos erudiant. corrupit et ipsius spectaculi voluptates. nam cum eos oporteat, qui intersunt, meliora semper moribus suis audire, atque ita meliorem consequi voluptatem, nunc eis ex theatro contrarium accidit. quid igitur haec ita dicta sibi volunt? animadvertite, num hoc sit, quod volunt. *Cli.* Quidnam? *Athen.* Ter iam aut quater ad idem circumvoluta oratio mihi videtur, disciplinam educationem esse puerorum, quae ad eam vivendi rationem perducit, quam lex rectam esse dictat, et viri aequitate praestantes senioresque usu rerum sicuti rectam vere comprobarunt. ut igitur puerorum animus legem ita sequatur, ut non contrariis, sed iis, quibus lex et senior, doleat atque gaudeat, probus legum conditor suadebit: et, si opus fuerit, coget poëticum hominem honestis in verbis temperatorum et fortium et omnino bonorum hominum gesta de-

ρων, τούτων ἕνεκα, ἃς ᾠδὰς καλοῦμεν, ὄντως μὲν ἐπῳδαὶ ταῖς ψυχαῖς αὗται νῦν γεγονέναι, πρὸς τὴν τοιαύτην ἣν λέγομεν συμφωνίαν ἐσπουδασμέναι, διὰ δὲ τὸ σπουδὴν μὴ δύνασθαι φέρειν τὰς τῶν νέων ψυχὰς παιδιαί τε καὶ ᾠδαὶ καλεῖσθαι καὶ πράττεσθαι, καθά περ τοῖς κάμνουσί τε καὶ ἀσθενῶς ἔσχουσι τὰ σώματα ἐν ἡδέσι τισὶ σιτίοις καὶ πώμασι τὴν χρηστὴν πειρῶνται τροφὴν προσφέρειν οἷς μέλει τούτων, τὴν
660 δὲ τῶν πονηρῶν ἐν ἀηδέσιν, ἵνα τὴν μὲν ἀσπάζωνται, τὴν δὲ μισεῖν ὀρθῶς ἐθίζωνται. ταὐτὸν δὴ καὶ τὸν 10
ποιητικὸν ὁ ὀρθὸς νομοθέτης ἐν τοῖς καλοῖς ῥήμασι καὶ ἐπαινετοῖς πείσει τε, καὶ ἀναγκάσει μὴ πείθων, τὰ τῶν σωφρόνων τε καὶ ἀνδρείων καὶ πάντως ἀγαθῶν ἀνδρῶν ἔν τε ῥυθμοῖς σχήματα καὶ ἐν ἁρμονίαισι μέλη ποιοῦντα ὀρθῶς ποιεῖν.

ΚΛ. Νῦν οὖν οὕτω δοκοῦσί σοι πρὸς Διός, ὦ ξένε, ἐν ταῖς ἄλλαις πόλεσι ποιεῖν; ἐγὼ μὲν γὰρ καθ' ὅσον αἰσθάνομαι, πλὴν παρ' ἡμῖν ἢ παρὰ Λακεδαιμονίοις, ἃ σὺ νῦν λέγεις, οὐκ οἶδα πραττόμενα, καινὰ δὲ ἄττα ἀεὶ γιγνόμενα περί τε τὰς ὀρχήσεις καὶ 2
περὶ τὴν ἄλλην μουσικὴν ξύμπασαν, οὐχ ὑπὸ νόμων μεταβαλλόμενα ἀλλ' ὑπό τινων ἀτάκτων ἡδονῶν, πολλοῦ δεουσῶν τῶν αὐτῶν εἶναι καὶ κατὰ ταὐτά, ἅς

scribere, tam figuras eorum in rhythmis, quam accentus in harmoniis ut decet effingentem per eos cantus, quas odas vocamus, quae revera epodae, id est, incantationes, circa animos sunt, de industria ad id compositae, ut hominum animi in dolendo et gaudendo legibus obsequantur. quia vero teneriores animi seria studia non suscipiunt, ioci et cantus ista dicantur et fiant: idemque in his efficitur, quod agere solent, qui homines corpore aegrotantes curant. hi namque alimenta convenienta quidem iucundis condimentis illiniunt: noxia vero amaris inficiunt; ut ascisceré altera, altera reiicere consuescant. *Cli.* An igitur in aliis civitatibus nunc, hospes, servari haec censes? nam quantum ego scio, quae tu praecipis, nusquam nisi apud nos et Lacedaemonios fiunt. nova enim semper et in saltationibus et in alia musica excogitantur, non a legibus mutata, sed a voluptatibus quibusdam vagis: quae nullo pacto aut eaedem sunt aut eodem modo

σὺ καὶ Αἴγυπτον ἀφερμηνεύεις, ἀλλ' οὐδέποτε τῶν αὐτῶν.

ΑΘ. Ἀρισά γε, ὦ Κλεινία. εἰ δ' ἔδοξά σοι ἃ σὺ λέγεις λέγειν ὡς νῦν γιγνόμενα, οὐκ ἂν θαυμάζοιμι εἰ μὴ σαφῶς λέγων ἃ διανοοῦμαι τοῦτο ἐποίησα καὶ ἔπαθον. ἀλλ' ἃ βούλομαι γίγνεσθαι περὶ μουσικήν, τοιαῦτ' ἄττα εἶπον ἴσως, ὥστε σοὶ δόξαι ταῦτα ἐμὲ λέγειν. λοιδορεῖν γὰρ πράγματα ἀνίατα καὶ πόρρω προβεβηκότα ἁμαρτίας οὐδαμῶς ἡδύ, ἀναγκαῖον δ' ἐνίοτ' ἐξίν. ἐπειδὴ δὲ ταῦτα ξυνδοκεῖ καὶ σοί, φέρε φῂς παρ' ὑμῖν καὶ τοῖσδε μᾶλλον ἢ παρὰ τοῖς ἄλλοις Ἕλλησι γίγνεσθαι τὰ τοιαῦτα;

ΚΛ. Τί μήν;

ΑΘ. Τί δ' εἰ παρὰ τοῖς ἄλλοις γίγνοιθ' οὕτω, πότερον αὐτὰ καλλιόνως οὕτως εἶναι φαῖμεν ἂν ἢ καθά περ νῦν γίγνεται γιγνόμενα;

ΚΛ. Πολύ που τὸ διαφέρον, εἰ καθά περ παρά τε τοῖσδε καὶ παρ' ἡμῖν, καὶ ἔτι καθά περ εἶπες σὺ νὺν δὴ δεῖν εἶναι, γίγνοιτο.

ΑΘ. Φέρε δὴ ξυνομολογησώμεθα τὰ νῦν. ἄλλο τι παρ' ὑμῖν ἐν πάσῃ παιδείᾳ καὶ μουσικῇ τὰ λεγόμενά ἐστι τάδε; τοὺς ποιητὰς ἀναγκάζετε λέγειν ὡς ὁ μὲν ἀγαθὸς ἀνὴρ σώφρων ὢν καὶ δίκαιος εὐδαίμων ἐστὶ καὶ μα-

permanent: sed variae semper fiunt, contra mores illos Aegyptiorum, quos narrasti. *Athen.* Probe, o Clinia. si autem visus sum tibi, quae modo dicis, quasi ubique nunc fiant, supra dixisse, non mirarer, si minus clare, quae sentio, exposuerim: dixi equidem, quae in musica fieri vellem: et ea tibi, quasi fiant, dicere visus sum. vituperare enim rem insanabilem et errore longe provectam nullo modo iucundum, interdum vero necessarium est. verum postquam in his consentimus, nonne quaeso apud vos et apud istos haec magis quam apud alios Graecos fieri asseris? *Cli.* Cur non asseramus? *Athen.* Si et apud ceteros similiter fierent, nonne melius quam nunc agerentur? *Cli.* Multo certe praestantius, si ita disposita essent, quemadmodum apud istos et apud nos, et ut paulo ante tu praecepisti, *Athen.* Age, videamus, nunquid haec sint, quae apud vos in omni disciplina et musica praedicantur. poëtas carminibus dicere cogitis bonum virum, quia temperatus iustusque sit, felicem esse atque beatum,

κάριος, ἐάν τε μέγας καὶ ἰσχυρὸς ἐάν τε σμικρὸς κἀ-
ἀσθενὴς ᾖ, καὶ ἐὰν πλουτῇ καὶ μή· ἐὰν δὲ ἄρα πλουτῇ
μὲν Κινύρα τε καὶ Μίδα μᾶλλον, ᾖ δὲ ἄδικος, ἄθλιός
τ' ἐξὶ καὶ ἀνιαρῶς ζῇ. καὶ Οὔτ' ἂν μνησαίμην, φησὶν
ὑμῖν ὁ ποιητής, εἴ περ ὀρθῶς λέγει, οὔτ' ἐν λόγῳ ἄν-
δρα τιθείμην ὃς μὴ πάντα τὰ λεγόμενα καλὰ μετὰ
δικαιοσύνης πράττοι καὶ κτῷτο, καὶ δὴ καὶ θεῖων τοι-
661 οῦτος ὢν ὀρέγοιτο ἐγγύθεν ἰξάμενος, ἄδικος δὲ ὢν
μήτε τολμῷ ὁρῶν φόνον αἱματόεντα μήτε νικῷ θέων
Θρηΐκιον Βορέην, μήτε ἄλλο αὐτῷ μηδὲν τῶν λεγο- 11
μένων ἀγαθῶν γίγνοιτό ποτε· τὰ γὰρ ὑπὸ τῶν πολλῶν
λεγόμενα ἀγαθὰ οὐκ ὀρθῶς λέγεται. λέγεται γὰρ ὡς
ἄριστον μὲν ὑγιαίνειν, δεύτερον δὲ κάλλος, τρίτον δὲ
ἰσχύς, τέταρτον δὲ πλοῦτος. μυρία δὲ ἄλλα ἀγαθὰ λέ-
γεται· καὶ γὰρ ὀξὺ ὁρᾶν καὶ ἀκούειν καὶ πάντα ὅσα
ἔχεται τῶν αἰσθήσεων εὐαισθήτως ἔχειν, ἔτι δὲ καὶ τὸ
ποιεῖν τυραννοῦντα ὅ τι ἂν ἐπιθυμῇ, καὶ τὸ δὴ τέλος
ἁπάσης μακαριότητος εἶναι τὸ πάντα ταῦτα κεκτημέ-
νον ἀθάνατον εἶναι γενόμενον ὅτι τάχιστα. ὑμεῖς δὲ καὶ
ἐγώ που τάδε λέγομεν, ὡς ταῦτά ἐξι ξύμπαντα δικαί- 2
οις μὲν καὶ ὁσίοις ἀνδράσιν ἄριστα κτήματα, ἀδίκοις δὲ

sive magnus atque robustus sive parvus ac debilis: sive pauper sit seu dives: iniustum autem hominem, etiamsi ditior sit quam Cinyras aut Midas, miserum esse et in moerore vitam ducere. itaque poëta nobis, si recte loquatur, inquiet: nunquam ego de illo mentionem faciam, neque virum appellabo, qui non omnia quae bona dicuntur, cum iustitia possideat atque disponat. is igitur iustitia exornatus cominus pugnare cum hostibus delectetur. iniustus autem sanguinolentam caedem videre non audeat, neque currendo Thraicium queat Boream superare: nec ei quicquam eorum, quae bona dicuntur, unquam affuerit. quae enim vulgo appellantur bona, non recte bona dicuntur. aiunt nempe optimum esse sanitatem: ei proximum bonum formam: vires tertium: quartum vero divitias. innumerabilia ferme cetera huiusmodi bona narrantur. nam et acute cernere atque audire aliisque sensibus integre uti bona videntur, et ad haec omnia posse tyrannica licentia facere, quaecunque cupias. summamque totius beatitudinis esse ferunt, si cum istorum omnium possessione fueris quam citissime immortalis. ego autem ac vos una convenimus; iustis sanctisque viris optimam esse istorum omnium possessionem: iniustis autem om-

πάκιστα ξύμπαντα, ἀρξάμενα ἀπὸ τῆς ὑγιείας. καὶ δὴ καὶ τὸ ὁρᾶν καὶ τὸ ἀκούειν καὶ αἰσθάνεσθαι καὶ τὸ παράπαν ζῆν μέγιστον μὲν κακὸν τὸν ξύμπαντα χρόνον ἀθάνατον ὄντα καὶ πεκτημένον πάντα τὰ λεγόμενα ἀγαθὰ πλὴν δικαιοσύνης τε καὶ ἀρετῆς ἁπάσης, ἔλαττον δέ, ἂν ὡς ὀλίγιστον ὁ τοιοῦτος χρόνον ἐπιζῴη. ταῦτα δὴ λέγειν οἶμαι τοὺς παρ' ὑμῖν ποιητάς, ἃ περ ἐγώ, πείσετε καὶ ἀναγκάσετε, καὶ ἔτι τούτοις ἑπομένους ῥυθμούς τε καὶ ἁρμονίας ἀποδιδόντας παιδεύειν οὕτω τοὺς νέους ὑμῶν. ἦ γάρ; ὁρᾶτε. ἐγὼ μὲν γὰρ λέγω σαφῶς τὰ μὲν κακὰ λεγόμενα ἀγαθὰ τοῖς ἀδίκοις εἶναι, τοῖς δὲ δικαίοις κακά, τὰ δ' ἀγαθὰ τοῖς μὲν ἀγαθοῖς ὄντως ἀγαθά, τοῖς δὲ κακοῖς κακά. ὅ περ οὖν ἠρόμην, ἆρα ξυμφωνοῦμεν ἐγώ τε καὶ ὑμεῖς, ἢ πῶς;

ΚΛ. Τὰ μὲν ἔμοιγε φαινόμεθά πως, τὰ δ' οὐδαμῶς.

ΑΘ. Ἆρ' οὖν ὑγιειάν τε κεκτημένον καὶ πλοῦτον καὶ τυραννίδα διὰ τέλους, καὶ ἔτι προστίθημι ὑμῖν ἰσχὺν διαφέρουσαν καὶ ἀνδρίαν μετ' ἀθανασίας, καὶ μηδὲν ἄλλο αὐτῷ τῶν λεγομένων κακῶν εἶναι γιγνόμενον, ἀδικίαν δὲ καὶ ὕβριν ἔχοντα ἐν αὐτῷ μόνον —, τὸν οὕτω ζῶντα ἴσως ὑμᾶς οὐ πείθω μὴ οὐκ ἄρα εὐδαίμονα ἀλλ' ἄθλιον γίγνεσθαι σαφῶς;

nium pessimam, ab ipsa sanitate incipientium. sanum namque esse, et videre atque audire ac omnia facile sentire, et omnino vivere vel immortalem pessimum est, si cum horum omnium possessione semper vixeris expers iustitiae ceterarumque virtutum. minus autem malum, si quam brevissimo tempore sic affectus vitam finieris. haec utique et ipsi vestros invitabitis et cogetis poëtas dicere, perque his consentaneos numeros et concentus adolescentiam erudire. num ipsi hoc animadvertitis? ego enim assero, quae vulgo mala dicuntur, iniustis bona esse, iustis autem mala, quae vero dicuntur bona, bonis quidem vere bona, malis autem mala. convenimusne igitur adhuc, an non? *Cli.* Partim quidem consentire videmus, partim minime. *Athen.* Forte vobis non persuadeo non esse beatum illum sed miserum, qui iniustus et contumeliosus est, etiamsi sanitatem habeat et divitias perpetuamque tyrannidem, invictas praeterea corporis vires et animositatem immortalitatemque possideat, nihilque ex his perpetiatur, quae vulgo

ΚΛ. Ἀληθέστατα λέγεις.

ΑΘ. Εἶεν· τί οὖν τὸ μετὰ τοῦτ' εἰπεῖν ἡμᾶς χρεών; ἀνδρεῖος γὰρ δὴ καὶ ἰσχυρὸς καὶ καλὸς καὶ πλούσιος, καὶ ποιῶν ὅ τί περ ἐπιθυμοῖ τὸν βίον
662 ἅπαντα, οὐχ ὑμῖν δοκεῖ, εἴ περ ἄδικος εἴη καὶ ὑβριστής, ἐξ ἀνάγκης αἰσχρῶς ἂν ζῆν; ἢ τοῦτο μὲν ἴσως ἂν συγχωρήσαιτε, τό γε αἰσχρῶς;

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Τί δέ; τὸ καὶ κακῶς;

ΚΛ. Οὐκ ἄν ἔτι τοῦθ' ὁμοίως.

ΑΘ. Τί δέ; τὸ καὶ ἀηδῶς καὶ μὴ ξυμφερόντως αὐτῷ;

ΚΛ. Καὶ πῶς ἂν ταῦτά γ' ἔτι ξυγχωροῖμεν;

ΑΘ. Ὅπως; εἰ θεὸς ἡμῖν, ὡς ἔοικεν, ὦ φίλοι, δοίη τις συμφωνίαν, ὡς νῦν γε σχεδὸν ἀπᾴδομεν ἀπ' ἀλλήλων. ἐμοὶ γὰρ δὴ φαίνεται ταῦτα οὕτως ἀναγκαῖα, ὡς οὐδέ, ὦ φίλε Κλεινία, Κρήτῃ νῆσος σαφῶς· καὶ νομοθέτης ὢν ταύτῃ πειρώμην ἂν τούς τε ποιητὰς ἀναγκάζειν φθέγγεσθαι καὶ πάντας τοὺς ἐν τῇ πόλει, ζημίαν τε ὀλίγου μείζην ἐπιτιθείην ἄν, εἴ τις
e ἐν τῇ χώρᾳ φθέγξαιτο ὡς εἰσί τινες ἄνθρωποι ποτε πονηροὶ μέν, ἡδέως δὲ ζῶντες, ἢ λυσιτελοῦντα μὲν ἄλλα ἐστὶ καὶ κερδαλέα, δικαιότερα δὲ ἄλλα. καὶ πολλὰ

mala dicuntur. *Cli.* Vera loqueris. *Athen.* Esto. sed quid deinde dicendum? et si viribus pollet formosusque est et dives, cunctaque per omnem vitiam facit quae concupiscit, nonne vobis videtur, si iniustus contumeliosusque sit, ex hoc dumtaxat necessario turpiter vivere? an turpiter quidem conceditis? *Cli.* Prorsus. *Athen.* Quid autem, nonne et male? *Cli.* Haud similiter istud. *Athen.* Iniucunde vero atque incommode sibi non conceditis? *Cli.* Quo pacto haec concedemus? *Athen.* Utinam Deus quispiam, o amici, consensum nobis animi tribuat, fere namque inter nos dissentimus. mihi enim ista magis necessaria videntur esse, o amice Clinia, quam Cretam esse insulam. ac si Cretensibus ipse leges conderem, tam poëtas quam ceteros omnes cives sic loqui compellerem, ac poenam paene omnium maximam intentarem, si quis ea in regione assereret esse aliquos quandoque homines pravos, qui iucunde vivant; vel alia esse utilia et conducentia, alia iustiora

ἆττ' ἂν παρὰ τὰ νῦν λεγόμενα ὑπό τε Κρητῶν καὶ Λακεδαιμονίων, ὡς ἔοικε, καὶ δή που καὶ τῶν ἄλλων ἀνθρώπων διάφορα πείθοιμ' ἂν τοὺς πολίτας μοι φθέγγεσθαι. φέρε γάρ, ὦ πρὸς Διός τε καὶ Ἀπόλλωνος, ὦ ἄριστοι τῶν ἀνδρῶν, εἰ τοὺς νομιθετήσοντας ὑμῖν αὐτοὺς τούτους ἐροίμεθα θεούς, ἆρα ὁ δικαιότατός ἐστι βίος ἥδιστος, ἢ δύ' ἐστόν τινε βίω, οἷν ὁ μὲν ἥδιστος ὢν τυγχάνει, δικαιότατος δ' ἕτερος; εἰ δὴ δύο φαῖεν, ἐροίμεθ' ἂν ἴσως αὐτοὺς πάλιν, εἴ περ ὀρθῶς ἐπανερωτῷμεν, ποτέρους δ' εὐδαιμονεξέρους χρὴ λέγειν, τοὺς τὸν δικαιότατον ἢ τοὺς τὸν ἥδιστον διαβιοῦντας βίον; εἰ μὲν δὴ τοὺς φαῖεν τὸν ἥδιστον, ἄτοπος αὐτῶν ὁ λόγος ἂν γίγνοιτο. βούλομαι δέ μοι μὴ ἐπὶ θεῶν λέγεσθαι τὸ τοιοῦτον, ἀλλ' ἐπὶ πατέρων καὶ νομοθετῶν μᾶλλον, καί μοι τὰ ἔμπροσθεν ἠρωτημένα πατέρα τε καὶ νομοθέτην ἠρωτήσθω, ὁ δ' εἰπέτω ὡς ὁ ζῶν τὸν ἥδιστον βίον ἐξὶ μακαριώτατος. εἶτα μετὰ ταῦτα ἔγωγ' ἂν φαίην Ὦ πάτερ, οὐχ ὡς εὐδαιμονέξατά με ἐβούλου ζῆν; ἀλλ' ἀεὶ διακελευόμενος οὐδὲν ἐπαύου ζῆν με ὡς δικαιότατα. ταύτῃ μὲν οὖν ὁ τιθέμενος εἴτε νομοθέτης εἴτε καὶ πατὴρ ἄτοπος ἄν, οἶμαι, καὶ ἄπορος φαίνοιτο τοῦ ξυμφωνούντως ἑαυτῷ λέγειν. εἰ δ' αὖ τὸν δικαιότατον

multaque equidem contra ea, quae nunc a Cretensibus et Lacedaemoniis dici videntur, immo vero a ceteris quoque hominibus, dicere civibus meis persuaderem. agite igitur per Iovem atque Apollinem, optimi viri, si hos ipsos Deos, qui leges vobis dederunt, interrogemus, sitne iucundissima vita iniustissima; an duae quaedam vitae sint, altera iucundissima, iustissima altera, nobisque ita quaerentibus ipsi duas esse respondeant, ab eis forsan iterum percontabimur, si recte sciscitari voluerimus, utros beatiores oporteat dicere, iustissime an iucundissime viventes: ac si iucundissime viventes responderint, turpis erit responsio. vellem autem, de patribus legumque latoribus viris potius, quam de Diis, tale aliquid esse dictum. quare, quae petii, a patre legisque latore me petiisse existimetis. responsumque mihi esse, beatissimum esse illum, qui iucundissime vivat. ego autem ita deinde opponam, O pater, nonne quam beatissime volebas me vivere? Certe. at nunquam cessabas iubere, ut quam iustissime viverem. quisquis autem haec una concedit, sive legumlator sive pater, et absurde loquitur et sibi ipsi non constat. quod

εὐδαιμονέστατον ἀποφαίνοιτο βίον εἶναι, ζητοῖ που πᾶς ἂν ὁ ἀκούων, οἶμαι, τί ποτ' ἐν αὐτῷ τὸ τῆς ἡδονῆς
663 κρεῖττον ἀγαθόν τε καὶ καλὸν ὁ νόμος ἐνὸν ἐπαινεῖ; τί γὰρ δὴ δικαίῳ χωριζόμενον ἡδονῆς ἀγαθὸν ἂν γίγνοιτο; φέρε, κλέος τε καὶ ἔπαινος πρὸς ἀνθρώπων τε καὶ θεῶν ἆρ' ἐστὶν ἀγαθὸν μὲν καὶ καλόν, ἀηδὲς δέ, δύσκλεια δὲ τἀναντία; ἦκιστα, ὦ φίλε νομοθέτα, φήσομεν. ἀλλὰ τὸ μή τέ τινα ἀδικεῖν μήτε ὑπό τινος ἀδικεῖσθαι μῶν ἀηδὲς μέν, ἀγαθὸν δὲ ἢ καλόν, τὰ δ' ἕτερα ἡδέα μέν, αἰσχρὰ δὲ καὶ κακά; 1

ΚΛ. Καὶ πῶς;

ΑΘ. Οὐκοῦν ὁ μὲν μὴ χωρίζων λόγος ἡδύ τε καὶ δίκαιον καὶ ἀγαθόν τε καὶ καλὸν πιθανός γ', εἰ μηδὲν ἕτερον, πρὸς τό τινα ἐθέλειν ζῆν τὸν ὅσιον καὶ δίκαιον βίον, ὥστε νομοθέτῃ γε αἴσχιστος λόγων καὶ ἐναντιώτατος ὃς ἂν μὴ φῇ ταῦτα οὕτως ἔχειν· οὐδεὶς γὰρ ἂν ἑκὼν ἐθέλοι πείθεσθαι πράττειν τοῦτο ὅτῳ μὴ τὸ χαίρειν τοῦ λυπεῖσθαι πλέον ἕπεται. σκοτοδινιᾷν δὲ τὸ πόρρωθεν ὁρώμενον πᾶσί τε ὡς ἔπος εἰπεῖν καὶ δὴ καὶ τοῖς παισὶ παρέχει. νομοθέτης δ' ἡμῖν δόξαν εἰς τοὐ- 2
ναντίον τούτου καταχήσει τὸ σκότος ἀφελών, καὶ πείσει ἁμῶς γέ πως ἔθεσι καὶ ἐπαίνοις καὶ λόγοις ὡς

si iustissimam vitam beatissimam esse respondeat, quaeret, ut arbitror, quicunque id audiet, Quidnam ea in vita bonum et pulchrum, tanquam voluptate melius, lex ipsa laudat? quid enim a voluptate separatum iusto boni adesse potest? dic, obsecro, an laus et gloria tam apud homines quam apud deos, bonum quidem est atque honestum, iniucundum autem? infamia vero contra? minime dicemus, o legislator. sed iniuriam neque inferre neque pati, num iucundum quidem sit, bonum vero atque honestum: cetera autem iucunda quidem, turpia vero et mala? quo pacto id ais? ratio igitur, quae neque iucundum a iusto neque bonum separat ab honesto, probabilis est, et si non ad aliud, attamen ad hoc, ut sancte ac iuste quis vivere velit, multum conducit. quocirca legislatori turpissima et admodum contraria oratio est, si haec ita habere se neget. nemo enim sponte id aget, cui non plus laetitiae quam doloris inest. quod vero procul aspicitur, omnibus, ut ita dicam, vel ipsis pueris, caliginosam affert vertiginem. quare vertigine tenebrisque ablatis in contrarium legislator opiniones civium ducet, et tum laudibus tum consuetudine tum rationibus quodam-

ἐσκιαγραφημένα τὰ δίκαιά ἐσι καὶ ἄδικα, τὰ μὲν ἄδικα τῷ τοῦ δικαίου ἐναντίως φαινόμενα, ἐκ μὲν ἀδίκου καὶ κακοῦ ἑαυτοῦ θεωρούμενα ἡδία, τὰ δὲ δίκαια ἀηδέ-ζατα, ἐκ δὲ δικαίου πάντα τἀναντία παντὶ πρὸς ἀμ-φότερα.

ΚΛ. Φαίνεται.

ΑΘ. Τὴν δ' ἀλήθειαν τῆς κρίσεως ποτέραν κυ-ριωτέραν εἶναι φῶμεν; πότερα τὴν τῆς χείρονος ψυ-χῆς ἢ τὴν τῆς βελτίονος;

ΚΛ. Ἀναγκαῖόν που τὴν τῆς ἀμείνονος.

ΑΘ. Ἀναγκαῖον ἄρα τὸν ἄδικον βίον οὐ μόνον αἰσχίω καὶ μοχθηρότερον ἀλλὰ καὶ ἀηδέσερον τῇ ἀλη-θείᾳ τοῦ δικαίου τε εἶναι καὶ ὁσίου βίου.

ΚΛ. Κινδυνεύει κατά γε τὸν νῦν λόγον, ὦ φίλοι.

ΑΘ. Νομοθέτης δὲ οὖ τι καὶ σμικρὸν ὄφελος, εἰ καὶ μὴ τοῦτο ἦν οὕτως ἔχον, ὡς καὶ νῦν αὐτὸ ἤρηχ' ὁ λόγος ἔχειν, εἴ πέρ τι καὶ ἄλλο ἐτόλμησεν ἂν ἐπ' ἀγαθῷ ψεύδεσθαι πρὸς τοὺς νέους, ἔξιν ὅ τι τούτου ψεῦδος λυσιτελέσερον ἂν ἐψεύσατό ποτε καὶ δυνάμενον μᾶλ-λον ποιεῖν μὴ βίᾳ ἀλλ' ἑκόντας πάντα τὰ δίκαια;

ΚΛ. Καλὸν μὲν ἡ ἀλήθεια, ὦ ξένε, καὶ μόνι-μον, ἔοικε μὴν οὐ ῥᾴδιον εἶναι πείθειν.

modo ipsis persuadebit, tam iusta quam iniusta esse obumbrata; atque iniusta quidem contra apparere quam iusta. nempe iniusto ac pravo iucunda videri, cui iusta videntur iniucundissima. iusto autem utraque contra omnino videri. *Cli.* Sic apparet. *Athen.* Revera autem utram sententiam potiorem existimabimus? meliorisne an deterioris animi? *Cli.* Melioris necessario. *Athen.* Necesse est igitur iniustam vitam non turpiorem solum ac peiorem iusta sanctaque vita esse, verum etiam iniucundiorem. *Cli.* Ita certe ex hac ratione, o amice, videtur. *Athen.* Legis itaque lator, ex quo exigua sit proventura utilitas, etiamsi non ita id se haberet, ut modo diximus, non alienum tamen sua gravitate putaret ad iuventutis utilitatem falso aliquid, si modo quid unquam aliud falso dicendum sit, dicere: maxime cum nullum mendacium hac falsitate utilius excogitare possit, quod videlicet ita trahere audientes valeat, ut non vi sed sponte iustitiam velint suscipere. *Cli.* Pulchrum certe, o hospes, et stabile quiddam est veritas. videtur autem plerumque non facile persuadere. *Athen.* Esto. at enim Si-

ΑΘ. Εἶεν· τὸ μὲν τοῦ Σιδωνίου μυθολόγημα ῥᾴδιον ἐγένετο πείθειν, οὕτως ἀπίθανον ὄν, καὶ ἄλλα μυρία.

ΚΛ. Ποῖα;

ΑΘ. Τὸ σπαρέντων ποτὲ ὀδόντων ὁπλίτας ἐξ αὐτῶν φῦναι. καί τοι μέγα γ' ἐξὶ νομοθέτῃ παράδειγμα
664 τοῦ πείσειν ὅ τι ἂν ἐπιχειρῇ τις πείθειν τὰς τῶν νέων ψυχάς, ὥστε οὐδὲν ἄλλο αὐτὸν δεῖ σκοποῦντα ἀνευρίσκειν ἢ τί πείσας μέγιστον ἀγαθὸν ἐργάσαιτο ἂν πόλιν, τούτου δὲ πέρι πᾶσαν μηχανὴν εὑρίσκειν, ὅν τινά 10
ποτε τρόπον ἡ τοιαύτη ξυνοικία πᾶσα περὶ τούτων ἓν καὶ ταὐτὸν ὅτι μάλιστα φθέγγοιτ' ἀεὶ διὰ βίου παντὸς ἔν τε ᾠδαῖς καὶ μύθοις καὶ λόγοις. εἰ δ' οὖν ἄλλῃ πῃ δοκεῖ ἢ ταύτῃ, πρὸς ταῦτα οὐδεὶς φθόνος ἀμφισβητῆσαι τῷ λόγῳ.

ΚΛ. Ἀλλ' οὔ μοι φαίνεται πρός γε ταῦτα δύνασθαι ἡμῶν ἀμφισβητῆσαί ποτ' ἂν οὐδέτερος.

ΑΘ. Τὸ μετὰ τοῦτο τοίνυν ἐμὸν ἂν εἴη λέγειν. φημὶ γὰρ ἅπαντας δεῖν ἐπᾴδειν τρεῖς ὄντας τοὺς χορούς ἔτι νέαις οὔσαις ταῖς ψυχαῖς καὶ ἀπαλαῖς τῶν 20
παίδων, τά τε ἄλλα καλὰ λέγοντας πάντα ὅσα διεληλύθαμέν τε καὶ ἔτι διέλθοιμεν ἄν, τὸ δὲ κεφάλαιον αὐτῶν τοῦτο ἔσω· τὸν αὐτὸν ἥδιστόν τε καὶ ἄριστον ὑπὸ

donii fabula illa, etsi nihil verisimilitudinis habuit, facile nihilominus persuasit, aliaeque permultae similiter. *Cli.* Quemnam? *Athen.* Quod a dentibus quondam satis armati milites nati sint. magnum enim id legislatori exemplum est, posse animis iuvenum, quodcunque velit, persuadere. quapropter nihil aliud scrutari debet, quam quibus rebus persuasione acceptis maximum bonum conferat civitati, ad idque omni incumbere studio, ut civitas universa de his rebus unum atque idem quam maxime ac semper in cantibus, fabulis et omni sermone decantet. equidem ita sentio: si vero vos aliter, nulla invidia sit contradicere. *Cli.* Neuter nostrum posse unquam de his dubitare videtur. *Athen.* Prosequar igitur asserens choros omnes, qui tres sunt, teneris adhuc et mollibus puerorum animis et alia bona, quae diximus, et quaecunque narrare possimus, quasi incantatione quadam insinuare oportere. caput autem illud sit, quod videlicet, si vitam eandem optimam et

ἡδῶν βίον λέγεσθαι φάσκοντες ἀληθέστατα ἐροῦμεν ἅμα καὶ μᾶλλον πείσομεν οὓς δεῖ πείθειν, ἢ ἐὰν ἄλλως πως φθεγγώμεθα λέγοντες.

ΚΛ. Συγχωρητέον ἃ λέγεις.

ΑΘ. Πρῶτον μὲν τοίνυν ὁ Μουσῶν χορὸς ὁ παιδικὸς ὀρθότατ' ἂν εἰρίοι πρῶτος τὰ τοιαῦτα εἰς τὸ μέσον ἀσόμενος ἁπάσῃ σπουδῇ καὶ ὅλῃ τῇ πόλει, δεύτερος δὲ ὁ μέχρι τριάκοντα ἐτῶν, τόν τε Παιᾶνα ἐπικαλούμενος μάρτυρα τῶν λεγομένων ἀληθείας πέρι καὶ τοῖς νέοις ἵλεων μετὰ πειθοῦς γίγνεσθαι ἐπευχόμενος. δεῖ δὲ δὴ καὶ ἔτι τρίτους τοὺς ὑπὲρ τριάκοντα ἔτη μέχρι τῶν ἑξήκοντα γεγονότας ᾄδειν· τοὺς δὲ μετὰ ταῦτα, οὐ γὰρ ἔτι δυνατοὶ φέρειν ᾠδάς, μυθολόγους περὶ τῶν αὐτῶν ἠθῶν διὰ θείας φήμης καταλελεῖφθαι.

ΚΛ. Λέγεις δέ, ὦ ξένε, τίνας τούτους τοὺς χορούς τε καὶ τρίτους; οὐ γὰρ πάνυ ξυνίεμεν σαφῶς ὅ τί ποτε βούλει φράζειν αὐτῶν πέρι.

ΑΘ. Καὶ μὴν εἰσί γε οὗτοι σχεδὸν ὧν χάριν οἱ πλεῖστοι τῶν ἔμπροσθεν ἐρρήθησαν λόγων.

ΚΛ. Οὔπω μεμαθήκαμεν, ἀλλ' ἔτι σαφέστερον πειρῶ φράζειν.

ΑΘ. Εἴπομεν, εἰ μεμνήμεθα, κατ' ἀρχὰς τῶν

iucundissimam iudicari a Diis asseruerimus, et vera loquemur et magis illis, quibus opus est, persuadebimus, quam si aliter diceremus. *Cli.* Concedenda sunt, quae dicis. *Athen.* Primus itaque puerilis Musarum chorus haec studiose toti civitati decantaturus ingrediatur. secundus illorum chorus, qui ad triginta usque annos provecti sunt, Paeana testem veritatis dictorum invocet, et iunioribus propitium suppliciter esse precetur. tertius eorum sit chorus, qui triginta annos inter et sexaginta aetatem agunt. his autem seniores, quia non amplius de eisdem moribus fabulas poterunt decantare, dimittendos divino oraculo censemus. *Cli.* Quosnam, hospes, tertios hos choros dicis? non enim clare, quid de his dicere velis, comprehendimus. *Athen.* Hi profecto sunt, quorum gratia plurima in superioribus sunt inducta. *Cli.* Nondum intelligemus. quamobrem apertius dicito. *Athen.* Dictum est in dispu-

λόγων ὡς ἡ φύσις ἁπάντων τῶν νέων διάπυρος οὖσα ἡσυχίαν οὐχ οἵα τε ἄγειν οὔτε κατὰ τὸ σῶμα οὔτε κατὰ τὴν φωνὴν εἴη, φθέγγοιτο δ' ἀεὶ ἀτάκτως καὶ πηδῷ. τάξεως δ' αἴσθησιν τούτων ἀμφοτέρων τῶν ἄλλων μὲν ζώων οὐδὲν ἐφάπτοιτο, ἡ δὲ ἀνθρώπου φύσις ἔχοι μόνη τοῦτο. τῇ δὴ τῆς κινήσεως τάξει ῥυθμὸς ὄνομα εἴη, τῇ δ' αὖ τῆς φωνῆς, τοῦ τε ὀξέος ἅμα καὶ βαρέος συγκεραννυμένων, ἁρμονία ὄνομα προσαγορεύοιτο, χορεία δὲ τὸ ξυναμφότερον κληθείη. θεοὺς δὲ ἔφαμεν ἐλεοῦντας ἡμᾶς συγχορευτάς τε καὶ χορηγοὺς ἡμῖν δεδωκέναι τόν τε Ἀπόλλωνα καὶ Μούσας, καὶ δὴ καὶ τρίτον ἔφαμεν, εἰ μεμνήμεθα, Διόνυσον.

ΚΛ. Πῶς δ' οὐ μεμνήμεθα;

ΑΘ. Ὁ μὲν τοίνυν τοῦ Ἀπόλλωνος καὶ τῶν Μουσῶν χορὸς εἴρηνται, τὸν δὲ τρίτον καὶ τὸν λοιπὸν χορὸν ἀνάγκη τοῦ Διονύσου λέγεσθαι.

ΚΛ. Πῶς δή; λέγε· μάλα γὰρ ἄτοπος γίγνοιτ' ἂν ὡς γ' ἐξαίφνης ἀκούσαντι Διονύσου πρεσβυτῶν χορός, εἰ ἄρα οἱ ὑπὲρ τριάκοντα καὶ πεντήκοντα δὲ γεγονότες ἔτη μέχρι ἑξήκοντα αὐτῷ χορεύουσιν.

ΑΘ. Ἀληθέξατα μέντοι λέγεις. λόγου δὴ δεῖ πρὸς

tationis principio, si recordamur, ita ardentem iuvenum omnium naturam esse, ut neque corpore neque voce quiescere possit, sed sine ordine semper clamet et saltet: atque ordinis utrorumque istorum nullum aliud animal, praeter solam hominis naturam, sensum habere. ordinis autem, qui in motu conspicitur, nomen rhythmus i. e. numerus, esse potest, sed eius, qui in voce, acuto et gravi simul contemperato, harmonia i. e. concentus. utrumque vero simul chorea nominabitur. Deos quoque diximus nostri misertos choreae concelebratores ac duces dedisse nobis Apollinem et Musas: tertiumque, si recordamur, Dionysium numeravimus. *Cli.* Cur non recordari debeamus? *Athen.* Atqui Apollinis et Musarum chori dicti iam sunt: tertius autem, qui reliquus est, Dionysio necessario tribuetur. *Cli.* Quo pacto? latius expone. nam primo auditu valde absurdus Dionysiacus seniorum chorus esse videtur, si ultra trigesimum annum et ad quinquagesimum iam provecti et usque ad sexagesimum eo utantur. *Athen.* Vera loqueris. sed ratione ad haec opus esse arbitror, ut appareat,

ταῦτα, οἶμαι, ὅπῃ τοῦτο εὔλογον οὕτω γιγνόμενον ἂν γίγνοιτο.

Κλ. Τί μήν;

Αθ. Ἆρ' οὖν ἡμῖν τά γε ἔμπροσθεν ὁμολογεῖται;

Κλ. Τοῦ πέρι;

Αθ. Τὸ δεῖν πάντα ἄνδρα καὶ παῖδα, ἐλεύθερον καὶ δοῦλον θῆλύν τε καὶ ἄῤῥενα, καὶ ὅλῃ τῇ πόλει ὅλην τὴν πόλιν αὐτὴν αὐτῇ ἐπᾴδουσαν μὴ παύεσθαί ποτε ταῦτα ἃ διεληλύθαμεν, ἅμῶς γέ πως ἀεὶ μεταβαλλόμενα καὶ πάντως παρεχόμενα ποικιλίαν, ὥστε ἀπλησίαν εἶναί τινα τῶν ὕμνων τοῖς ᾄδουσι καὶ ἡδονήν.

Κλ. Πῶς δ' οὐχ ὁμολογοῖτο ἂν δεῖν ταῦτα οὕτω πράττεσθαι;

Αθ. Ποῦ δὴ τοῦθ' ἡμῖν τὸ ἄριστον τῆς πόλεως, ἡλικίαις τε καὶ ἅμα φρονήσεσι πιθανώτατον ὂν τῶν ἐν τῇ πόλει, ᾄδον τὰ κάλλιστα μίγις' ἂν ἐξεργάζοιτο ἀγαθά; ἢ τοῦτο ἀνοήτως οὕτως ἀφήσομεν, ὃ κυριώτατον ἂν εἴη τῶν καλλίστων τε καὶ ὠφελιμωτάτων ᾠδῶν;

Κλ. Ἀλλ' ἀδύνατον τὸ μεθιέναι, ὥς γε τὰ νῦν λεγόμενα.

Αθ. Πῶς οὖν πρέπον ἂν εἴη τοῦτο; ὁρᾶτε εἰ τῇδε.

quo pacto opportune id fieri possit. *Cli.* Cur non? *Athen.* Nunquaid superiora illa inter nos constant? *Cli.* Quaenam? *Athen.* Quod oporteat viros omnes et pueros, liberos et servos, mares et feminas, et universam civitatem toti civitati quotidie, quae diximus, variis modis et carminibus decantare, ut ex innumerabili hymnorum varietate, inexplebili quoddammodo voluptate concinentes afficiantur. *Cli.* Nihil obstat, quo minus concedatur ita fieri oportere. *Athen.* Sed quo optima haec civitatis pars, cui propter aetatem atque prudentiam summa inest ad persuadendum auctoritas, optima canendo maximorum bonorum causa erit? an id ita stulte omittemus, in quo optimorum et utilissimorum cantuum vis inest praecipua? *Cli.* Haud omittere licet, ut modo apparet. *Athen.* Quomodo igitur decenter id fiet? videte, quaeso, an ita?

ΚΛ. Πῇ δή;

ΑΘ. Πᾶς που γιγνόμενος πρεσβύτερος ὄκνου πρὸς τὰς ᾠδὰς μεζούς, καὶ χαίρει τε ἧττον πράττων τοῦτο καὶ ἀνάγκης γιγνομένης αἰσχύνοιτ' ἂν μᾶλλον, ὅσῳ πρεσβύτερος καὶ σωφρονέστερος γίγνεται, τόσῳ μᾶλλον. ἆρ' οὐχ οὕτως;

ΚΛ. Οὕτω μὲν οὖν.

ΑΘ. Οὐκοῦν ἐν θεάτρῳ γε καὶ παντοίοις ἀνθρώποις ᾄδειν ἐσῶς ὀρθὸς ἔτι μᾶλλον αἰσχύνοιτ' ἄν. καὶ ταῦτά γ' εἰ καθά περ οἱ περὶ νίκης χοροὶ ἀγωνιζόμενοι πεφωνασκηκότες ἰσχνοί τε καὶ ἄσιτοι ἀναγκάζοιντο ᾄδειν οἱ τοιοῦτοι, παντάπασί που ἀηδῶς τε καὶ αἰσχυντη-
666 λῶς ᾄδοντες ἀπροθύμως ἂν τοῦτ' ἐργάζοιντο.

ΚΛ. Ἀναγκαιότατα μέντοι λέγεις.

ΑΘ. Πῶς οὖν αὐτοὺς παραμυθησόμεθα προθύμους εἶναι πρὸς τὰς ᾠδάς; ἆρ' οὐ νομοθετήσομεν πρῶτον μὲν τοὺς παῖδας μέχρι ἐτῶν ὀκτωκαίδεκα τὸ παράπαν οἴνου μὴ γεύεσθαι, διδάσκοντες ὡς οὐ χρὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν εἴς τε τὸ σῶμα καὶ τὴν ψυχήν, πρὶν ἐπὶ τοὺς πόνους ἐγχειρεῖν πορεύεσθαι, τὴν ἐμμανῆ εὐλαβούμενοι ἕξιν τῶν νέων· μετὰ δὲ τοῦτο οἴνου μὲν δὴ γεύεσθαι τοῦ μετρίου μέχρι τριάκοντα ἐτῶν, μέθης δὲ καὶ πολυοινίας τὸ παράπαν τὸν νέον

Cli. Quo pacto? *Athen.* Unusquisque senior, circa cantus iam satietate affectus, his minime delectatur: et cum res postulat canere, quanto senior atque modestior est, tanto magis cantare veretur. an non ita? *Cli.* Ita prorsus. *Athen.* Sed multo magis in theatro coram multitudine rectus cantare prae pudore non tolerabit: praesertim si seniorum chori, quemadmodum qui de victoria contendunt, et ii quidem clarificandae vocis gratia tenues atque ieiuni cantare cogantur. sic enim non sine molestia et pudore cantabunt, et ad ista tardiores accedent. *Cli.* Necessaria narras. *Athen.* Quo igitur pacto paratos eos ad cantum reddemus? principio lege sanciemus, ut pueri usque ad duodevigesimum annum vini usum prorsus ignorent. nempe eos monebimus non oportere ignem igni in corpus atque animam suggerere, antequam viri effecti subire labores incipiant. furiosum namque habitum iuventutis cavere oportet. deinde vino moderate utantur, usque ad annum aetatis trigesimum: ab ebrietate vero et vini repletione iuvenes om-

ἀπέχεσθαι· τετταράκοντα δὲ ἐπιβαίνοντα ἐτῶν, ἐν τοῖς ξυουσίοις εὐωχηθέντα, καλεῖν τούς τε ἄλλους θεοὺς καὶ δὴ καὶ Διόνυσον παρακαλεῖν εἰς τὴν τῶν πρεσβυτῶν τελετὴν ἅμα καὶ παιδιάν, ἣν τοῖς ἀνθρώποις ἐπίκουρον τῆς τοῦ γήρως αὐχηρότητος ἐδωρήσατο τὸν οἶνον φάρμακον, ὥστ' ἀνηβᾶν ἡμᾶς καὶ δυσθυμίας λήθην γίγνεσθαι, μαλακώτερον ἐκ σκληροτέρου τὸ τῆς ψυχῆς ἦθος, καθάπερ εἰς πῦρ σίδηρον ἐντεθέντα, γιγνόμενον, καὶ οὕτως εὐπλαστότερον εἶναι. πρῶτον μὲν δὴ διατεθεὶς οὕτως ἕκαστος ἆρ' οὐκ ἂν ἐθέλοι προθυμότερόν τε, ἧττον αἰσχυνόμενος, οὐκ ἐν πολλοῖς ἀλλ' ἐν μετρίοις, καὶ οὐκ ἐν ἀλλοτρίοις ἀλλ' ἐν οἰκείοις, ᾄδειν τε καὶ ὃ πολλάκις εἰρήκαμεν ἐπᾴδειν;

ΚΛ. Καὶ πολύ γε.

ΑΘ. Εἰς μέν γε τὸ προάγειν τοίνυν αὐτοὺς μετέχειν ἡμῖν ᾠδῆς οὗτος ὁ τρόπος οὐκ ἂν παντάπασιν ἀσχήμων γίγνοιτο.

ΚΛ. Οὐδαμῶς.

ΑΘ. Ποίαν δὲ ᾄσουσιν οἱ ἄνδρες φωνὴν ἢ Μοῦσαν; ἢ δῆλον ὅτι πρέπουσαν αὐτοῖς δεῖ γέ τινα.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Τίς ἂν οὖν πρέποι θείοις ἀνδράσιν; ἆρ' ἂν ἡ τῶν χορῶν;

nino abstineant. sed cum ad quadragesimum pervenerint, tunc in conviviis liberius discumbentes, cum alios Deos tum Dionysium ad sacra senum et ludos invocent, qui hominibus vinum quasi remedium adversus senectutis duritiem est largitus, ut reiuvenescere videamur, et moestitiae nos oblivio capiat, ipsaque affectio animi, sicuti ferrum in igne ex duritie in mollitiem deducta flexibilior fiat. primum quidem sic affectus quisque, sumpta fiducia, minus verebitur inter aliquos ac suos non tamen multos et alienos canere, et una, quod iam saepius repetivimus, incantare. *Cli.* Et maxime quidem. *Athen.* Ad eos igitur iuducendos, ut cantibus interesse velint, modus hic haud indecens erit. *Cli.* Non certe. *Athen.* Qua autem voce et qua Musa hi viri cantabunt? an ea videlicet, quae ipsis conveniat? *Cli.* Ea dumtaxat. *Athen.* Quaenam igitur divinis viris conveniens erit? nonne ea, qua chori decan-

ΚΛ. Ἡμεῖς γοῦν, ὦ ξένε, καὶ οἴδε οὐκ ἄλλην ἄν τινα δυναίμεθα ᾠδὴν ἢ ἣν ἐν τοῖς χοροῖς ἐμάθομεν ξυνήθεις ᾄδειν γενόμενοι.

ΑΘ. Εἰκότως γε· ὄντως γὰρ οὐκ ἐπήβολοι γεγόνατε τῆς καλλίστης ᾠδῆς. στρατοπέδου γὰρ πολιτείαν ἔχετε, ἀλλ' οὐκ ἐν ἄστεσι κατῳκηκότων, ἀλλ' οἷον ἀθρόους πώλους ἐν ἀγέλῃ νεμομένους φορβάδας τοὺς νέους κέκτησθε. λαβὼν δὲ ὑμῶν οὐδεὶς τὸν αὑτοῦ παρὰ τῶν ξυννόμων σπάσας σφόδρα ἀγριαίνοντα καὶ ἀγανακτοῦντα, ἱπποκόμιον τε ἐπέζησεν ἰδίᾳ καὶ παιδεύει ψήχων τε καὶ ἡμερῶν καὶ πάντα προσήκοντα ἀποδιδοὺς τῇ παιδοτροφίᾳ, ὅθεν οὐ μόνον ἀγαθὸς ἂν στρατιώτης εἴη, πόλιν δὲ καὶ ἄρχῃ δυνάμενος διοικεῖν, ὃν δὴ κατ' ἀρχὰς εἴπο-
667 μεν τῶν Τυρταίου πολεμικῶν εἶναι πολεμικώτερον, τέταρτον ἀρετῆς ἀλλ' οὐ πρῶτον τὴν ἀνδρίαν κτῆμα τιμῶντα ἀεὶ καὶ πανταχοῦ ἰδιώταις τε καὶ ξυμπάσῃ πόλει.

ΚΛ. Οὐκ οἶδα ἡμῶν, ὦ ξένε, ὅπῃ πάλιν αὖ τοὺς νομοθέτας φαυλίζεις.

ΑΘ. Οὐκ, ὦ ᾽γαθέ, προσέχων τούτῳ τὸν νοῦν ὁρῶ τοῦτο, εἴ περ· ἀλλ' ὁ λόγος ὅπῃ φέρει, ταύτῃ πορευώμεθα, εἰ βούλεσθε. εἰ γὰρ ἔχομεν Μοῦσαν τῆς

tant? *Cli.* Nos quidem, hospes, et tu non possumus aliud canere, quam quod in choro didicimus. in hoc enim cantu assueti sumus. *Athen.* Par est. optimum enim cantum non didicistis: quasi enim castrensem rempublicam habetis potius quam urbanam. propterea iuvenes profecto tanquam pullos gregatim pascentes habetis. unde nemo vestrum arripit suum, et ad cohibendam eius ferocitatem cuidam, quasi equorum magistro, committit, qui erudiat ipsum leniter tractans et mansuefaciens, et cetera, quae educationi conveniunt, peragens. ex quo non modo probus miles efficiatur, sed civitatum quoque et urbium idoneus gubernator: quem quidem in principio diximus Tyrtaei militibus fore bellicosiorem, quarto virtutis loco, non primo, semper et ubique privatim et publice fortitudinis munera colentem. *Cli.* Nescio, quo modo rursus, hospes, legumlatoribus nostris derogas. *Athen.* Non ex animo id facio, bone vir, si quidem facio. sed proficiscamur, quo ratio ducit, si vultis. nam si Musam habemus, chororum et theatri communi

τῶν χορῶν καλλίω καὶ τῆς ἐν τοῖς κοινοῖς θεάτροις, πειρώμεθα ἀποδοῦναι τούτοις οὓς φαμεν ἐκείνην μὲν αἰσχύνεσθαι, ζητεῖν δὲ ἥ τις καλλίστη ταύτης κοινωνεῖν.

ΚΛ. Πάνυ γε.

ΑΘ. Οὐκοῦν πρῶτον μὲν δεῖ τόδε γε ὑπάρχειν ἅπασιν ὅσοις συμπαρέπεταί τις χάρις, ἢ τοῦτο αὐτὸ μόνον αὐτοῦ τὸ σπουδαιότατον εἶναι ἤ τινα ὀρθότητα ἢ τὸ τρίτον ὠφέλειαν; οἷον δὴ λέγω ἐδωδῇ μὲν καὶ πόσει καὶ ξυμπάσῃ τροφῇ παρέπεσθαι μὲν τὴν χάριν, ἣν ἡδονὴν ἄν προσείποιμεν· ἣν δὲ ὀρθότητά τε καὶ ὠφέλειαν, ὃ περ ὑγιεινὸν τῶν προσφερομένων λέγομεν ἑκάστοτε, τοῦτ' αὐτὸ εἶναι ἐν αὐτοῖς καὶ τὸ ὀρθότατον.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Καὶ μὴν καὶ τῇ μαθήσει παρακολουθεῖν μὲν τό γε τῆς χάριτος τὴν ἡδονήν, τὴν δὲ ὀρθότητα καὶ τὴν ὠφέλειαν καὶ τὸ εὖ καὶ τὸ καλῶς τὴν ἀλήθειαν εἶναι τὴν ἀποτελοῦσαν.

ΚΛ. Ἔστιν οὕτως.

ΑΘ. Τί δέ; τῇ τῶν ὁμοίων ἐργασίᾳ, ὅσαι τέχναι εἰκαστικαί, ἆρ' οὐκ, ἂν τοῦτο ἐξεργάζωνται, τὸ μὲν ἡδονὴν ἐν αὐτοῖς γίγνεσθαι, παρεπόμενον ἐὰν γίγνηται, χάριν αὐτὸ δικαιότατον ἂν εἴη προσαγορεύειν;

ΚΛ. Ναί.

Musa praestantiorem, hanc illis exhibere conemur, quos diximus illam quidem vereri et aliam quaerere meliorem. *Cli.* Omnino. *Athen.* Omnibus igitur, quaecunque gratia quaedam sequitur, inesse id oportet, ut vel ea ipsa gratia sola in his alliciat sitque praecipuum, vel rectitudo, vel utilitas. exempla, quod dico, exponam. cibus ac potus et alimentum omne gratiam habet quam voluptatem dicimus, rectitudinem vero et utilitatem, si confert ad sanitatem. *Cli.* Prorsus. *Athen.* Sic et in discendo gratia inest, quae voluptas nominatur: rectitudo etiam atque utilitas, et bonus habitus atque pulcher, quae ab ipsa veritate efficiuntur. *Cli.* Ita est. *Athen.* Quid porro in artibus, quibus similia effinguntur, nonne id ipsum inspicimus? voluptas profecto ex illis quandoque provenit, quam par est gratiam nominare. *Cli.* Certe. *Athen.*

ΑΘ. Τὴν δέ γε ὀρθότητά που τῶν τοιούτων ἡ ἰσότης ἄν, ὡς ἐπὶ τὸ πᾶν εἰπεῖν, ἐξεργάζοιτο τοῦ τε τοσούτου καὶ τοῦ τοιούτου πρότερον, ἀλλ' οὐχ ἡδονή.

ΚΛ. Καλῶς.

ΑΘ. Οὐκοῦν ἡδονῇ κρίνοιτ' ἂν μόνον ἐκεῖνο ὀρθῶς, ὃ μή τέ τινα ὠφέλειαν μήτε ἀλήθειαν μήτε ὁμοιότητα ἀπεργαζόμενον παρέχεται, μηδ' αὖ γε βλάβην, ἀλλ' αὐτοῦ τούτου μόνου ἕνεκα γίγνοιτο τοῦ ζυμπαρεπομένου τοῖς ἄλλοις, τῆς χάριτος, ἣν δὴ κάλλιστά τις ὀνομάσαι ἂν ἡδονήν, ὅταν μηδὲν αὐτῇ τούτων ἑπακολουθῇ;

ΚΛ. Ἀβλαβῆ λέγεις ἡδονὴν μόνον.

ΑΘ. Ναί, καὶ παιδιάν γε εἶναι τὴν αὐτὴν ταύτην λέγω τότε ὅταν μή τέ τι βλάπτῃ μήτε ὠφελῇ σπουδῆς ἢ λόγου ἄξιον.

ΚΛ. Ἀληθέστατα λέγεις.

ΑΘ. Ἆρ' οὖν οὐ πᾶσαν μίμησιν φαῖμεν ἂν ἐκ τῶν νῦν λεγομένων ἥκιστα ἡδονῇ προσήκειν κρίνεσθαι
658 καὶ δόξῃ μὴ ἀληθεῖ, καὶ δὴ καὶ πᾶσαν ἰσότητα; 2 οὐ γὰρ εἴ τῳ δοκεῖ ἢ μή τις χαίρει τῳ, τό γε ἴσον οὐδὲ τὸ σύμμετρον ἂν εἴη σύμμετρον ὅλως, ἀλλὰ τῷ ἀληθεῖ πάντων μάλιστα, ἥκιστα δὲ ὁτῳοῦν ἄλλῳ.

Rectitudinem vero talium, ut universaliter dicam, aequalitas ipsa tanti talisque efficit potius quam voluptas. *Cli.* Praeclare. *Athen.* Voluptate igitur sola id merito iudicabitur, quod neque utilitatem neque veritatem neque similitudinem neque rursus damnum efficit, sed solum causa gratiae illius fit, quae concomitatur alia: quam voluptatem recte possumus nominare, quando videlicet nihil istorum ipsam sequitur. *Cli.* Voluptatem dicis solam, quae minime noceat? *Athen.* Nempe, et iocum ac ludum rursus eam ipsam appello, quando nec documenti neque utilitatis aliquid affert aestimatione dignum. *Cli.* Vera loqueris. *Athen.* Sequitur ex his, quae diximus, nullam imitationem voluptate et opinione non vera iudicandam esse, similiter etiam aequalitatem nullam. non enim quia huic videatur aut quoniam hic gaudeat, iccirco aequale ipsum aequale est aut commensurabile ipsum etiam commensurabile;

ΚΛ. Παντάπασι μὲν οὖν.

ΑΘ. Οὐκοῦν μουσικήν γε πᾶσάν φαμεν εἰκαστικὴν τε εἶναι καὶ μιμητικήν;

ΚΛ. Τί μήν;

ΑΘ. Ἧκις' ἄρα ὅταν τις μουσικὴν ἡδονῇ φῇ κρίνεσθαι, τοῦτον ἀποδεκτέον τὸν λόγον, καὶ ζητητέον ἥιξα ταύτην ὡς σπουδαίαν, εἴ τις ἄρα που καὶ γίγνοιτο, ἀλλ' ἐκείνην τὴν ἔχουσαν τὴν ὁμοιότητα τῷ τοῦ καλοῦ μιμήματι.

ΚΛ. Ἀληθέστατα.

ΑΘ. Καὶ τούτοις δὴ τοῖς τὴν καλλίστην ᾠδήν τε ζητοῦσι καὶ Μοῦσαν ζητητέον, ὡς ἔοικεν, οὐχ ἥ τις ἡδεῖα ἀλλ' ἥ τις ὀρθή. μιμήσεως γὰρ ἦν, ὡς ἔφαμεν, ὀρθότης, εἰ τὸ μιμηθὲν ὅσον τε καὶ οἷον ἦν ἀποτελοῖτο.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Καὶ μὴν τοῦτό γε πᾶς ἂν ὁμολογοῖ περὶ τῆς μουσικῆς, ὅτι πάντα τὰ περὶ αὐτήν ἐστι ποιήματα μίμησίς τε καὶ ἀπεικασία. καὶ τοῦτό γε μῶν οὐκ ἂν ξύμπαντες ὁμολογοῖεν ποιηταί τε καὶ ἀκροαταὶ καὶ ὑποκριταί;

ΚΛ. Καὶ μάλα.

ΑΘ. Δεῖ δὴ καθ' ἕκαστόν γε, ὡς ἔοικε, γιγνώσκειν

sed nullo alio quam veritate sola. *Cli.* Sic est omnino. *Athen.* Atqui musicam omnem imitatricem et similium effectricem esse dicimus. *Cli.* Cui dubium? *Athen.* Cum ergo quis sola voluptate musicam asserit iudicari, minime audiendus est, minimeque huiusmodi musica, si alicubi colitur, quaerenda est; sed illa, quae per imitationem boni similitudinem possidet. *Cli.* Vera haec sunt. *Athen.* Qui ergo cantus speciem et Musam quaerunt optimam, non eam, quae iucunda, sed quae recta est, quaerere debent. rectitudo enim imitationis in hoc consistit, ut dicebamus, si tantum et tale fiat, quod imitatione exprimitur, quantum et quale in se ipso est. *Cli.* Cui dubium? *Athen.* Atqui illud de musica omnes concederent, omnia videlicet poëmata eius imitationem esse atque assimilationem. quod et poëtae omnes et auditores histrionesque concederent. *Cli.* Magnopere. *Athen.* Oportet igitur circa unumquodque poëma et figmentum, ut videtur, quid

ΚΛ. Καὶ πῶς;

ΑΘ. Τί δ'; εἰ γιγνώσκοιμεν ὅτι τὸ γεγραμμένον ἢ τὸ πεπλασμένον ἐξὶν ἄνθρωπος, καὶ τὰ μέρη πάντα τὰ ἑαυτοῦ καὶ χρώματα ἅμα καὶ σχήματα ἀπείληφεν ὑπὸ τῆς τέχνης, ἆρά γε ἀναγκαῖον ἤδη τῷ ταῦτα γνόντι καὶ ἐκεῖνο ἑτοίμως γιγνώσκειν, εἴτε καλὸν εἴτε ὅπῃ ποτε ἐλλιπὲς ἂν εἴη κάλλους; 669

ΚΛ. Πάντες μέντ' ἄν ὡς ἔπος εἰπεῖν, ὦ ξένε, τὰ καλὰ τῶν ζώων ἐγιγνώσκομεν.

ΑΘ. Ὀρθότατα λέγεις. ἆρ' οὖν οὐ περὶ ἑκάσην εἰκόνα καὶ ἐν γραφικῇ καὶ ἐν μουσικῇ καὶ πάντῃ τὸν μέλλοντα ἔμφρονα κριτὴν ἔσεσθαι δεῖ ταῦτα τρία ἔχειν, ὅ τε ἐξι πρῶτον γιγνώσκειν, ἔπειτα ὡς ὀρθῶς, ἔπειθ' ὡς εὖ, τὸ τρίτον, εἰργασαι τῶν εἰκόνων ἡτισοῦν ῥήμασί τε καὶ μέλεσι καὶ τοῖς ῥυθμοῖς;

ΚΛ. Ἔοικε γοῦν.

ΑΘ. Μὴ τοίνυν ἀπείπωμεν λέγοντες τὸ περὶ τὴν μουσικὴν ἧ χαλεπόν. ἐπειδὴ γὰρ ὑμνεῖται περὶ αὐτὴν διαφερόντως ἢ τὰς ἄλλας εἰκόνας, εὐλαβείας δὴ δεῖται πλείσης πασῶν εἰκόνων. ἁμαρτών τε γάρ τις μέγιστ' ἂν βλάπτοιτο, ἤθη κακὰ φιλοφρονούμενος, χαλεπώτατόν τε αἰσθέσθαι διὰ τὸ τοὺς ποιητὰς φαυλοτέρους εἶναι

Sin autem cognoscat aliquis, hominem esse id, quod pictum vel quoquo modo formatum est, suasque partes omnes et figuras et colores ab arte accepisse; num idem necessario, sicubi defectus aliquis pulchritudinis in eo sit, continuo agnoscet? *Cli.* Omnes ferme hoc modo, hospes, quae in animalibus pulchre se habent, cognosceremus. *Athen.* Recte loqueris. nonne igitur in imagine omni, sive per picturam sive per musicam sive quomodocunque aliter fiat, tria haec prudentem iudicem habere oportet? primum ut cognoscat, quid sit, quod in imitationem cadit: secundum ut recte: tertium ut bene, quaelibet similitudo verbis, concentibus, numeris effecta sit, noverit? *Cli.* Videtur. *Athen.* Ne pigeat igitur difficultatem, quae in musica est, exponere. porro, quoniam magis haec quam aliae similitudines celebratur, maiore quam in ceteris opus est diligentia. nam qui in hac aberrat, maxime laeditur, cum sub eius suavitate malos imbibat mores. difficile autem id cognitu est, quoniam poëtae non ita, ut Musae,

ποιητὰς αὐτῶν τῶν Μουσῶν. οὐ γὰρ ἂν ἐκεῖναί γε ἐξαμάρτοιέν ποτε τοσοῦτον, ὥστε ῥήματα ἀνδρῶν ποιήσασαι τὸ σχῆμα γυναικῶν καὶ μέλος ἀποδοῦναι, καὶ μέλος ἐλευθέρων αὖ καὶ σχήματα ξυνθεῖσαι ῥυθμοὺς δούλων καὶ ἀνελευθέρων προσαρμόττειν, οὐδ' αὖ ῥυθμοὺς καὶ σχῆμα ἐλευθέριον ὑποθεῖσαι μέλος ἢ λόγον ἐναντίον ἀποδοῦναι τοῖς ῥυθμοῖς· ἔτι δὲ θηρίων φωνὰς καὶ ἀνθρώπων καὶ ὀργάνων καὶ πάντας ψόφους εἰς ταὐτὸ οὐκ ἄν ποτε ξυνθεῖεν, ὡς ἕν τι μιμούμενοι. ποιηταὶ δ' ἀνθρώπινοι σφόδρα τὰ τοιαῦτα ἐμπλέκοντες καὶ συγκυκῶντες ἀλόγως γέλωτ' ἂν παρασκευάζοιεν τῶν ἀνθρώπων ὅσους φησὶν Ὀρφεὺς λαχεῖν ὥραν τῆς τέρψιος· ταῦτά τε γὰρ ὁρῶσι πάντα κυκώμενα καὶ ἔτι διασπῶσιν, οἱ ποιηταὶ ῥυθμὸν μὲν καὶ σχήματα μέλους χωρίς, λόγους ψιλοὺς εἰς μέτρα τιθέντες, μέλος δ' αὖ καὶ ῥυθμὸν ἄνευ ῥημάτων, ψιλῇ κιθαρίσει τε καὶ αὐλήσει προσχρώμενοι, ἐν οἷς δὴ παγχάλεπον ἄνευ λόγου γιγνόμενον ῥυθμόν τε καὶ ἁρμονίαν γιγνώσκειν, ὅ τί τε βούλεται καὶ ὅτῳ ἔοικε τῶν ἀξιολόγων μιμημάτων. ἀλλ' ὑπολαβεῖν ἀναγκαῖον ὅτι τὸ τοιοῦτόν γε πολλῆς ἀγροικίας μεξὸν πᾶν, ὁπόσον τάχους

artem poëticam tenent. nunquam enim illae tantum errare possent, ut in effingendis virorum verbis colorem mulierum concentusque redderent; vel in concentibus figurisque liberorum servorum et illiberalium numeros; vel in numeris figurisque liberis concentum vel sermonem numeris contrarium. nunquam insuper ferarum voces atque hominum pulsandorumque instrumentorum et strepitus omnes, quasi unum aliquid imitarentur, in unum confunderent. humani vero poëtae huiusmodi multa perturbate et sine ratione commiscent, risumque hominibus commovent: quos Orpheus delectationis gratiam sequutos ait. omnia enim haec et confusa cernunt et ipsi quoque distrahunt poëtae, numerum quidem atque figuras a concentu seorsum, orationes nudas absque concentu metrice componentes, atque etiam concentus et numeros absque verbis, nudae citharae pulsationi et tibiae sono accommodantes. qua in re difficillimum est cognoscere, quid numerus et concentus sine verbis factus sibi velit, et cui imitationi similis sit earum, quae ratione sunt dignae. intelligere autem oportet multa rusticitate esse refertum id omne, quodcunque sive velocitatem seu

τε καὶ ἁπτὰισίας καὶ φωνῆς θηριώδους σφόδρα φίλον, ὥστ' αὐλήσει γε χρῆσθαι καὶ κιθαρίσει πλὴν ὅσον ὑπὸ 670
ὄρχησίν τε καὶ ᾠδήν· ψιλῷ δ' ἑκατέρῳ πᾶσά τις ἀμουσία καὶ θαυματουργία γίγνοιτ' ἂν τῆς χρήσεως. ταῦτα μὲν ἔχει ταύτῃ λόγον· ἡμεῖς δέ γε οὐχ ὅ τι μὴ δεῖ ταῖς Μούσαις ἡμῶν προσχρῆσθαι τοὺς ἤδη τριακοντούτας καὶ τῶν πεντήκοντα πέραν γεγονότας σκοπούμεθα, ἀλλ' ὅ τί ποτε δεῖ. τόδε μὲν οὖν ἐκ τούτων ὁ λόγος ἡμῖν δοκεῖ μοι σημαίνειν ἤδη τῆς γε χορικῆς
10 Μούσης, ὅτι πεπαιδεῦσθαι δεῖ βέλτιον τοὺς πεντηκοντούτας, ὅσοις πε ἂν ᾄδειν προσήκῃ. τῶν γὰρ ῥυθμῶν καὶ τῶν ἁρμονιῶν ἀναγκαῖον αὐτοῖς ἐξιν εὐαισθήτως ἔχειν καὶ γιγνώσκειν· ἢ πῶς τις τὴν ὀρθότητα γνώσεται τῶν μελῶν, ᾧ προσῆκεν ἢ μὴ προσῆκε τοῦ Δωριεῖ καὶ τοῦ ῥυθμοῦ ὃν ὁ ποιητὴς αὐτῷ προσῆψεν, ὀρθῶς ἢ μή;

ΚΛ. Δῆλον ὡς οὐδαμῶς.

ΑΘ. Γελοῖος γὰρ ὅ γε πολὺς ὄχλος ἡγούμενος ἱκανῶς γιγνώσκειν τό τ' εὐάρμοστον καὶ εὔρυθμον καὶ
20 μή, ὅσοι προσᾴδειν αὐτῶν καὶ βαίνειν ἐν ῥυθμῷ γεγόνασι διηναγκασμένοι· ὅτι δὲ ὀρθῶσι ταῦτα ἀγνοοῦντες

tarditatem vocemque ferarum proxime sequitur, ut aliter tibia citharaque utaris, quam ad tripudium opus sit atque cantum. nudo autem utroque uti abusus est miraculorum ostentationi persimilis et a Musis admodum alienius. sed horum quidem haec ratio est. nos autem haec non consideramus, quam triginta quinquagintaque annos et ultra nati Musis nostris uti non debeant: sed ut quando debeant, videamus. ex istis autem oratio haec nobis id significare videtur, quod ad quinquagesimum annum provectos, quibuscunque canere opus est, melius ceteris chori Musam tenere oporteat. necesse namque est, ut acute concentus et numeros sentiant, atque cognoscant. quomodo enim aliter quispiam rectitudinem cantus cognoscet, cui convenit vel non convenit circa Doricum, et numerum, quem illi poëta adiunxit, utrum recte iunxerit necne? *Cli.* Nullo certe pacto. *Athen.* Vulgus autem deridendum est, cum se putet, quod boni concentus numerique compos est et quod contra, satis cognoscere, quotcunque videlicet ipsorum cantum et numerum sequi coacti sunt quidem. quoniam vero quid in singulis istorum fiat ignorant, quomodo etiam recte fiant haec ne-

αὐτῶν ἕκαστα, οὐ συλλογίζονται. τὸ δέ που προσήκοντα μὲν ἔχον πᾶν μέλος ὀρθῶς ἔχει, μὴ προσήκοντα δὲ ἡμαρτημένως.

Κλ. Ἀναγκαιότατα.

ΑΘ. Τί οὖν; ὁ μηδὲ ὅ τί ποτ' ἔχει γιγνώσκων ἆρα, ὅ τί περ εἴπομεν, ὡς ὀρθῶς γε αὐτὸ ἔχει, γνώσεταί ποτε ἐν ὁτῳοῦν;

Κλ. Καὶ τίς μηχανή;

ΑΘ. Τοῦτ' οὖν, ὡς ἔοικεν, ἀνευρίσκομεν αὖ τὰ νῦν, ὅτι τοῖς ᾠδοῖς ἡμῖν, οὓς νῦν παρακαλοῦμεν καὶ ἐκόντας τινά τρόπον ἀναγκάζομεν ᾄδειν, μέχρι γε τοσούτου πεπαιδεῦσθαι σχεδὸν ἀναγκαῖον, μέχρι τοῦ δυνατὸν εἶναι ξυνακολουθεῖν ἕκαστον ταῖς τε βάσεσι τῶν ῥυθμῶν καὶ ταῖς χορδαῖς ταῖς τῶν μελῶν, ἵνα καθορῶντες τάς τε ἁρμονίας καὶ τοὺς ῥυθμοὺς ἐκλίγεσθαί τε τὰ προσήκοντα οἷοί τ' ὦσιν, ἃ τοῖς τηλικούτοις τε καὶ τοιούτοις ᾄδειν πρέπον, καὶ οὕτως ᾄδωσι, καὶ ᾄδοντες αὐτοί τε ἡδονὰς τὸ παραχρῆμα ἀσινεῖς ἥδωνται καὶ τοῖς νεωτέροις ἡγεμόνες ἠθῶν χρηστῶν ἀσπασμοῦ προσήκοντος γίγνωνται. μέχρι δὲ τοσούτου παιδευθέντες ἀκριβεξέραν ἂν παιδείαν τῆς ἐπὶ τὸ πλῆθος φερούσης εἶεν μετακεχειρισμένοι καὶ τῆς περὶ τοὺς ποιητὰς αὐτούς. τὸ γὰρ τρίτον οὐδεμία ἀνάγκη ποιητῇ

sciunt. quilibet enim cantus, si omnia sibi convenientia continet, recte se habet, si non continet, contra. *Cli.* Sic omnino necesse. *Athen.* Quid porro? si quis rationem eius quidve habeat, non intelligit, numquid, quod diximus, quo pacto recte se habeat, in aliquo unquam cognoscet? *Cli.* Quo pacto id fieri posset? *Athen.* Hoc itaque nunc in his invenisse videmur, quod cantores eos seniores, quos prius quidem nolentes ita provocamus, ut libenter quodammodo canant, usque adeo haec didicisse necesse est, ut eorum quilibet tam numerorum progressus et pondera quam sonos fidium harmonicos consequatur, ut concentus et numeros intelligentes illos eligere possint, quos tantis ac talibus decantari oporteat; atque ita canentes et ipsi voluptates innocuas confestim percipiant et iuvenes ad probos mores de cantibus perducant et oblectamentis. eatenus autem docti exquisitiorem, quam vulgus et poëtae ipsi disciplinam habebunt. tertium quidem illud, sive bona sive mala imitatio sit, non est necesse, ut poëta cognoscat: concentum

γιγνώσκειν, εἴτε καλὸν εἴτε μὴ καλὸν τὸ μίμημα, τὸ δ' ἁρμονίας καὶ ῥυθμοῦ σχεδὸν ἀνάγκη· τοῖς δὲ πάντα τὰ τρία τῆς ἐκλογῆς ἕνεκα τοῦ καλλίσου καὶ δευτέρου, 671
ἢ μηδέποτε ἱκανὸν ἐπῳδὸν γίγνεσθαι νέοις πρὸς ἀρετήν. καὶ ὅ περ ὁ λόγος ἐν ἀρχαῖς ἐβουλήθη, τὴν τῷ τοῦ Διονύσου χορῷ βοήθειαν ἐπιδεῖξαι καλῶς λεγομένην, εἰς δύναμιν εἴρηκε. σκοπώμεθα δὴ εἰ τοῦθ' οὕτω γέγονε. θορυβώδης μέν που ὁ ξύλλογος ὁ τοιοῦτος ἐξ ἀνάγκης προϊούσης τῆς πόσεως ἐπὶ μᾶλλον ἀεὶ ξυμβαίνει γιγνόμενος, ὅ περ ὑπεθέμεθα κατ' ἀρχὰς ἀναγκαῖον εἶναι γίγνεσθαι περὶ τῶν νῦν γιγνομένων.

ΚΛ. Ἀνάγκη.

ΑΘ. Πῶς δέ γε αὐτὸς αὑτοῦ κουφότερος αἴρεται καὶ γέγηθέ τε καὶ παῤῥησίας ἐμπίπλαται καὶ ἀνηκουσίας ἐν τῷ τοιούτῳ τῶν πέλας, ἄρχων δ' ἱκανὸς ἀξιοῖ ἑαυτοῦ τε καὶ τῶν ἄλλων γεγονέναι.

ΚΛ. Τί μήν;

ΑΘ. Οὐκοῦν ἔφαμεν, ὅταν γίγνηται ταῦτα, καθάπερ τινα σίδηρον, τὰς ψυχὰς τῶν πινόντων διαπύρους γιγνομένας μαλθακωτέρας γίγνεσθαι καὶ νεωτέρας, ὥστε εὐαγώγους ξυμβαίνειν τῷ δυναμένῳ τε καὶ ἐπιζαμένῳ παιδεύειν τε καὶ πλάττειν, καθάπερ ὅτ' ἦσαν νέαι; τοῦτον δ' εἶναι τὸν πλάσην τὸν αὐτὸν ὥς περ τότε,

vero numerumque necesse. isti autem omnia tria cognoscere debent, ut optimum et secundum eligere queant. aliter autem nunquam sufficienter, veluti incantationibus quibusdam, poterunt iuvenum animos ad virtutem allicere. enimvero, quod ab initio voluimus, ut videlicet Dionysii choro rectam opem sermo noster afferret, pro viribus dictum est. verum consideremus, an hoc ita sit factum. talis utique conventus hominum necessario compotatione progrediente turbulentior redditur: quod et a principio supposuimus in his, quae fiunt hodie, necessario fieri. *Cli.* Necesse. *Athen.* Ubi certe unusquisque se ipso levior factus extollitur et exsultat audaciaque repletur, nec audit proximum, sed tam sui ipsius quam ceterorum omnium ducem se sufficientem existimat. *Cli.* Absque dubio. *Athen.* An non diximus, quotiens ista fiunt, bibentium animos, sicut in igne ferrum, ita vino ferventes molliores iunioresque fieri, et iccirco facilius deduci, veluti quando iuvenes erant: si quis et possit et sciat erudire eos ac fingere? fictorem vero eundum esse,

τὸν ἀγαθὸν νομοθέτην, οὗ νόμους εἶναι δεῖ συμποτικούς, δυναμένους τὸν εὐέλπιν καὶ θαρραλέον ἐκεῖνον γιγνόμενον καὶ ἀναισχυντότερον τοῦ δέοντος, καὶ οὐκ ἐθέλοντα τάξιν καὶ τὸ κατὰ μέρος σιγῆς καὶ λόγου καὶ πόσεως καὶ Μούσης ὑπομένειν, ἐθέλειν ποιεῖν πάντα τούτοις τἀναντία, καὶ εἰρωνεύεσθαι τῷ μὴ καλῷ θάρρει τὸν κάλλιστον διαμαχόμενον φόβον εἰσπέμπειν οἵουσπερ εἶναι μετὰ δίκης, ὃν αἰδῶ τε καὶ αἰσχύνην θεῖον φόβον ὠνομάκαμεν;

ΚΛ. Ἔστι ταῦτα.

ΑΘ. Τούτων δέ γε τῶν νόμων εἶναι νομοφύλακας καὶ συνδημιουργοὺς αὐτοῖς τοὺς ἀθορύβους καὶ νήφοντας τῶν μὴ νηφόντων στρατηγούς, ὧν δὴ χωρὶς μέθη διαμάχεσθαι δεινότερον ἢ πολεμίοις εἶναι μὴ μετὰ ἀρχόντων ἀθορύβων, καὶ τὸν αὖ μὴ δυνάμενον ἐθέλειν πείθεσθαι τούτοις καὶ τοῖς ἡγεμόσι τοῖς τοῦ Διονύσου, τοῖς ὑπὲρ ἑξήκοντα ἔτη γεγονόσιν, ἴσην καὶ μείζω τὴν αἰσχύνην φέρειν ἢ τὸν τοῖς τοῦ Ἄρεως ἀπειθοῦντα ἄρχουσιν.

ΚΛ. Ὀρθῶς.

ΑΘ. Οὐκοῦν εἴ γε εἴη τοιαύτη μὲν μέθη, τοιαύτη δὲ παιδιά, μῶν οὐκ ὠφεληθέντες ἂν οἱ τοιοῦτοι συμπόται καὶ μᾶλλον φίλοι ἢ πρότερον ἀπαλλάττοιντο ἀλ-

qui et tunc probus legislator dicebatur, cuius in legibus compotationi modus est praescribendus, ut possint hae leges confidentem illum audacemque et impudentiorem, quam deceat, factum, qui ordinem vicissim in silentio, sermone, compotatione et musica servare non vult, cohibere atque ita instruere, ut contra in omnibus facere velit quam faciat; contra insurgentem ac turpem confidentiam admoventes timorem optimum cum iustitia. quem quidem timorem divinum pudorem et verecundiam nominavimus. *Cli.* Est, ut ais. *Athen.* Harum legum auctores atque custodes a perturbatione et ebrietate remotos esse oportet, vinolentorum duces. sine quibus contra ebrietatem pugnare durius est, quam sine ducibus sobriis cum hostibus dimicare. si quis autem neque obtemperare velit his neque ducibus Dionysii ultra annos sexaginta natis, aequale vel etiam maius dedecus ferat, quam qui ducibus Martis non paret. *Cli.* Recte. *Athen.* Nonne, si talis ebrietas talisque ludus adhiberetur, compotatores magnam inde utilitatem consecuti, et maiori, quam prius, invicem benevolentia iuncti,

ἡήλων, ἀλλ' οὐχ ὥς περ τὰ νῦν ἐχθροί, κατὰ νόμους 672
δὲ πᾶσαν τὴν ξυνουσίαν ξυγγενόμενοι καὶ ἀκολουθήσαντες, ὁπότε ἀφηγοῖντο οἱ νήφοντες τοῖς μὴ νήφουσιν;

ΚΛ. Ὀρθῶς, εἴ γε δὴ εἴη τοιαύτη οἵαν νῦν λέγεις.

ΑΘ. Μὴ τοίνυν ἐκεῖνό γ' ἔτι τῆς τοῦ Διονύσου δωρεᾶς ψέγωμεν ἀηλῶς, ὡς ἔστι κακὴ καὶ εἰς πόλιν οὐκ ἀξία παραδέχεσθαι. καὶ γὰρ ἔτι πλείω τις ἂν ἐπεξέλθοι λέγων, ἐπεί καὶ τὸ μέγιστον ἀγαθὸν ὃ δωρεῖται, λέγειν μὲν ὄκνος εἰς τοὺς πολλοὺς διὰ τὸ κακῶς τοὺς ἀνθρώπους αὐτὸ ὑπολαβεῖν καὶ γνῶναι λεχθέν.

ΚΛ. Τὸ ποῖον δή;

ΑΘ. Λόγος τις ἅμα καὶ φήμη ὑπορρεῖ πως, ὡς ὁ θεὸς οὗτος ὑπὸ τῆς μητρυιᾶς Ἥρας διεφορήθη τῆς ψυχῆς τὴν γνώμην, διὸ τάς τε βακχείας καὶ πᾶσαν τὴν μανικὴν ἐμβάλλει χορείαν τιμωρούμενος· ὅθεν καὶ τὸν οἶνον ἐπὶ τοῦτ' αὐτὸ δεδώρηται. ἐγὼ δὲ τὰ μὲν τοιαῦτα τοῖς ἀσφαλὲς ἡγουμένοις εἶναι λέγειν περὶ θεῶν ἀφίημι λέγειν, τὸ δὲ τοσόνδε οἶδα, ὅτι πᾶν ζῷον, ὅσον αὐτῷ προσήκει νῦν ἔχειν τελεωθέντι, τοιοῦτον καὶ τοσοῦτον οὐδὲν ἔχον ποτὲ φύεται. ἐν τούτῳ

non autem, sicuti nunc, inimici discederent? cum legitime invicem conversati essent et ducentibus sobriis temulenti quoque legibus obtemperassent. *Cli.* Sic certe, si talis esset ebrietas, qualem modo narrabas. *Athen.* Ne igitur Liberi patris munus simpliciter ita vituperemus, quasi malum sit neque dignum, ut in civitate recipiatur. atqui plura etiam in hanc sententiam referri possent, quamvis maximum illud bonum, quod largitur Dionysius, efferre in multos verear; quoniam homines, cum audierint, non recte accipiant nec intelligant. *Cli.* Quid istud? *Athen.* Rumor quidam et fama defluxit ad nos, hunc Deum a noverca Iunone ex animi sententia olim deturbatum fuisse, atque iccirco ulciscendi gratia bacchationis choream omnemque insaniam induxisse, et vinum ad hoc ipsum tribuisse. ego autem haec illis dimitto, qui tutum arbitrantur talia de Diis dicere. illud tamen scio, quod nullum animal cum tanta ac tali nascitur intelligentia, quanta et qualis sibi, cum provectum fuerit, convenit. hoc

ΑΘ. Τὴν δέ γε ὀρθότητά που τῶν τοιούτων ἡ ἰσότης ἄν, ὡς ἐπὶ τὸ πᾶν εἰπεῖν, ἐξεργάζοιτο τοῦ τε τοσούτου καὶ τοῦ τοιούτου πρότερον, ἀλλ' οὐχ ἡδονή.

ΚΛ. Καλῶς.

ΑΘ. Οὐκοῦν ἡδονῇ κρίνοιτ' ἂν μόνον ἐκεῖνο ὀρθῶς, ὃ μή τέ τινα ὠφέλειαν μήτε ἀλήθειαν μήτε ὁμοιότητ[illegible] ἀπεργαζόμενον παρέχεται, μηδ' αὖ γε βλάβην, ἀλλ' αὐτοῦ τούτου μόνου ἕνεκα γίγνοιτο τοῦ ζυμπαρεπομένου τοῖς ἄλλοις, τῆς χάριτος, ἣν δὴ κάλλιστά τις ὀνομάσαι ἂν ἡδονήν, ὅταν μηδὲν αὐτῇ τούτων ἑπακολουθῇ;

ΚΛ. Ἀβλαβῆ λέγεις ἡδονὴν μόνον.

ΑΘ. Ναί, καὶ παιδιάν γε εἶναι τὴν αὐτὴν ταύτην λέγω τότε ὅταν μή τέ τι βλάπτῃ μήτε ὠφελῇ σπουδῆς ἢ λόγου ἄξιον.

ΚΛ. Ἀληθέστατα λέγεις.

ΑΘ. Ἆρ' οὖν οὐ πᾶσαν μίμησιν φαῖμεν ἂν ἐκ τῶν νῦν λεγομένων ἥκιστα ἡδονῇ προσήκειν κρίνεσθαι καὶ δόξῃ μὴ ἀληθεῖ, καὶ δὴ καὶ πᾶσαν ἰσότητα; 2
658 οὐ γὰρ εἴ τῳ δοκεῖ ἢ μή τις χαίρει τῳ, τό γε ἴσον οὐδὲ τὸ σύμμετρον ἂν εἴη σύμμετρον ὅλως, ἀλλὰ τῷ ἀληθεῖ πάντων μάλιστα, ἥκιστα δὲ ὁτῳοῦν ἄλλῳ.

Rectitudinem vero talium, ut universaliter dicam, aequalitas ipsa tanti talisque efficit potius quam voluptas. *Cli.* Praeclare. *Athen.* Voluptate igitur sola id merito iudicabitur, quod neque utilitatem neque veritatem neque similitudinem neque rursus damnum efficit, sed solum causa gratiae illius fit, quae concomitatur alia: quam voluptatem recte possumus nominare, quando videlicet nihil istorum ipsam sequitur. *Cli.* Voluptatem dicis solam, quae minime noceat? *Athen.* Nempe, et iocum ac ludum rursus eam ipsam appello, quando nec documenti neque utilitatis aliquid affert aestimatione dignum. *Cli.* Vera loqueris. *Athen.* Sequitur ex his, quae diximus, nullam imitationem voluptate et opinione non vera iudicandam esse, similiter etiam aequalitatem nullam. non enim quia huic videatur aut quoniam hic gaudeat, iccirco aequale ipsum aequale est aut commensurabile ipsum etiam commensurabile;

ΚΛ. Παντάπασι μὲν οὖν.

ΑΘ. Οὐκοῦν μουσικήν γε πᾶσάν φαμεν εἰκαστικὴν τε εἶναι καὶ μιμητικήν;

ΚΛ. Τί μήν;

ΑΘ. Ἥκιστ' ἄρα ὅταν τις μουσικὴν ἡδονῇ φῇ κρίνεσθαι, τοῦτον ἀποδεκτέον τὸν λόγον, καὶ ζητητέον ἥκιστα ταύτην ὡς σπουδαίαν, εἴ τις ἄρα που καὶ γίγνοιτο, ἀλλ' ἐκείνην τὴν ἔχουσαν τὴν ὁμοιότητα τῷ τοῦ καλοῦ μιμήματι.

ΚΛ. Ἀληθέστατα.

ΑΘ. Καὶ τούτοις δὴ τοῖς τὴν καλλίστην ᾠδήν τε ζητοῦσι καὶ Μοῦσαν ζητητέον, ὡς ἔοικεν, οὐχ ἥ τις ἡδεῖα ἀλλ' ἥ τις ὀρθή. μιμήσεως γὰρ ἦν, ὡς ἔφαμεν, ὀρθότης, εἰ τὸ μιμηθὲν ὅσον τε καὶ οἷον ἦν ἀποτελοῖτο.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Καὶ μὴν τοῦτό γε πᾶς ἂν ὁμολογοῖ περὶ τῆς μουσικῆς, ὅτι πάντα τὰ περὶ αὐτὴν ἐξ ποιήματα μίμησίς τε καὶ ἀπεικασία. καὶ τοῦτό γε μῶν οὐκ ἂν ξύμπαντες ὁμολογοῖεν ποιηταί τε καὶ ἀκροαταὶ καὶ ὑποκριταί;

ΚΛ. Καὶ μάλα.

ΑΘ. Δεῖ δὴ καθ' ἕκαστόν γε, ὡς ἔοικε, γιγνώσκειν

sed nullo alio quam veritate sola. *Cli.* Sic est omnino. *Athen.* Atqui musicam omnem imitatricem et similium effectricem esse dicimus. *Cli.* Cui dubium? *Athen.* Cum ergo quis sola voluptate musicam asserit iudicari, minime audiendus est, minimeque huiusmodi musica, si alicubi colitur, quaerenda est; sed illa, quae per imitationem boni similitudinem possidet. *Cli.* Vera haec sunt. *Athen.* Qui ergo cantus speciem et Musam quaerunt optimam, non eam, quae iucunda, sed quae recta est, quaerere debent. rectitudo enim imitationis in hoc consistit, ut dicebamus, si tantum et tale fiat, quod imitatione exprimitur, quantum et quale in se ipso est. *Cli.* Cui dubium? *Athen.* Atqui illud de musica omnes concederent, omnia videlicet poëmata eius imitationem esse atque assimilationem. quod et poëtae omnes et auditores histrionesque concederent. *Cli.* Magnopere. *Athen.* Oportet igitur circa unumquodque poëma et figmentum, ut videtur, quid

τῶν ποιημάτων, ὅ τί ποτε ἔχει, τὸν μέλλοντα ἐν αὐτῷ μὴ ἁμαρτήσεσθαι. μὴ γὰρ γιγνώσκων τὴν οὐσίαν, τί ποτε βούλεται καὶ ὅτου ποτέ ἐστιν εἰκὼν ὄντως, σχολῇ τήν γε ὀρθότητα τῆς βουλήσεως ἢ καὶ ἁμαρτίαν αὐτοῦ διαγνώσεται.

Κλ. Σχολῇ· πῶς δ' οὔ;

Αθ. Ὁ δὲ τὸ ὀρθῶς μὴ γιγνώσκων ἆρ' ἂν ποτε τό γε εὖ καὶ τὸ κακῶς δυνατὸς εἴη διαγνῶναι; λέγω δ' οὐ πάνυ σαφῶς, ἀλλ' ὧδε σαφέστερον ἴσως ἂν λεχθείη.

Κλ. Πῶς;

Αθ. Εἰσὶ δή που κατὰ τὴν ὄψιν ἡμῖν ἀπεικασίαι μυρίαι.

Κλ. Ναί.

Αθ. Τί οὖν; εἴ τις καὶ ἐν τούτοις ἀγνοοῖ τῶν μεμιμημένων ὅ τί ποτ' ἔστιν ἕκαστον τῶν σωμάτων, ἆρ' ἄν ποτε τό γε ὀρθῶς αὐτῶν εἰργασμένων γνοίη; λέγω δὲ τὸ τοιόνδε, οἷον τοὺς ἀριθμοὺς τοῦ σώματος καὶ ἑκάστων τῶν μερῶν τὰς θέσεις εἰ ἔχει, ὅσοι τ' εἰσὶ καὶ ὁποῖα παρ' ὁποῖα αὐτῶν κείμενα τὴν προσήκουσαν τάξιν ἀπείληφε, καὶ ἔτι δὴ χρώματά τε καὶ σχήματα, ἢ πάντα ταῦτα τεταραγμένως εἴργασαι. μῶν δοκεῖ ταῦτ' ἄν ποτε διαγνῶναί τις τὸ παράπαν ἀγνοῶν ὅ τί ποτ' ἔστι τὸ μεμιμημένον ζῷον;

sit, quod effingitur, cognoscere illum, qui in ipso non sit erraturus. nam qui nec novit, quid essentia ipsius velit, nec cuius imago sit, nunquam rectitudinem eius et errorem intelliget. *Cli.* Nunquam certe. *Athen.* Qui autem rectitudinem operis non intelligit, num, bene an male factum sit, cognoscet? obscurius equidem loquor. forte vero planius ita mihi dicetur. *Cli.* Quo pacto? *Athen.* Multae ad ad-pectum pertinentes similitudines fiunt. *Cli.* Certe. *Athen.* Si quis corporis depicti modum non teneat, cognoscetne unquam, utrum recte sit pictum? ut puta, utrum articulos corporis et singulas particulas habeat et numerum et qualitatem et locationem singulorum, prout decet ad singula, colores praeterea atque figuras: vel contra, utrum perturbate haec omnia picta sint? an censes haec aliquem cogniturum, qui animal, quod pingitur, minime noverit? *Cli.* Nullo modo. *Athen.*

ΚΛ. Καὶ πῶς;

ΑΘ. Τί δ'; εἰ γιγνώσκοιμεν ὅτι τὸ γεγραμμένον ἢ τὸ πεπλασμένον ἐξὶν ἄνθρωπος, καὶ τὰ μέρη πάντα τὰ ἑαυτοῦ καὶ χρώματα ἅμα καὶ σχήματα ἀπείληφεν 669
ὑπὸ τῆς τέχνης, ἆρά γε ἀναγκαῖον ἤδη τῷ ταῦτα γνόντι καὶ ἐκεῖνο ἑτοίμως γιγνώσκειν, εἴτε καλὸν εἴτε ὅπῃ ποτὲ ἐλλιπὲς ἂν εἴη κάλλους;

ΚΛ. Πάντες μέντ' ἄν ὡς ἔπος εἰπεῖν, ὦ ξένε, τὰ καλὰ τῶν ζώων ἐγιγνώσκομεν.

ΑΘ. Ὀρθότατα λέγεις. ἆρ' οὖν οὐ περὶ ἑκάστην εἰκόνα καὶ ἐν γραφικῇ καὶ ἐν μουσικῇ καὶ πάντῃ τὸν μέλλοντα ἔμφρονα κριτὴν ἔσεσθαι δεῖ ταῦτα τρία ἔχειν, ὅ τε ἐξι πρῶτον γιγνώσκειν, ἔπειτα ὡς ὀρθῶς, ἔπειθ' ὡς εὖ, τὸ τρίτον, εἰργασαι τῶν εἰκόνων ἡτιοῦν ῥήμασί τε καὶ μέλεσι καὶ τοῖς ῥυθμοῖς;

ΚΛ. Ἔοικε γοῦν.

ΑΘ. Μὴ τοίνυν ἀπείπωμεν λέγοντες τὸ περὶ τὴν μουσικὴν ἡμῖν χαλεπόν. ἐπειδὴ γὰρ ὑμνεῖται περὶ αὐτὴν διαφερόντως ἢ τὰς ἄλλας εἰκόνας, εὐλαβείας δὴ δεῖται πλείστης πασῶν εἰκόνων. ἁμαρτών τε γάρ τις μέγιστ' ἂν βλάπτοιτο, ἤθη κακὰ φιλοφρονούμενος, χαλεπώτατόν τε αἰσθέσθαι διὰ τὸ τοὺς ποιητὰς φαυλοτέρους εἶναι

Sin autem cognoscat aliquis, hominem esse id, quod pictum vel quoquo modo formatum est, suasque partes omnes et figuras et colores ab arte accepisse; num idem necessario, sicubi defectus aliquis pulchritudinis in eo sit, continuo agnoscet? *Cli.* Omnes ferme hoc modo, hospes, quae in animalibus pulchre se habent, cognosceremus. *Athen.* Recte loqueris. nonne igitur in imagine omni, sive per picturam sive per musicam sive quomodocunque aliter fiat, tria haec prudentem iudicem habere oportet? primum ut cognoscat, quid sit, quod in imitationem cadit: secundum ut recte: tertium ut bene, quaelibet similitudo verbis, concentibus, numeris effecta sit, noverit? *Cli.* Videtur. *Athen.* Ne pigeat igitur difficultatem, quae in musica est, exponere. porro, quoniam magis haec quam aliae similitudines celebratur, maiore quam in ceteris opus est diligentia. nam qui in hac aberrat, maxime laeditur, cum sub eius suavitate malos imbibat mores. difficile autem id cognitu est, quoniam poëtae non ita, ut Musae,

ποιητὰς αὐτῶν τῶν Μουσῶν. οὐ γὰρ ἂν ἐκεῖναί γε ἐξαμάρτοιέν ποτε τοσοῦτον, ὥστε ῥήματα ἀνδρῶν ποιήσασαι τὸ σχῆμα γυναικῶν καὶ μέλος ἀποδοῦναι, καὶ μέλος ἐλευθέρων αὖ καὶ σχήματα ξυνθεῖσαι ῥυθμοὺς δούλων καὶ ἀνελευθέρων προσαρμόττειν, οὐδ' αὖ ῥυθμοὺς καὶ σχῆμα ἐλευθέριον ὑποθεῖσαι μέλος ἢ λόγον ἐναντίον ἀποδοῦναι τοῖς ῥυθμοῖς· ἔτι δὲ θηρίων φωνὰς καὶ ἀνθρώπων καὶ ὀργάνων καὶ πάντας ψόφους εἰς ταὐτὸ οὐκ ἄν ποτε ξυνθεῖεν, ὡς ἕν τι μιμούμεναι. ποιηταὶ δ' ἀνθρώπινοι σφόδρα τὰ τοιαῦτα ἐμπλέκοντες καὶ συγκυκῶντες ἀλόγως γέλωτ' ἂν παρασκευάζοιεν τῶν ἀνθρώπων ὅσους φησὶν Ὀρφεὺς λαχεῖν ὥραν τῆς τέρψιος· ταῦτά τε γὰρ ὁρῶσι πάντα κυκώμενα καὶ ἔτι διασπῶσιν, οἱ ποιηταὶ ῥυθμὸν μὲν καὶ σχήματα μέλους χωρίς, λόγους ψιλοὺς εἰς μέτρα τιθέντες, μέλος δ' αὖ καὶ ῥυθμὸν ἄνευ ῥημάτων, ψιλῇ κιθαρίσει τε καὶ αὐλήσει προσχρώμενοι, ἐν οἷς δὴ παγχάλεπον ἄνευ λόγου γιγνόμενον ῥυθμόν τε καὶ ἁρμονίαν γιγνώσκειν, ὅ τί τε βούλεται καὶ ὅτῳ ἔοικε τῶν ἀξιολόγων μιμημάτων. ἀλλ' ὑπολαβεῖν ἀναγκαῖον ὅτι τὸ τοιοῦτόν γε πολλῆς ἀγροικίας μεσὸν πᾶν, ὁπόσον τάχους

artem poëticam tenent. nunquam enim illae tantum errare possent, ut in effingendis virorum verbis colorem mulierum concentusque redderent; vel in concentibus figurisque liberorum servorum et illiberalium numeros; vel in numeris figurisque liberis concentum vel sermonem numeris contrarium. nunquam insuper ferarum voces atque hominum pulsandorumque instrumentorum et strepitus omnes, quasi unum aliquid imitarentur, in unum confunderent. humani vero poëtae huiusmodi multa perturbate et sine ratione commiscent, risumque hominibus commovent: quos Orpheus delectationis gratiam sequntos ait. omnia enim haec et confusa cernunt et ipsi quoque distrahunt poëtae, numerum quidem atque figuras a concentu seorsum, orationes nudas absque concentu metrice componentes, atque etiam concentus et numeros absque verbis, nudae citharae pulsationi et tibiae sono accommodantes. qua in re difficillimum est cognoscere, quid numerus et concentus sine verbis factus sibi velit, et cui imitationi similis sit earum, quae ratione sunt dignae. intelligere autem oportet multa ruditate esse refertum id omne, quodcunque sive velocitatem seu

τε καὶ ἁπταίσίας καὶ φωνῆς θηριώδους σφόδρα φίλον, ὥστ' αὐλήσει γε χρῆσθαι καὶ κιθαρίσει πλὴν ὅσον ὑπὸ 670
ὄρχησίν τε καὶ ᾠδήν· ψιλῷ δ' ἑκατέρῳ πᾶσά τις ἀμουσία καὶ θαυματουργία γίγνοιτ' ἂν τῆς χρήσεως. ταῦτα μὲν ἔχει ταύτη λόγον· ἡμεῖς δέ γε οὐχ ὅ τι μὴ δεῖ ταῖς Μούσαις ἡμῶν προσχρῆσθαι τοὺς ἤδη τριακοντούτας καὶ τῶν πεντήκοντα πέραν γεγονότας σκοπούμεθα, ἀλλ' ὅ τί ποτε δεῖ. τόδε μὲν οὖν ἐκ τούτων ὁ λόγος ἡμῖν δοκεῖ μοι σημαίνειν ἤδη τῆς γε χορικῆς
10 Μούσης, ὅτι πεπαιδεῦσθαι δεῖ βέλτιον τοὺς πεντηκοντούτας, ὅσοις πε ἂν ᾄδειν προσήκῃ. τῶν γὰρ ῥυθμῶν καὶ τῶν ἁρμονιῶν ἀναγκαῖον αὐτοῖς ἐστὶν εὐαισθήτως ἔχειν καὶ γιγνώσκειν· ἢ πῶς τις τὴν ὀρθότητα γνώσεται τῶν μελῶν, ᾧ προσῆκεν ἢ μὴ προσῆκε τοῦ Δωριστὶ καὶ τοῦ ῥυθμοῦ ὃν ὁ ποιητὴς αὐτῷ προσῆψεν, ὀρθῶς ἢ μή;

ΚΛ. Δῆλον ὡς οὐδαμῶς.

ΑΘ. Γελοῖος γὰρ ὅ γε πολὺς ὄχλος ἡγούμενος ἱκανῶς γιγνώσκειν τό τ' εὐάρμοστον καὶ εὔρυθμον καὶ
10 μή, ὅσοι προσᾴδειν αὐτῶν καὶ βαίνειν ἐν ῥυθμῷ γεγόνασι διηναγκασμένοι· ὅτι δὲ δρῶσι ταῦτα ἀγνοοῦντες

tarditatem vocemque ferarum proxime sequitur, ut aliter tibia citharaque utaris, quam ad tripudium opus sit atque cantum. nudo autem utroque uti abusus est miraculorum ostentationi persimilis et a Musis admodum alienius. sed horum quidem haec ratio est. nos autem haec non consideramus, quam triginta quinquagintaque annos et ultra nati Musis nostris uti non debeant: sed ut quando debeant, videamus. ex istis autem oratio haec nobis id significare videtur, quod ad quinquagesimum annum provectos, quibuscunque canere opus est, melius ceteris chori Musam tenere oporteat. necesse namque est, ut acute concentus et numeros sentiant, atque cognoscant. quomodo enim aliter quispiam rectitudinem cantus cognoscet, cui convenit vel non convenit circa Doricum, et numerum, quem illi poëta adiunxit, utrum recte iunxerit necne? *Cli.* Nullo certe pacto. *Athen.* Vulgus autem deridendum est, cum se putet, quod boni concentus numerique compos est et quod contra, satis cognoscere, quotcunque videlicet ipsorum cantum et numerum sequi coacti sunt quidem. quoniam vero quid in singulis istorum fiat ignorant, quomodo etiam recte fiant haec ne-

αὐτῶν ἕκαστα, οὐ συλλογίζονται. τὸ δέ που προσήκοντα μὲν ἔχον πᾶν μέλος ὀρθῶς ἔχει, μὴ προσήκοντα δὲ ἡμαρτημένως.

KΛ. Ἀναγκαιότατα.

ΑΘ. Τί οὖν; ὁ μηδὲ ὅ τί ποτ' ἔχει γιγνώσκων ἆρα, ὅ τί περ εἴπομεν, ὡς ὀρθῶς γε αὐτὸ ἔχει, γνώσεταί ποτε ἐν ὁτῳοῦν;

KΛ. Καὶ πῇ μηχανή;

ΑΘ. Τοῦτ' οὖν, ὡς ἔοικεν, ἀνευρίσκομεν αὖ τὲ νῦν, ὅτι τοῖς ᾠδοῖς ἡμῖν, οἷς νῦν παρακαλοῦμεν καὶ ἑκόντας τινά τρόπον ἀναγκάζομεν ᾄδειν, μέχρι γε τοσούτου πεπαιδεῦσθαι σχεδὸν ἀναγκαῖον, μέχρι τοῦ δυνατὸν εἶναι ξυνακολουθεῖν ἕκαστον ταῖς τε βάσεσι τῶν ῥυθμῶν καὶ ταῖς χορδαῖς ταῖς τῶν μελῶν, ἵνα καθορῶντες τάς τε ἁρμονίας καὶ τοὺς ῥυθμοὺς ἐκλέγεσθαί τε τὰ προσήκοντα οἷοί τ' ὦσιν, ἃ τοῖς τηλικούτοις τε καὶ τοιούτοις ᾄδειν πρέπον, καὶ οὕτως ᾄδωσι, καὶ ᾄδοντες αὐτοί τε ἡδονὰς τὸ παραχρῆμα ἀσινεῖς ἥδωνται καὶ τοῖς νεωτέροις ἡγεμόνες ἠθῶν χρηστῶν ἀσπασμοῦ προσήκοντος γίγνωνται. μέχρι δὲ τοσούτου παιδευθέντες ἀκριβεξέραν ἂν παιδείαν τῆς ἐπὶ τὸ πλῆθος φερούσης εἶεν μετακεχειρισμένοι καὶ τῆς περὶ τοὺς ποιητὰς αὐτούς. τὸ γὰρ τρίτον οὐδεμία ἀνάγκη ποιητῇ

sciunt. quilibet enim cantus, si omnia sibi convenientia continet, recte se habet, si non continet, contra. *Cli.* Sic omnino necesse. *Athen.* Quid porro? si quis rationem eius quidve habeat, non intelligit, numquid, quod diximus, quo pacto recte se habeat, in aliquo unquam cognoscet? *Cli.* Quo pacto id fieri posset? *Athen.* Hoc itaque nunc in his invenisse videmur, quod cantores eos seniores, quos prius quidem nolentes ita provocamus, ut libenter quodammodo canant, usque adeo haec didicisse necesse est, ut eorum quilibet tam numerorum progressus et pondera quam sonos fidium harmonicos consequatur, ut concentus et numeros intelligentes illos eligere possint, quos tantis ac talibus decantari oporteat; atque ita canentes et ipsi voluptates innocuas confestim percipiant et iuvenes ad probos mores de cantibus perducant et oblectamentis. eatenus autem docti exquisitiorem, quam vulgus et poëtae ipsi disciplinam habebunt. tertium quidem illud, sive bona sive mala imitatio sit, non est necesse, ut poëta cognoscat: concentum

γιγνώσκειν, εἴτε καλὸν εἴτε μὴ καλὸν τὸ μίμημα, τὸ δ' ἁρμονίας καὶ ῥυθμοῦ σχεδὸν ἀνάγκη· τοῖς δὲ πάντα τὰ τρία τῆς ἐκλογῆς ἕνεκα τοῦ καλλίσου καὶ δευτέρου, 671
ἢ μηδέποτε ἱκανὸν ἐπῳδὸν γίγνεσθαι νέοις πρὸς ἀρετήν. καὶ ὃ περ ὁ λόγος ἐν ἀρχαῖς ἐβουλήθη, τὴν τῷ τοῦ Διονύσου χορῷ βοήθειαν ἐπιδεῖξαι καλῶς λεγομένην, εἰς δύναμιν εἴρηκε. σκοπώμεθα δὴ εἰ τοῦθ' οὕτω γέγονε. θορυβώδης μέν που ὁ ξύλλογος ὁ τοιοῦτος ἐξ ἀνάγκης προϊούσης τῆς πόσεως ἐπὶ μᾶλλον ἀεὶ ξυμβαίνει γιγνόμενος, ὃ περ ὑπεθέμεθα κατ' ἀρχὰς ἀναγκαῖον εἶναι γίγνεσθαι περὶ τῶν νῦν γιγνομένων.

ΚΛ. Ἀνάγκη.

ΑΘ. Πῶς δέ γε αὐτὸς αὑτοῦ κουφότερος αἴρεται καὶ γέγηθέ τε καὶ παῤῥησίας ἐμπίπλαται καὶ ἀνηκουσίας ἐν τῷ τοιούτῳ τῶν πέλας, ἄρχων δ' ἱκανὸς ἀξιοῖ ἑαυτοῦ τε καὶ τῶν ἄλλων γεγονέναι.

ΚΛ. Τί μήν;

ΑΘ. Οὐκοῦν ἔφαμεν, ὅταν γίγνηται ταῦτα, καθάπερ τινα σίδηρον, τὰς ψυχὰς τῶν πινόντων διαπύρους γιγνομένας μαλθακωτέρας γίγνεσθαι καὶ νεωτέρας, ὥστε εὐαγώγους ξυμβαίνειν τῷ δυναμένῳ τε καὶ ἐπιζαμένῳ παιδεύειν τε καὶ πλάττειν, καθα περ ὅτ' ἦσαν νέαι; τοῦτον δ' εἶναι τὸν πλάσην τὸν αὐτὸν ὥς περ τότε,

vero numerumque necesse. isti autem omnia tria cognoscere debent, ut optimum et secundum eligere queant. aliter autem nunquam sufficienter, veluti incantationibus quibusdam, poterunt iuvenum animos ad virtutem allicere. enimvero, quod ab initio voluimus, ut videlicet Dionysii choro rectam opem sermo noster afferret, pro viribus dictum est. verum consideremus, an hoc ita sit factum. talis utique conventus hominum necessario compotatione progrediente turbulentior redditur: quod et a principio supposuimus in his, quae fiunt hodie, necessario fieri. *Cli.* Necesse. *Athen.* Ubi certe unusquisque se ipso levior factus extollitur et exsultat audaciaque repletur, nec audit proximum, sed tam sui ipsius quam ceterorum omnium ducem se sufficientem existimat. *Cli.* Absque dubio. *Athen.* An non diximus, quotiens ista fiunt, bibentium animos, sicut in igne ferrum, ita vino ferventes molliores iunioresque fieri, et iccirco facilius deduci, veluti quando iuvenes erant: si quis et possit et sciat erudire eos ac fingere? fictorem vero eundum esse,

τὸν ἀγαθὸν νομοθέτην, οὗ νόμους εἶναι δεῖ συμποτικούς, δυναμένους τὸν εὔελπιν καὶ θαῤῥαλέον ἐκεῖνον γιγνόμενον καὶ ἀναισχυντότερον τοῦ δέοντος, καὶ οὐκ ἐθέλοντα τάξιν καὶ τὸ κατὰ μέρος σιγῆς καὶ λόγου καὶ πόσεως καὶ Μούσης ὑπομένειν, ἐθέλειν ποιεῖν πάντα τούτοις τἀναντία, καὶ εἰσιόντι τῷ μὴ καλῷ θαῤῥεῖ τὸν κάλλιστον διαμαχόμενον φόβον εἰσπέμπειν οἵουσ' εἶναι μετὰ δίκης, ὃν αἰδῶ τε καὶ αἰσχύνην θεῖον φόβον ὠνομάκαμεν;

ΚΛ. Ἔστι ταῦτα.

ΑΘ. Τούτων δέ γε τῶν νόμων εἶναι νομοφύλακας καὶ συνδημιουργοὺς αὐτοῖς τοὺς ἀθορύβους καὶ νήφοντας τῶν μὴ νηφόντων στρατηγούς, ὧν δὴ χωρὶς μέθη διαμάχεσθαι δεινότερον ἢ πολεμίοις εἶναι μὴ μετὰ ἀρχόντων ἀθορύβων, καὶ τὸν αὖ μὴ δυνάμενον ἐθέλειν πείθεσθαι τούτοις καὶ τοῖς ἡγεμόσι τοῖς τοῦ Διονύσου, τοῖς ὑπὲρ ἑξήκοντα ἔτη γεγονόσιν, ἴσην καὶ μείζω τὴν αἰσχύνην φέρειν ἢ τὸν τοῖς τοῦ Ἄρεως ἀπειθοῦντα ἄρχουσιν.

ΚΛ. Ὀρθῶς.

ΑΘ. Οὐκοῦν εἴ γε εἴη τοιαύτη μὲν μέθη, τοιαύτη δὲ παιδιά, μῶν οὐκ ὠφεληθέντες ἂν οἱ τοιοῦτοι συμπόται καὶ μᾶλλον φίλοι ἢ πρότερον ἀπαλλάττοιντο ἀλ-

qui et tunc probus legislator dicebatur, cuius in legibus compotationi modus est praescribendus, ut possint hae leges confidentem illum audacemque et impudentiorem, quam deceat, factum, qui ordinem vicissim in silentio, sermone, compotatione et musica servare non vult, cohibere atque ita instruere, ut contra in omnibus facere velit quam faciat; contra insurgentem ac turpem confidentiam admoventes timorem optimum cum iustitia. quem quidem timorem divinum pudorem et verecundiam nominavimus. *Cli.* Est, ut ais. *Athen.* Harum legum auctores atque custodes a perturbatione et ebrietate remotos esse oportet, vinolentorum duces. sine quibus contra ebrietatem pugnare durius est, quam sine ducibus sobriis cum hostibus dimicare. si quis autem neque obtemperare velit his neque ducibus Dionysii ultra annos sexaginta natis, aequale vel etiam maius dedecus ferat, quam qui ducibus Martis non paret. *Cli.* Recte. *Athen.* Nonne, si talis ebrietas talisque ludus adhiberetur, compotatores magnam inde utilitatem consecuti, et maiori, quam prius, invicem benevolentia iuncti,

ἥλιον, ἀλλ' οὐχ ὥς περ τὰ νῦν ἐχθροί, κατὰ νόμους 672
δὲ πᾶσαν τὴν ξυνουσίαν ξυγγενόμενοι καὶ ἀκολουθήσαντες, ὁπότε ἀφηγοῖντο οἱ νήφοντες τοῖς μὴ νήφουσιν;

ΚΛ. Ὀρθῶς, εἴ γε δὴ εἴη τοιαύτη οἵαν νῦν λέγεις.

ΑΘ. Μὴ τοίνυν ἐκεῖνό γ' ἔτι τῆς τοῦ Διονύσου δωρεᾶς ψιγώμεν ἁπλῶς, ὡς ἔξι κακὴ καὶ εἰς πόλιν οὐκ ἀξία παραδέχεσθαι. καὶ γὰρ ἔτι πλείω τις ἂν ἐπεξέλθοι λέγων, ἐπεί καὶ τὸ μέγιστον ἀγαθὸν ὃ δωρεῖται, λέγειν μὲν ὄκνος εἰς τοὺς πολλοὺς διὰ τὸ κακῶς τοὺς ἀνθρώπους αὐτὸ ὑπολαβεῖν καὶ γνῶναι λεχθέν.

ΚΛ. Τὸ ποῖον δή;

ΑΘ. Λόγος τις ἅμα καὶ φήμη ὑπορρεῖ πως, ὡς ὁ θεὸς οὗτος ὑπὸ τῆς μητρυιᾶς Ἥρας διεφορήθη τῆς ψυχῆς τὴν γνώμην, διὰ τάς τε βακχείας καὶ πᾶσαν τὴν μανικὴν ἐμβάλλει χορείαν τιμωρούμενος· ὅθεν καὶ τὸν οἶνον ἐπὶ τοῦτ' αὐτὸ δεδώρηται. ἐγὼ δὲ τὰ μὲν τοιαῦτα τοῖς ἀσφαλὲς ἡγουμένοις εἶναι λέγειν περὶ θεῶν ἀφίημι λέγειν, τὸ δὲ τοσόνδε οἶδα, ὅτι πᾶν ζῷον, ὅσον αὐτῷ προσήκει νῦν ἔχειν τελεωθέντι, τοιοῦτον καὶ τοσοῦτον οὐδὲν ἔχον ποτὲ φύεται. ἐν τούτῳ

non autem, sicuti nunc, inimici discederent? cum legitime invicem conversati essent et ducentibus sobriis temulenti quoque legibus obtemperassent. *Cli.* Sic certe, si talis esset ebrietas, qualem modo narrabas. *Athen.* Ne igitur Liberi patris munus simpliciter ita vituperemus, quasi malum sit neque dignum, ut in civitate recipiatur. atqui plura etiam in hanc sententiam referri possent, quamvis maximum illud bonum, quod largitur Dionysius, efferre in multos verear; quoniam homines, cum audierint, non recte accipiant nec intelligant. *Cli.* Quid istud? *Athen.* Rumor quidam et fama defluxit ad nos, hunc Deum a noverca Iunone ex animi sententia olim deturbatum fuisse, atque iccirco ulciscendi gratia bacchationis choream omnemque insaniam induxisse, et vinum ad hoc ipsum tribuisse. ego autem haec illis dimitto, qui tutum arbitrantur talia de Diis dicere. illud tamen scio, quod nullum animal cum tanta ac tali nascitur intelligentia, quanta et qualis sibi, cum provectum fuerit, convenit. hoc

δὴ τῷ χρόνῳ ἐν ᾧ μήπω κέκτηται τὴν οἰκείαν φρόνησιν, πᾶν μαίνεταί τε καὶ βοᾷ ἀτάκτως, καὶ ὅταν ἀκταινώσῃ ἑαυτὸ τύχῃσα, ἀτάκτως αὖ πηδᾷ. ἀναμνησθῶμεν δὲ ὅτι μουσικῆς τε καὶ γυμναστικῆς ἔφαμεν ἀρχὰς ταύτας εἶναι.

ΚΛ. Μεμνήμεθα· τί δ' οὔ;

ΑΘ. Οὐκοῦν καὶ ὅτι τὴν ῥυθμοῦ τε καὶ ἁρμονίας αἴσθησιν τοῖς ἀνθρώποις ἡμῖν ἐνδεδωκέναι τὴν ἀρχὴν ταύτην ἔφαμεν, Ἀπόλλωνα δὲ καὶ Μούσας καὶ Διόνυσον θεῶν αἰτίους γεγονέναι;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Καὶ δὴ καὶ τὸν οἶνόν γε, ὡς ἔοικεν, ὁ τῶν ἄλλων λόγος, ἵνα μανῶμεν, φησὶν ἐπὶ τιμωρίᾳ τῇ τῶν ἀνθρώπων δεδόσθαι· ὁ δὲ νῦν λεγόμενος ὑφ' ἡμῶν φάρμακον ἐπὶ τοὐναντίον φησὶν αἰδοῦς μὲν ψυχῆς κτήσεως ἕνεκα δεδόσθαι, σώματος δὲ ὑγιείας τε καὶ ἰσχύος.

ΚΛ. Κάλλιστα, ὦ ξένε, τὸν λόγον ἀπεμνημόνευκας.

ΑΘ. Καὶ τὰ μὲν δὴ τῆς χορείας ἡμίσεα διαπεπεράνθω· τὰ δ' ἡμίσεα, ὅπως ἂν ἔτι δοκῇ, παρανοῦμεν ἢ καὶ ἐάσομεν.

ΚΛ. Ποῖα δὴ λέγεις, καὶ πῶς ἑκάτερα διαιρῶν;

ΑΘ. Ὅλη μέν που χορεία ὅλη παίδευσις ἦν ἡμῖν,

porro in tempore, quo prudentiam suam nondum possidet, furit omne et sine ordine clamat, et fastu elatum lasciviensque salit. recordemur autem, quod musicae et gymnasticae haec esse principia diximus. *Cli.* Recordamur. *Athen.* Nonne etiam, quod numeri et concentus sensum nobis solis dedisse hoc principium diximus? Apollinem vero, et Musas, et Dionysium, duces ad haec nobis esse tributos? *Cli.* Utique. *Athen.* Vinum vero, ut ferunt multi, ad ultionem hominibus datum est, ut insaniant: ut autem sermo habet noster, remedium et medicina in contrarium, ut animus quidem pudorem, corpus autem sanitatem et vires adipiscatur. *Cli.* Egregie, hospes, superiorem orationem commemorasti. *Athen.* Sed iam media pars eorum, quae ad choream pertinent, dicta est: reliquam vero, ut videtur, perficiemusne an praetermittemus? *Cli.* Quasnam dicis partes, et quomodo partiris utrasque? *Athen.* Tota quippe chorea universa nobis dicta est disci-

τούτου δ' αὖ τὸ μὲν ῥυθμοί τε καὶ ἁρμονίαι τὸ κατὰ τὴν φωνήν.

ΚΛ. Ναί.

ΑΘ. Τὸ δέ γε κατὰ τὴν τοῦ σώματος κίνησιν ῥυθμὸν μὲν κοινὸν τῇ τῆς φωνῆς εἶχε κινήσει, σχῆμα δὲ ἴδιον. ἐκεῖ δὲ μέλος ἡ τῆς φωνῆς κίνησις.

ΚΛ. Ἀληθίζατα. 673

ΑΘ. Τὰ μὲν τοίνυν τῆς φωνῆς μέχρι τῆς ψυχῆς πρὸς ἀρετῆς παιδείαν, οὐκ οἶδ' ὅν τινα τρόπον, ὠνομάσαμεν μουσικήν.

ΚΛ. Ὀρθῶς μὲν οὖν.

ΑΘ. Τὰ δέ γε τοῦ σώματος, ἃ παιζόντων ὄρχησιν εἴπομεν, ἐὰν μέχρι τῆς τοῦ σώματος ἀρετῆς ἡ τοιαύτη κίνησις γίγνηται, τὴν ἔντεχνον ἀγωγὴν ἐπὶ τὸ τοιοῦτον αὐτοῦ γυμναστικὴν ποσείπομεν.

ΚΛ. Ὀρθότατα.

ΑΘ. Τὸ δὲ τῆς μουσικῆς, ὃ νῦν δὴ σχεδὸν ἥμισυ διεληλυθέναι τῆς χορείας εἴπομεν καὶ διαπεπεράνθαι, καὶ νῦν οὕτως εἰρήσθω· τὸ δὲ ἥμισυ λέγωμεν. ἢ πῶς καὶ πῇ ποιητέον;

ΚΛ. Ὦ ἄριστε, Κρησὶ καὶ Λακεδαιμονίοις διαλεγόμενος, μουσικῆς πέρι διελθόντων ἡμῶν, ἐλλειπόντων

plina, choreae vero pars una in voce est per numeros et concentus. *Cli.* Ita est. *Athen.* Altera in corporis motu per numerum atque figuram. sed numerum quidem habet cum motu vocis communem, figuram vero propriam. in prima autem illa parte cantus ipse vocis est motus. *Cli.* Vera narras. *Athen.* Sed vocis quidem habitum, qui ad disciplinam virtutis animi pervenit, nescio quomodo musicam nominavimus. *Cli.* Recte admodum. *Athen.* Si autem corporis motus in ludo, quem saltationem appellavimus, ad corporis usque virtutem attingit, artificiosam hanc ad id ipsius deductionem gymnasticam nominemus. *Cli.* Rectissime. *Athen.* De musica quidem, quam mediam choreae partem diximus, satis actum putavimus, atque ita de ea sit dictum. quare de reliqua iam dicamus: vel quid agendum? *Cli.* O vir optime, qui cum Cretensibus et Lacedaemoniis disseris, quando iam satis tractatum de musica est, sed de gymnastica hactenus minime, quidnam respon-

δὲ γυμναστικῆς, τί ποτε οἴει σοι πότερον ἡμῶν ἀποκρινεῖσθαι πρὸς ταύτην τὴν ἐρώτησιν;

ΑΘ. Ἀποκεκρίσθαι ἔγωγ' ἄν σε φαίην σχεδὸν ταῦτ' ἐρόμενον σαφῶς, καὶ μανθάνω ὡς ἐρώτησις οὖσα αὕτη τὰ νῦν ἀπόκρισίς τ' ἐστίν, ὡς εἶπον, καὶ ἔτι πρόσταξις διαπεράνασθαι τὰ περὶ γυμναστικῆς.

ΚΛ. Ἄριστ' ὑπέλαβές τε καὶ οὕτω δὴ ποίει.

ΑΘ. Ποιητέον· οὐδὲ γὰρ πάνυ χαλεπόν ἐστιν εἰπεῖν ὑμῖν γε ἀμφοτέροις γνώριμα. πολὺ γὰρ ἐν ταύτῃ τῇ τέχνῃ πλέον ἐμπειρίας ἢ ἐν ἐκείνῃ μετέχετε.

ΚΛ. Σχεδὸν ἀληθῆ λέγεις.

ΑΘ. Οὐκοῦν αὖ ταύτης ἀρχὴ μὲν τῆς παιδιᾶς τὸ κατὰ φύσιν πηδᾶν εἰθίσθαι πᾶν ζῶον, τὸ δ' ἀνθρώπινον, ὡς ἔφαμεν, αἴσθησιν λαβὸν τοῦ ῥυθμοῦ ἐγέννησέ τε ὄρχησιν καὶ ἔτεκε, τοῦ δὲ μέλους ὑπομιμνήσκοντος καὶ ἐγείροντος τὸν ῥυθμόν, κοινωθέντε ἀλλήλοις χορείαν καὶ παιδιὰν ἐτεκέτην.

ΚΛ. Ἀληθέστατα.

ΑΘ. Καὶ τὸ μέν, φαμέν, ἤδη διειλήλυθαμεν αὐτοῦ, τὸ δὲ πειρασόμεθα ἐφεξῆς διελθεῖν.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Ἐπ[illegible]τοίνυν τῇ τῆς μέθης χρείᾳ τὸν κολοφῶνα πρῶτον ἐπιθῶμεν, εἰ καὶ σφῷν ξυνδοκεῖ.

surum tibi ad interrogationem huiusmodi utrumvis nostrum existimas? *Athen.* Affirmabo equidem te, cum haec interrogaveris, aperte iam respondisse. intelligo enim, quod haec tua interrogatio responsio quaedam est, ut dixi, ac iussio simul, ut transigantur, quae ad gymnasticam pertinent. *Cli.* Optime intellexisti, et sic facias. *Athen.* Faciundum est. neque enim difficile est, quae vobis utrisque notissima sunt, transigere. nempe huius artis utrique multo magis quam illius periti estis. *Cli.* Vera ferme dicis. *Athen.* Nonne huius quoque ludi principium est, quia unumquodque animal natura saltare consuevit? homo autem, ut tetigimus, cum numeri sensum acceperit, saltationem peperit. cantus item numerum excitat, quae ambo invicem copulata choream et ludum pepererunt. *Cli.* Ita est. *Athen.* Huius partem alteram iam peregimus, alteram deinceps aggrediemur. *Cli.* Prorsus. *Athen.* Sermonem igitur de ebrietatis chorea primum hac, si placet, sententia concla-

ΚΛ. Ποῖον δὴ καὶ τίνα λέγεις;

ΑΘ. Εἰ μέν τις πόλις ὡς οὔσης σπουδῆς τῷ ἐπιπηδεύματι τῷ νῦν εἰρημένῳ χρήσεται μετὰ νόμων καὶ τάξεως, ὡς τοῦ σωφρονεῖν ἕνεκα μελέτης χρωμένη, καὶ τῶν ἄλλων ἡδονῶν μὴ ἀφέξεται ὡσαύτως καὶ κατὰ τὸν αὐτὸν λόγον, τοῦ κρατεῖν αὐτῶν ἕνεκα μιγχανωμένη, τοῦτον μεν τὸν τρόπον ἅπασι τούτοις χρηστέον· εἰ δ' ὡς παιδιᾷ τε, καὶ ἐξέσται τῷ βουλομένῳ, καὶ ὅταν βούληται, καὶ μεθ' ὧν ἂν βούληται, πίνειν μετ' ἐπιτηδευμάτων ὠν- 674
τινωνοῦν ἄλλων, οὐκ ἂν τιθείμην ταύτην τὴν ψῆφον, ὡς δεῖ ποτὲ μέθῃ χρῆσθαι ταύτην τὴν πόλιν ἢ τοῦτον τὸν ἄνδρα, ἀλλ' ἔτι μᾶλλον τῆς Κρητῶν καὶ Λακεδαιμονίων χρείας προσθείμην ἂν τῷ Καρχηδονίων νόμῳ, μηδέποτε μηδένα ἐπὶ στρατοπέδου γεύεσθαι τούτου τοῦ πώματος, ἀλλ' ὑδροποσίαις ξυγγίγνεσθαι τοῦτον τὸν χρόνον ἅπαντα, καὶ κατὰ πόλιν μήτε δοῦλον μήτε δούλην γεύεσθαι μηδέποτε, μηδὲ ἄρχοντας τοῦτον τὸν ἐνιαυτὸν ὃν ἂν ἄρχωσι, μηδ' αὖ κυβερνήτας μηδὲ δικαζὰς ἐνεργοὺς ὄντας οἴνου γεύεσθαι τὸ παράπαν, μηδ' ὅς τις βουλευσόμενος εἰς βουλὴν ἀξίαν τινὰ λόγου συνέρχεται, μηδέ γε μεθ' ἡμέραν μηδένα τὸ παράπαν, εἰ μὴ σωμασκίας ἢ νόσων ἕνεκα, μηδ' αὖ νύκτωρ, ὅταν ἐπινοῇ

damus. *Cli.* Quonam pacto? *Athen.* Si civitas aliqua tanquam re seria compotationibus cum legum et ordine utatur, exercitationis cuiusdam ad temperantiam gratia, et alias voluptates non fugiat, sed eadem ratione, ut ipsas superet, exercitetur: hoc utique pacto omnibus his utendum. sin verò tanquam ludo utatur compotationibus civitas, et liceat cuique, quando velit et quibuscum velit, combibere et alia quaeque pro libidine exercere, non essem huius sententiae, quod deceat civitatem istam aut hunc virum ebrietati aliquando indulgere: sed multo magis, quàm Cretensium Lacedaemoniorumque usum, Carthaginensium legem probarem, ut nunquam in castris quisquam gustare vinum audeat, sed toto illo tempore aqua bibatur: et in civitate nunquam vini usum servo vel servae concederem: sed nec magistratibus toto eo tempore quo magistratu fungantur: gubernatores etiam atque iudices munus suum subituros, a vino penitus prohiberem: deliberaturos quoque de rebus non omnino negligendis. ac nulli penitus interdiu vinum concederem, nisi exercitationis corporeae morborumque

τις παῖδας ποιεῖσθαι ἀνὴρ ἢ καὶ γυνή. καὶ ἄλλα δὲ πάμπολλα ἄν τις λέγοι, ἐν οἷς τοῖς νοῦν τε καὶ νόμον ἔχουσιν ὀρθὸν οὐ ποτέος οἶνος, ὥστε κατὰ τὸν λόγον τοῦτον οὐδ' ἀμπέλων ἂν πολλῶν δέοι οὐδ' ἧ τινὶ πόλει, τακτὰ δὲ τά τ' ἄλλα ἂν εἴη γεωργήματα καὶ πᾶσα ἡ δίαιτα, καὶ δὴ τά γε περὶ οἶνον σχεδὸν ἁπάντων ἐμμετρώτατα καὶ ὀλίγιστα γίγνοιτ' ἄν. Οὕτος, ὦ ξένοι, ἡμῖν, εἰ ξυνδοκεῖ, κολοφὼν ἐπὶ τῷ περὶ οἴνου λόγῳ ῥηθέντι εἰρήσθω.

Κλ. Καλῶς, καὶ ξυνδοκεῖ.

causa hoc potu opus fuerit: neque etiam nocte viro vel mulieri, quando liberis operam dare volunt. plura etiam referri possent, in quibus homines legis rectae mentisque compotes vino abstinerent. quapropter secundum hanc rationem nec multis civitati vineis opus esset. atqui et reliqua agricultura omnisque vivendi norma ordinem suum teneret, ac vini usus ferme omnium moderatissimus et parcissimus esset. hic itaque sermoni de vino, hospites, si vobis quoque videtur, apex allatus sit. *Cli.* Probe dictum. quare et nobis ita videtur.

I.

Ταῦτα μὲν οὖν δὴ ταύτῃ· πολιτείας δ' ἀρχὴν τίνα 676
ποτὲ φῶμεν γεγονέναι; μιῶν οὐκ ἐνθένδε τις ἂν αὐτὴν
ῥᾳδά τε καὶ κάλλιστα κατίδοι;

ΚΛ. *Πόθεν;*

ΑΘ. *Ὅθεν περ καὶ τὴν τῶν πόλεων ἐπίδοσιν εἰς ἀρετὴν μεταβαίνουσαν ἅμα καὶ κακίαν ἑκάστοτε θεατέον.*

ΚΛ. *Λέγεις δὲ πόθεν;*

ΑΘ. *Οἶμαι μὲν ἀπὸ χρόνου μήκους τε καὶ ἀπει-*
ο *ρίας καὶ τῶν μεταβολῶν ἐν τῷ τοιούτῳ.*

ΚΛ. *Πῶς λέγεις;*

ΑΘ. *Φέρε, ἀφ οὗ πόλεις τ' εἰσὶ καὶ ἄνθρωποι πολιτευόμενοι, δοκεῖς ἄν ποτε καταν[illegible]σαι χρόνου πλῆθος ὅσον γέγονεν;*

Haec quidem ita se habeant. civilis autem disciplinae initium quodnam fuisse dicemus? an non hinc facillime ipsum quis optimeque inspiciet? *Cli.* Undenam? *Athen.* Unde civitatum quoque incrementum et ad virtutem et ad vitium licet inspicere. *Cli.* Unde dicis? *Athen.* Reor equidem a longitudine infinitateque temporis, rerumque in eo mutationibus. *Cli.* Quo pacto id ais? *Athen.* Age, dic, si habes, ex quo urbes civilesque hominum institutiones coeperunt, quanta temporis praecesserit multitudo.

ΚΛ. Οὔκουν ῥᾴδιόν γε οὐδαμῶς.

ΑΘ. Τὸ δέ γε, ὡς ἁπλετόν τι καὶ ἀμήχανον ἂν εἴη.

ΚΛ. Πάνυ μὲν οὖν τοῦτό γε.

ΑΘ. Μῶν οὖν οὐ μυρίαι μὲν ἐπὶ μυρίαις ἡμῖν γεγόνασι πόλεις ἐν τούτῳ τῷ χρόνῳ, κατὰ τὸν αὐτὸ δὲ τοῦ πλήθους λόγον οὐκ ἐλάττους ἐφθαρμέναι; πεπο λιτευμέναι δ' αὖ πάσας πολιτείας πολλάκις ἑκασταχοῦ καὶ τοτὲ μὲν ἐξ ἐλαττόνων μείζους, τοτὲ δὲ ἐκ μειζόνων ἐλάττους, καὶ χείρους ἐκ βελτιόνων γεγόνασι καὶ βελτίους ἐκ χειρόνων;

ΚΛ. Ἀναγκαῖον.

ΑΘ. Ταύτης δὴ πέρι λάβωμεν, εἰ δυναίμεθα, τῆς μεταβολῆς τὴν αἰτίαν· τάχα γὰρ ἂν ἴσως δείξειεν ἡμῖν τὴν πρώτην τῶν πολιτειῶν γένεσιν καὶ μετάβασιν.

ΚΛ. Εὖ λέγεις, καὶ προθυμεῖσθαι δεῖ σὲ μὲν ὃ διανοεῖ περὶ αὐτῶν ἀποφαινόμενον, ἡμᾶς δὲ ξυνεπομένους.

677 ΑΘ. Ἆρ' οὖν ὑμῖν οἱ παλαιοὶ λόγοι ἀλήθειαν ἔχειν τινὰ δοκοῦσιν;

ΚΛ. Ποῖοι δή;

ΑΘ. Τὸ πολλὰς ἀνθρώπων φθορὰς γεγονέναι κατακλυσμοῖς τε καὶ νόσοις καὶ ἄλλοις πολλοῖς, ἐν οἷς βραχύ τι τῶν ἀνθρώπων λείπεσθαι γένος.

Cli. Nequaquam id facile. *Athen.* Inexplebile utique hoc et impossibile cogitatu. *Cli.* Sic est omnino. *Athen.* Nonne innumerae in hoc tempore conditae sunt civitates, totidemque destructae, quae omni civilis vitae conditione passim usae sint, factaeque modo e minoribus, modo minores e maioribus, peiores quoque ex melioribus, et contra ex peioribus meliores? *Cli.* Necessarium id quidem est. *Athen.* Huius igitur mutationis causam excogitemus, si possumus. fortassis enim primam vitae civilis causam mutationemque nobis ostendet. *Cli.* Probe loqueris. quare et te oportet, quid hac de re sentias, diligenter exponere: et nos attente auscultare. *Athen.* Num igitur prisci sermones veritatem aliquam habere videntur? *Cli.* Quinam? *Athen.* Multos videlicet hominum interitus ex diluviis, morbis aliisque pestibus olim accidisse: ex quibus pauci homines superstites fuerint. *Cli.* Valde

ΚΛ. Πάνυ μὲν οὖν πιθανὸν τὸ τοιοῦτον πᾶν παντί.

ΑΘ. Φέρε δή, νοήσωμεν μίαν τῶν πολλῶν ταύτην τὴν τῷ κατακλυσμῷ ποτὲ γενομένην.

ΚΛ. Τὸ ποῖόν τι περὶ αὐτῆς διανοηθέντες;

ΑΘ. Ὡς οἱ τότε περιφυγόντες τὴν φθορὰν σχεδὸν ὄρειοί τινες ἂν εἶεν νομῆς, ἐν κορυφαῖς που σμικρὰ ζώπυρα τοῦ τῶν ἀνθρώπων διασεσωσμένα γένους.

ΚΛ. Δῆλον.

ΑΘ. Καὶ δὴ τοὺς τοιούτους γε ἀνάγκη που τῶν ἄλλων ἀπείρους εἶναι τεχνῶν καὶ τῶν ἐν τοῖς ἄξεσι πρὸς ἀλλήλους μηχανῶν εἵς τε πλεονεξίας καὶ φιλονεικίας, καὶ ὁπόσ' ἄλλα κακουργήματα πρὸς ἀλλήλους ἐπινοοῦσιν.

ΚΛ. Εἰκὸς γοῦν.

ΑΘ. Θῶμεν δὴ τὰς ἐν τοῖς πεδίοις πόλεις καὶ πρὸς θαλάττῃ κατοικούσας ἄρδην ἐν τῷ τότε χρόνῳ διαφθείρεσθαι;

ΚΛ. Θῶμεν.

ΑΘ. Οὐκοῦν ὄργανά τε πάντα ἀπόλλυσθαι, καὶ εἴ τι τέχνης ἦν ἐχόμενον σπουδαίως εὑρημένον ἢ πολιτικῆς ἢ καὶ σοφίας τινὸς ἑτέρας, πάντα ἔρρειν ταῦτα ἐν τῷ τότε χρόνῳ φήσομεν;

ΚΛ. Πῶς γὰρ ἄν, ὦ ἄριστε, εἴ γε ἔμενε τάδε

id cuique verisimile. *Athen.* Age, iam de multis unum hoc exitium, quod illuvione factum est, perspiciamus. *Cli.* Quid in hoc cogitare nos iubes? *Athen.* Nempe eos, qui cladem tunc evaserunt, montanos quosdam et pastores fuisse, in montium cacuminibus pauca semina ad propagandum genus hominum conservata, *Cli.* Patet. *Athen.* Atqui necesse est eos et aliarum artium fuisse expertes, et avaritiae contentionisque studia inter cives ceterasque adversus alios astutias ignorasse. *Cli.* Consentaneum id quidem. *Athen.* Ponamus etiam campestres et maritimas urbes subito illo tempore periisse. *Cli.* Ponamus. *Athen.* Instrumenta igitur omnia, et quaecunque artium sive ad disciplinam civilem sive ad facultatem aliam pertinentium exstabant inventa, concidisse illis temporibus asseremus. Quomodo enim, o vir optime, si haec in sempiternum, ita se, ut modo, habentia permansissent, novum

οὕτω τὸν πάντα χρόνον ὡς νῦν διακεκόσμηται, καινὸν ἀνευρίσκετό ποτε καὶ ὁτιοῦν; ὅτι μὲν γὰρ μυριάκις μύρια ἔτη διελάνθανεν ἆρα τοὺς τότε· χίλια δ' ἀφ' οὗ γέγονεν ἢ δὶς τοσαῦτα ἔτη, τὰ μὲν Δαιδάλῳ κατα- φανῆ γέγονε, τὰ δὲ Ὀρφεῖ, τὰ δὲ Παλαμήδει, τὰ δὲ περὶ μουσικὴν Μαρσύᾳ καὶ Ὀλύμπῳ, περὶ λύραν δὲ Ἀμφίονι, τὰ δ' ἄλλα ἄλλοις πάμπολλα, ὡς ἔπος εἰ- πεῖν χθὲς καὶ πρώην γεγονότα.

ΑΘ. Ἆρ οἶσθ', ὦ Κλεινία, τὸν φίλον ὅτι παρέ- λιπες, τὸν ἀτεχνῶς χθὲς γενόμενον;

ΚΛ. Μῶν φράζεις Ἐπιμενίδην;

ΑΘ. Ναὶ τοῦτον· πολὺ γὰρ ὑμῖν ὑπερεπήδησε τῷ μηχανήματι τοὺς ξύμπαντας, ὦ φίλε, ὃ λόγῳ μὲν Ἡσίοδος ἐμαντεύετο πάλαι, τῷ δ' ἔργῳ ἐκεῖνος ἀπετέ- λεσεν, ὡς ὑμεῖς φατέ.

ΚΛ. Φαμὲν γὰρ οὖν.

ΑΘ. Οὐκοῦν οὕτω δὴ λέγωμεν ἔχειν τότε, ὅτε ἐγένετο ἡ φθορά, τὰ περὶ τοὺς ἀνθρώπους πράγματα, μυρίαν μέν τινα φοβερὰν ἐρημίαν, γῆς δ' ἀφθόνου πλῆθος πάμπολυ, ζώων δὲ τῶν ἄλλων ἐρρόντων βου- κόλοι ἄττα, καὶ εἴ τί που αἰγῶν περιλειφθὲν ἐτύγχανε γένος, σπάνια καὶ ταῦτα νέμουσιν εἶναι ζῆν τότε κατ' ἀρχάς.

quicquam alicui esset inventum? *Cli.* Nempe, quia innumerabilis quaedam multitudo annorum ignorabatur ab illis. mille autem anni vel duo millia, ex quo quicquam dicebatur inventum partim Daedalo, partim Orpheo, partim Palamedi patebant. sicut quae ad musicam pertinent, Marsyae et Olympo; quae ad lyram, Amphioni attribuuntur: aliaque aliis multa, ut ita dicam, heri et nudiustertius adinventa. *Athen.* Videsne, Clinia, praetermissum abs te esse amicum, qui vere heri fuit? *Cli.* An Epimenidem dicis? *Athen.* Hunc equidem. longe enim hic in novarum rerum excogitatione omnibus apud vos excelluit, o amice. quod sane verbis olim Hesiodus divinavit, re autem Epimenides ipse perfecit, ut vos asseritis. *Cli.* Asserimus plane. *Athen.* Ex ea utique devastatione magnam terribilemque humanis in rebus desolationem accidisse tunc arbitramur: fertilium agrorum magnitudinem desertam, ceterisque animalibus corruptis vix boum caprarumque genus, et illud quidem rarum relictum fuisse, quibus pascendis

ΚΛ. Τί μήν; 678

ΑΘ. Πόλεως δὲ καὶ πολιτείας πέρι καὶ νομοθεσίας, ὧν νῦν ὁ λόγος ἡμῖν παρέσχηκεν, ἆρ' ὡς ἔπος εἰπεῖν οἰόμεθα καὶ μνήμην εἶναι τὸ παράπαν;

ΚΛ. Οὐδαμῶς.

ΑΘ. Οὐκοῦν ἐξ ἐκείνων τῶν διακειμένων οὕτω τὰ νῦν γέγονεν ἡμῖν ξύμπαντα, πόλεις τε καὶ πολιτεῖαι καὶ τέχναι καὶ νόμοι καὶ πολλὴ μὲν πονηρία, πολλὴ δὲ καὶ ἀρετή;

ΚΛ. Πῶς λέγεις;

ΑΘ. Ἆρ' οἰόμεθα, ὦ θαυμάσιε, τοὺς τότε ἀπείρους ὄντας πολλῶν μὲν καλῶν τῶν κατὰ τὰ ἄξη, πολλῶν δὲ καὶ τῶν ἐναντίων τελέους πρὸς ἀρετὴν ἢ καὶ πρὸς κακίαν γεγονέναι;

ΚΛ. Καλῶς εἶπες, καὶ μανθάνομεν ὃ λέγεις.

ΑΘ. Οὐκοῦν προϊόντος μὲν τοῦ χρόνου, πληθύοντος δ' ἡμῶν τοῦ γένους εἰς πάντα τὰ νῦν καθεζηκότα προελήλυθε πάντα;

ΚΛ. Ὀρθότατα.

ΑΘ. Οὐκ ἐξαίφνης γε, ὡς εἰκός, κατὰ [σμικρὸν δὲ ἐν παμπόλλῳ τινὶ χρόνῳ.

ΚΛ. Καὶ μάλα πρέπει τοῦθ' οὕτως.

ΑΘ. Ἐκ γὰρ τῶν ὑψηλῶν εἰς τὰ πεδία καταβαίνειν, οἶμαι, πᾶσι φόβος ἔναυλος ἐγεγόνει.

tunc homines vitam agebant. *Cli.* Cui dubium? *Athen.* Civitatis vero et disciplinae civilis et legum, de quibus praesens a nobis sermo habetur, numquid memoriam quidem ullam, ut ita loquar, fuisse putamus? *Cli.* Nullam prorsus. *Athen.* An non ex illis ita dispositis nobis haec omnia provenerunt, civitatis disciplinaeque civiles, artes, leges, et vitiorum atque virtutis non parva copia? *Cli.* Quo pacto id ais? *Athen.* Numquid arbitramur, o vir mirifice, eos homines, cum multorum, quae inter cives honesta habentur vel turpia, ignari essent, summos vel in virtute vel in vitia exstitisse? *Cli.* Probe dixisti: et, quod vis, intelligimus. *Athen.* Tempore igitur progrediente, ac genere hominum multiplicato, ad eum, quem nunc videmus, habitum provecta omnia sunt. *Cli.* Recte admodum. *Athen.* Neque tamen subito, ut verisimile est, sed paulatim longoque in tempore. *Cli.* Valde sic decet. *Athen.* In campos enim ex cacuminibus mon-

ΚΛ. Πῶς δ' οὔ;

ΑΘ. Ἆρ' οὐκ ἄσμενοι μὲν ἑαυτοὺς ἑώρων δι' ὀλιγότητα ἐν τοῖς περὶ ἐκεῖνον τὸν χρόνον, πορεῖα δέ, ὥστ' ἐπ' ἀλλήλους τότε πορεύεσθαι κατὰ γῆν ἢ κατὰ θάλατταν, σὺν ταῖς τέχναις ὡς ἔπος εἰπεῖν, πάντα σχεδὸν ἀπολώλει; ξυμμίσγειν οὖν ἀλλήλοις οὐκ ἦν, οἶμαι, σφόδρα δυνατόν· σίδηρος γὰρ καὶ χαλκὸς καὶ πάντα τὰ μεταλλεῖα συγκεχυμένα ἠφάνιζο, ὥστε ἀπορία πᾶσα ἦν τοῦ ἀνακαθαίρεσθαι τὰ τοιαῦτα, ὄρυττομίας τε εἶχον σπάνιν. εἰ γάρ πού τι καὶ περιγεγονὸς ἦν ὄργανον ἐν ὄρεσι, ταῦτα μὲν ταχὺ κατατριβέντα ἠφάνιζο, ἄλλα δ' οὐκ ἔμελλε γενήσεσθαι, πρὶν πάλιν ἡ τῶν μεταλλέων ἀφίκοιτο εἰς ἀνθρώπους τέχνη.

ΚΛ. Πῶς γὰρ ἄν;

ΑΘ. Γενεαῖς δὴ πόσαις ὕστερον οἰόμεθα τοῦθ' οὕτω γεγονέναι;

ΚΛ. Δῆλον ὅτι παμπόλλαις τισίν.

ΑΘ. Οὐκοῦν καὶ τέχναι ὅσαι περ σιδήρου δέονται καὶ χαλκοῦ καὶ τῶν τοιούτων ἁπάντων, τὸν αὐτὸν χρόνον καὶ ἔτι πλείονα ἠφανισμέναι ἂν εἶεν ἔν τῳ τότε;

ΚΛ. Τί μήν;

tium recens formido descendere prohibebat. *Cli.* Certe. *Athen.* Nonne et propter paucitatem illis temporibus mutuo inter se aspectu congratulabantur, praesertim cum neque terra neque mari transitus ad alios facilis fuerit, omnibus ferme ad transitum instrumentis deletis una cum artibus? quapropter invicem convenire non poterant. ferrum namque et aes et metalla omnia confusa perierant, ut inveniri et in lucem erui non possent: unde et lignorum fabri non erant. nam etsi aliquod instrumentum relictum quandoque in montibus superfuerit, cito tamen contritum evanuit; nec alia fieri poterant, antequam ars metallica hominibus iterum inveniretur. *Cli.* Quo enim pacto aliter fieri potuisset? *Athen.* Quot autem generationibus postea id factum esse putamus? *Cli.* Profecto multis. *Athen.* Igitur artes, quaecunque ferro utuntur et aere, ceterisque huiusmodi omnibus, eodem tempore, immo etiam maiore, ignorantiae tenebris obsitae ignorabantur. *Cli.* Certum id est. *Athen.* Quin etiam neque seditio

ΑΘ. Καὶ τοίνυν ϛάσις ἅμα καὶ πόλεμος ἀπολώλει κατὰ τὸν τότε χρόνον πολλαχῇ.

ΚΛ. Πῶς;

ΑΘ. Πρῶτον μὲν ἠγάπων καὶ ἐφιλοφρονοῦντο ἀλλήλους δι' ἐρημίαν, ἔπειτα οὐ περιμάχητος ἦν αὐτοῖς ἡ τροφή. νομῆς γὰρ οὐκ ἦν σπάνις, εἰ μή τισι κατ' ἀρ- 679
χὰς ἴσως, ἦ δὴ τὸ πλεῖστον διέζων ἐν τῷ τότε χρόνῳ· γάλακτος γὰρ καὶ κρεῶν οὐδαμῶς ἐνδεεῖς ἦσαν, ἔτι δὲ θηρεύοντες οὐ φαύλην οὐδ' ὀλίγην τροφὴν παρείχοντο. καὶ μὴν ἀμπεχόνης γε καὶ ϛρωμνῆς καὶ οἰκήσεων καὶ σκευῶν ἐμπύρων τε καὶ ἀπύρων εὐπόρουν· αἱ πλαϛικαὶ γὰρ καὶ ὅσαι πλεκτικαὶ τῶν τεχνῶν οὐδὲ ἓν προσδέονται σιδήρου. ταῦτα δὲ πάντα τούτῳ τῷ τέχνα θεὸς ἔδωκε πορίζειν τοῖς ἀνθρώποις, ἵν' ὁπότε εἰς τὴν τοιαύτην ἀπορίαν ἔλθοιεν, ἔχοι βλάϛην καὶ ἐπίδοσιν τὸ τῶν ἀνθρώπων γένος. πένητες μὲν δὴ διὰ τὸ τοιοῦτον σφόδρα οὐκ ἦσαν, οὐδ' ὑπὸ πενίας ἀναγκαζόμενοι διάφοροι ἑαυτοῖς ἐγίγνοντο· πλούσιοι δ' οὐκ ἄν ποτ' ἐγένοντο ἄχρυσοί τε καὶ ἀνάργυροι ὄντες, ὃ τότε ἐν ἐκείνοις παρῆν. ᾗ δ' ἄν ποτε ξυνοικία μήτε πλοῦτος ξυνοικῇ μήτε πενία, σχεδὸν ἐν ταύτῃ γενναιότατα ἤθη γίγνοιτ' ἄν· οὔτε γὰρ ὕβρις οὔτ' ἀδικία, ζῆλοί τε αὖ

illo tempore neque bellum erat. *Cli.* Qua ratione? *Athen.* Primo, quod propter desolationem ardenti se invicem benevolentia complectebantur. deinde, quod cibus bellum non concitabat. pascuorum enim nulla erat inopia, nisi forte quibusdam paucis ab initio: pascuis autem plurimum illis temporibus vitam agebant, lactis item et carnium copia non deerat: ac venatio facile alimenta, nec illa quidem mala, suppeditabat. vestitus praeterea, stramentorum, habitaculorum vasculorumque tam igneorum quam non igneorum copiam habebant. artes quippe fingendi atque texendi ferro non indigent: quibus haec omnia Dei nutu consequimur, ut si quando homines in talem calamitatem deciderint, propagari genus humanum possit. Hac de causa non valde inopes erant, neque inopia compellebantur ad bella. divites etiam fieri minime poterant, cum neque aurum neque argentum haberent. in quocunque vero hominum coetu nec inopia neque divitiae sunt, huic iustissimi mores aderunt. neque enim ibi contumelia neque iniuria locum habet. aemulatio quoque et invidia

καὶ φθόνοι οὔκ ἐγγίγνονται. ἀγαθοὶ μὲν δὴ διὰ ταῦτά τε ἦσαν καὶ διὰ τὴν λεγομένην εὐήθειαν· ἃ γὰρ ἤκουον καλὰ καὶ αἰσχρά, εὐήθεις ὄντες ἡγοῦντο ἀληθέστατα λέγεσθαι καὶ ἐπείθοντο. ψεῦδος γὰρ ὑπονοεῖν οὐδεὶς ἠπίστατο διὰ σοφίαν, ὥς περ τὰ νῦν, ἀλλὰ περὶ θεῶν τε καὶ ἀνθρώπων τὰ λεγόμενα ἀληθῆ νομίζοντες ἔζων κατὰ ταῦτα· διό περ ἦσαν τοιοῦτοι παντάπασιν, οἵους αὐτοὺς ἡμεῖς ἄρτι διεληλύθαμεν.

ΚΛ. Ἐμοὶ γοῦν δὴ καὶ τῷδε οὕτω ταῦτα ξυνδοκεῖ.

ΑΘ. Οὐκοῦν εἴπωμεν ὅτι γενεαὶ διαβιοῦσαι πολλαὶ τοῦτον τὸν τρόπον τῶν πρὸ κατακλυσμοῦ γεγονότων καὶ τῶν νῦν ἀτεχνώτεροι μὲν καὶ ἀμαθέστεροι πρός τε τὰς ἄλλας μέλλουσιν εἶναι τέχνας καὶ πρὸς τὰς πολεμικάς, ὅσαι τε πεζαὶ καὶ ὅσαι κατὰ θάλατταν γίγνονται τὰ νῦν, καὶ ὅσαι δὴ κατὰ πόλιν μόνον αὐτοῦ δίκαι καὶ ῥάσεις λεγόμεναι, λόγοις ἔργοις τε μεμηχανημέναι πάσας μηχανὰς εἰς τὸ κακουργεῖν τε ἀλλήλους καὶ ἀδικεῖν, εὐηθέστεροι δὲ καὶ ἀνδρειότεροι καὶ ἅμα σωφρονέστεροι καὶ ξύμπαντα δικαιότεροι; τὸ δὲ τούτων αἴτιον ἤδη διεληλύθαμεν.

ΚΛ. Ὀρθῶς λέγεις.

ΑΘ. Λελέχθω δὴ ταῦτα ἡμῖν καὶ τὰ τούτοις ξυν-

procul abest. his igitur de causis boni erant, ac maxime propter simplicitatem. quaecunque enim audiebant honesta esse vel turpia, propter simplicitatem credentes esse vera, monitis obtemperabant. nec ullus propter sapientiae opinionem, ut modo fit, de mendacio suspicabatur: sed, quae de Diis et hominibus dicebantur, vera putantes, quiete ad haec vitam suam instituebant. quamobrem tales erant omnino, quales paulo ante narravimus. *Cli.* Ego quidem et iste tibi in his consentimus. *Athen.* Diximus porro generationes multas ita viventes, tam illis, qui ante diluvium fuerunt, quam hodiernis hominibus minorem peritiam habuisse cum ceterarum artium tum bellicarum, quae vel terra vel mari hodie exercentur, iudiciorum quoque et seditionum, quae in civitate et verbis et operibus sedulo contendunt ad iniuriam aliis inferendam: simpliciores autem fuisse et fortiores ac simul modestiores, et in omnibus iustiores. horum vero causam iam diximus. *Cli.* Recte loqueris. *Athen.* Dicta igitur ita haec nobis

πόμενα ἔτι πάντα εἰρήσθω τοῦδ' ἕνεκα, ἵνα νοήσω-
ιεν τοῖς τότε νόμων τίς ποτ' ἦν χρεία καὶ τίς ἦν νο- 680
ιοθέτης αὐτοῖς.

ΚΛ. Καὶ καλῶς γε εἴρηκας.

ΑΘ. Ἆρ' οὖν μὲν οὔτ' ἐδέοντο νομοθετῶν οὔ τέ
ω ἐφίλει κατὰ τούτους τοὺς χρόνους γίγνεσθαι τὸ
οιοῦτον; οὐδὲ γὰρ γράμματα ἔσι πω τοῖς ἐν τούτῳ
ῷ μέρει τῆς περιόδου γεγονόσιν, ἀλλ' ἔθεσι καὶ τοῖς
εγομένοις πατρίοις νόμοις ἑπόμενοι ζῶσιν.

ΚΛ. Εἰκὸς γοῦν.

ΑΘ. Πολιτείας δέ γε ἤδη καὶ τρόπος ἐσί τις
ὗτος.

ΚΛ. Τίς;

ΑΘ. Δοκοῦσί μοι πάντες τὴν ἐν τούτῳ τῷ χρόνῳ
ολιτείαν δυναξείαν καλεῖν, ἣ καὶ νῦν ἔτι πολλαχοῦ
ὶ ἐν Ἕλλησι καὶ κατὰ βαρβάρους ἐσί· λέγει δ' αὐτήν
ου καὶ Ὅμηρος γεγονέναι περὶ τὴν τῶν Κυκλώπων
ήσιν, εἰπών

τοῖσιν δ' οὔτ' ἀγοραὶ βουληφόροι οὔτε θέμιξες,
ἀλλ' οἵ γ' ὑψηλῶν ὀρέων ναίουσι κάρηνα
ἐν σπέσσι γλαφυροῖσι, θεμιξεύει δὲ ἕκαξος
παίδων ἠδ' ἀλόχων, οὐδ' ἀλλήλων ἀλέγουσιν.

ΚΛ. Ἔοικέ γε ὁ ποιητὴς ὑμῖν οὗτος γεγονέναι
ρίεις. καὶ γὰρ δὴ καὶ ἄλλα αὐτοῦ διεληλύθαμεν

it: et, quae sequuntur, iccirco exponantur omnia, ut intelli-
mus, cur illis opus legibus fuerit et quis leges eis condiderit.
i. Probe dixisti. *Athen.* An igitur illi nec legumlatoribus in-
gebant, neque dum illis temporibus id fieri consueverat? lite-
s enim nondum habebant illius temporis homines, sed consue-
dinem et mores maiorum sequentes vivebant. *Cli.* Verisimile
t. sed civilis disciplinae quis modus fuit? *Athen.* Hic. *Cli.*
uis? *Athen.* Omnes mihi videntur disciplinam vivendi civilem
ius temporis imperium appellare: quod etiam nunc multis in
is et apud Graecos et apud barbaros viget. quod quidem in
bitatione Cyclopum existisse, ita testatur Homerus: *His con-
iariae nullae sunt conciones, neque rostra iudiciorum: sed in
is montibus cava antra inhabitant; spretisque publicis, priva-
i quique uxoribus filiisque dant iura. Cli.* Iocundus hic poëta
bis fuisse videtur. atqui et alia nonnulla ipsius percurrimus,

ων ἕνεκα ποιοῦνται, μίαν οἰκίαν αὖ κοινὴν καὶ μεγάλην ἀποτελοῦντες.

ΚΛ. Τὸ γοῦν εἰκὸς ταῦθ' οὕτω γίγνεσθαι.

ΑΘ. Τί δέ; τόδε ἆρα οὐκ εἰκός;

ΚΛ. Τὸ ποῖον;

ΑΘ. Τῶν οἰκήσεων τούτων μειζόνων αὐξανομένων ἐκ τῶν ἐλαττόνων καὶ πρώτων ἑκάστην τῶν σμικρῶν παρεῖναι κατὰ γένος ἔχουσαν τόν τε πρεσβύτατον ἄρχοντα καὶ αὐτῆς ἔθη ἄττα ἴδια διὰ τὸ χωρὶς ἀλλήλων οἰκεῖν, ἕτερα ἀφ' ἑτέρων ὄντων τῶν γεννητόρων τε καὶ θρεψάντων, ἃ εἰθίσθησαν περὶ θεούς τε καὶ ἑαυτοὺς κοσμιωτέρων μὲν κοσμιώτερα καὶ ἀνδρικωτέρων ἀνδρικώτερα· καὶ κατὰ τρόπον οὕτως ἑκάστους τὰς τῶν ἀναιρέσεις εἰς τοὺς παῖδας ἀποτυπουμένους καὶ ἰδίων παῖδας, ὃ λέγομεν, ἥκειν ἔχοντας ἰδίους νόμους εἰς τὴν μείζονα ξυνοικίαν.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Καὶ μὴν τούς γε αὐτῶν νόμους ἀρέσκειν ἅπασιν ἀναγκαῖόν που, τοὺς δὲ τῶν ἄλλων ὑστέρους.

ΚΛ. Οὕτως.

ΑΘ. Ἀρχῇ δὴ νομοθεσίας οἷον ἐμβάντες ἐλάττονι, ὡς ἔοικεν.

ΚΛ. Πάνυ μὲν οὖν.

---

mos urbium ferarum causa condant, unam domum amplam communemque condentes. *Meg.* Verisimile id quidem videtur. *Athen.* Quid autem hoc? nonne etiam verisimile? *Meg.* Quidnam? *Athen.* Cum habitationes istae maiores e minoribus prisque sint factae, conveniens est adesse parvarum singulas geratim, habentes sigillatim seniores principes propriosque mores, eo, quod seorsum vixerint, et iccirco alios ab aliis parentibus ucatoribusque mores susceperint, quibus assueti sunt singuli Deos colendos seque ipsos curandos, modestiores quidem a odestis, a fortioribus fortiores, et in ceteris omnibus, prout iguli filios aut nepotes erudierunt, quorum ritus quasi leges oprias ad maiorem habitationem ferunt. *Meg.* Quid prohibet? *hen.* Atqui necesse est, leges suas cuique inprimis placere, alio- m vero leges loco secundo. *Meg.* Ita est. *Athen.* Sed videmur n in ipsam quasi legum lationem clam incidisse. *Meg.* Utique.

ΑΘ. Τὸ γοῦν μετὰ ταῦτα ἀναγκαῖον αἱρεῖσθαι τοὺς συνελθόντας τούτους κοινούς τινας ἑαυτῶν, οἳ δὴ τὰ πάντων ἰδόντες νόμιμα, τὰ σφισιν ἀρέσκοντα αὐτῶν μάλιστα εἰς τὸ κοινὸν τοῖς ἡγεμόσι καὶ ἀγαγοῦσι τοὺς δήμους οἷον βασιλεῦσι φανερὰ δείξαντες ἑλέσθαι τε δόντες, αὐτοὶ μὲν νομοθέται κληθήσονται, τοὺς δὲ ἄρχοντας καταξάσαντες, ἀριστοκρατίαν τινὰ ἐκ τῶν δυναστειῶν ποιήσαντες ἢ καί τινα βασιλείαν, ἐν ταύτῃ τῇ μεταβολῇ τῆς πολιτείας οἰκήσουσιν.

ΚΛ. Ἐφεξῆς γοῦν ἂν οὕτω τε καὶ ταύτῃ γίγνοιτο.

ΑΘ. Τρίτον τοίνυν εἴπωμεν ἔτι πολιτείας σχῆμα γιγνόμενον, ἐν ᾧ δὴ πάντα εἴδη καὶ παθήματα πολιτειῶν καὶ ἅμα πόλεων ξυμπίπτει γίγνεσθαι.

ΚΛ. Τὸ ποῖον δὴ τοῦτο;

ΑΘ. Ὃ μετὰ τὸ δεύτερον καὶ Ὅμηρος ἐπεσημήνατο, λέγων τὸ τρίτον οὕτω γεγονέναι· κτίσσε δὲ Δαρδανίην γάρ πού φησιν,

ἐπεὶ οὔπω Ἴλιος ἱρὴ
ἐν πεδίῳ πεπόλιζο, πόλις μερόπων ἀνθρώπων,
ἀλλ' ἔθ' ὑπωρείας ᾤκουν πολυπιδάκου Ἴδης.

682 λέγει γὰρ δὴ ταῦτα τὰ ἔπη καὶ ἐκεῖνα ἃ περὶ τῶν Κυκλώπων εἴρηκε κατὰ θεόν πως εἰρημένα καὶ κατὰ φύ-

Athen. Post haec necesse est, ut qui conveniunt, aliquos ex se ipsis communiter eligant, qui omnium instituta noverint, et quae maxime ex his probaverint, ad communes quosdam populi duces, quasi reges, deferant. earum vero legum, quae comprobatae fuerint, ipsi latores nominabuntur: constituentesque optimatum gubernationem ex imperiis, aut regnum aliquod, in hac civilis disciplinae mutatione conviuent. *Meg.* Ita certe convenienti successione continget. *Athen.* Tertiam itaque disciplinae civilis figuram iam dicamus; in qua species omnes et affectus rerum publicarum et civitatum reperiuntur. *Meg.* Quaenam ista est? *Athen.* Ea certe est, quam Homerus post secundam tertio factam ita significavit: *Dardaniam vero tunc terram ille aedificavit, nondum enim sacra Ilii moenia erecta in campis stabant, multarum gentium civitas, sed ad radices montis Idae fontifluae haditabant.* Profecto carmina haec, et superiora illa de Cyclopibus divinitus et secundum naturam ipsam conscripta sunt. divinum enim poëta-

ν· θεῖον γὰρ οὖν δὴ καὶ τὸ ποιητικὸν ὂν γένος μυθοῦν πολλῶν τῶν κατ' ἀλήθειαν γιγνομένων ξὺν τοῖς Χάρισι καὶ Μούσαις ἐφάπτεται ἑκάστοτε.

ΚΛ. Καὶ μάλα.

ΑΘ. Εἰς δὴ τὸ πρόσθεν προέλθωμεν ἔτι τοῦ νῦν παλθόντος ἡμῖν μύθου· τάχα γάρ ἂν σημήνειέ τι τῆς μετέρας πέρι βουλήσεως. οὐκοῦν χρή;

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Κατῳκίσθη δή, φαμέν, ἐκ τῶν ὑψηλῶν εἰς ἐγα τε καὶ καλὸν πεδίον Ἴλιον, ἐπὶ λόφον τινὰ οὐχ ψηλὸν καὶ ἔχοντα ποταμοὺς πολλοὺς ἄνωθεν ἐκ τῆς δης ὡρμημένους.

ΚΛ. Φασὶ γοῦν.

ΑΘ. Ἆρ' οὖν οὐκ ἐν πολλοῖς τισὶ χρόνοις τοῖς πὰ τὸν κατακλυσμὸν τοῦτο οἰόμεθα γεγονέναι;

ΚΛ. Πῶς δ' οὐκ ἐν πολλοῖς;

ΑΘ. Δεινὴ γοῦν ἔοικεν αὐτοῖς λήθη τότε παρεῖι τῆς νῦν λεγομένης φθορᾶς, ὅθ' οὕτως ὑπὸ ποταοὺς πολλοὺς καὶ ἐκ τῶν ὑψηλῶν ῥέοντας πόλιν ὑπέσαν, πιστεύσαντες οὐ σφόδρα ὑψηλοῖς τισὶ λόφοις.

ΚΛ. Δῆλον οὖν ὡς παντάπασί τι μακρὸν ἀπεῖχον όνον τοῦ τοιούτου πάθους.

ΑΘ. Καὶ ἄλλαι γε, οἶμαι, πόλεις τότε κατῴκουν ἢ πολλαὶ πληθυόντων τῶν ἀνθρώπων.

m genus est: diis agitur, et sacros concinit hymnos. unde ra passim cum Musis atque Gratiis tangere solent. *Meg.* mmopere. *Athen.* Praestantem igitur fabulam prosequamur, rte enim aliquid ex ea patebit ex his, quae volumus. an n sic oportet? *Meg.* Sic prorsus. *Athen.* Conditum igir ex altioribus in magno pulchroque campo Ilium accepins in colle quodam non alto, quo multi desuper ex Ida fluvii fluebant. *Meg.* Sic traditum est. *Athen.* An non longo post luvium tempore id factum putamus? *Meg.* Quis non ita puta-? *Athen.* Magna igitur eos devastationis illius cepisse videtur livio, quando iuxta multos fluvios et ab altioribus locis fluen- urbem condiderunt, sequ- ipsos collibus exiguis cred dere de perspicuum est, multis seculis eos post illuvionis vastita. n fuisse. Aliae praeterea multae urbes, iam tunc longius pro-

ΚΛ. Τί μήν;

ΑΘ. Αἴ γέ που καὶ ἐπεστρατεύσαντο αὐτῇ, καὶ κατὰ θάλατταν δὲ ἴσως, ἀφόβως ἤδη πάντων χρωμένων τῇ θαλάττῃ.

ΚΛ. Φαίνεται.

ΑΘ. Δέκα δ' ἔτη που μείναντες Ἀχαιοὶ τὴν Τροίαν ἀνάστατον ἐποίησαν.

ΚΛ. Καὶ μάλα.

ΑΘ. Οὐκοῦν ἐν τούτῳ τῷ χρόνῳ, ὄντι δεκάτει, ὃν τὸ Ἴλιον ἐπολιορκεῖτο, τὰ τῶν πολιορκούντων ἑκάσων οἴκοι κακὰ πολλὰ ξυνέβαινε γιγνόμενα περὶ τὰς σάσεις τῶν νέων, οἳ καὶ ἀφικομένους τοὺς στρατιώτας εἰς τὰς αὑτῶν πόλεις τε καὶ οἰκίας οὐ καλῶς οὐδ' ἐν δίκῃ ὑπεδέξαντο, ἀλλ' ὥστε θανάτους τε καὶ σφαγὰς καὶ φυγὰς γενέσθαι παμπόλλας; οἳ πάλιν ἐκπεσόντες κατῆλθον μεταβαλόντες ὄνομα, Δωριῆς ἀντ' Ἀχαιῶν κληθέντες διὰ τὸ τὸν συλλέξαντα εἶναι τοὺς τότε φυγάδας Δοριᾶ. καὶ δὴ ταῦτά γε ἤδη πάνθ' ὑμεῖς, ὦ Λακεδαιμόνιοι, τἀντεῦθεν μυθολογεῖτε καὶ διαπεραίνετε.

ΜΕ. Τί μήν;

ΑΘ. Ὅθεν δὴ κατ' ἀρχὰς ἐξετραπόμεθα περὶ νόμων διαλεγόμενοι, περιπεσόντες μουσικῇ τε καὶ ταῖς μέθαις, νῦν ἐπὶ τὰ αὐτὰ πάλιν ἀφίγμεθα ὥς περ κατὰ θεόν, καὶ ὁ λόγος ἡμῖν οἷον λαβὴν ἀποδίδωσιν· ἥκει

pagato genere hominum, colebantur. *Meg.* Quidni? *Athen.* Quae scilicet et adversus Ilion militarunt: atque per mare forsan, quasi iam omnes eo intrepide uterentur. *Meg.* Apparet. *Athen.* Decennio autem Achivi Troiam oppugnantes everterunt. *Meg.* Plane. *Athen.* In eo igitur decennio, quo Troia obsidebatur, multa mala domi obsidentibus Achivis propter seditiones invenum acciderunt, qui nec honeste nec iuste in sua redeuntes milites recepere, sed ita ut multi morte, multi exsilio afficerentur. qui rursus expulsi deducti sunt, Dori pro Aehivis mutato nomine appellati, propter Doricum quendam, a quo exsules congregati et restituti fuerunt. atque haec omnia vos, o Lacedaemonii, hinc enarratis. *Meg.* Procul dubio. *Athen.* Cum sermo nobis de legibus institutus esset, in disputationem de musica et ebrietate digressi sumus. nunc tandem, quasi divinitus, ad idem nobis oratio revoluta est, nobisque quodammodo ansas praebuit. ad eam enim civilem di-

γὰρ ἐπὶ τὴν εἰς Λακεδαίμονα κατοίκισιν αὐτήν, ἣν 683
ὑμεῖς ὀρθῶς ἔφατε κατοικεῖσθαι καὶ Κρήτην ὡς ἀδελφοῖς νόμοις. νῦν οὖν δὴ τοσόνδε πλουνεκτοῦμεν τῇ πλάνῃ τοῦ λόγου, διὰ πολιτειῶν καὶ κατοικισμῶν διεξελθόντες· ἐθεασάμεθα πρώτην τε καὶ δευτέραν καὶ τρίτην πόλιν, ἀλλήλων, ὡς οἰόμεθα, ταῖς κατοικίσεσιν ἐχομένας ἐν χρόνου τινὸς μήκεσιν ἀπλέτοις. νῦν δὲ δὴ τετάρτη τις ἡμῖν αὕτη πόλις, εἰ δὲ βούλεσθε, ἔθνος ἥκει κατοικιζόμενόν τέ ποτε καὶ νῦν κατῳκισμένον. ἐξ ὧν ἁπάντων εἴ τι ξυνεῖναι δυνάμεθα τί τε καλῶς ἢ μὴ κατῳκίσθη, καὶ ποῖοι νόμοι σώζουσιν αὐτῶν τὰ σωζόμενα καὶ ποῖοι φθείρουσι τὰ φθειρόμενα, καὶ ἀντὶ ποίων ποῖα μετατεθέντα εὐδαίμονα πόλιν ἀπεργάζοιτ' ἄν, ὦ Μέγιλλέ τε καὶ Κλεινία. ταῦτα δὴ πάλιν οἷον ἐξ ἀρχῆς ἡμῖν λεκτέον, εἰ μή τι τοῖς εἰρημένοις ἐγκαλοῦμεν λόγοις.

ΜΕ. Εἰ γοῦν, ὦ ξένε, τις ἡμῖν ὑπόσχοιτο θεὸς ὡς, ἐὰν ἐπιχειρήσωμεν τὸ δεύτερον τῇ τῆς νομοθεσίας σκέψει, τῶν νῦν εἰρημένων λόγων οὐ χείρους οὐδ' ἐλάττους ἀκουσόμεθα, μακρὰν ἂν ἔλθοιμι ἔγωγε, καί μοι βραχεῖ' ἂν δόξειεν ἡ νῦν παροῦσα ἡμέρα γίγνεσθαι.

sciplinam delapsa est, quam et in Lacedaemonia et in Creta recte, quasi fraternis legibus, institutam asseritis. tantum vero ex hac orationis digressione lucrati sumus, ut, dum per disciplinas civiles urbiumque habitationes transveheremur, primam et secundam et tertiam civitatem perspexerimus, alteram ab altera in tractu quodam longissimo temporis, ut nostra fert opinio, dependentem. nunc vero quarta haec nobis civitas venit, aut, si vultis, quartum hoc hominum genus, quod et quandoque alicubi habitavit et nunc iam habitat. ex quibus omnibus si intelligere potuerimus, quid bene vel contra in habitatione sit institutum, et quaenam leges ipsorum conservant ea quae conservantur, et quae corrupta corrumpunt, et qualis institutionum civilium commutatio beatam o Megille et Clinia, efficit civitatem, satis nobis factum putabimus. haec omnia, inquam, rursus, tanquam ab initio, nobis tractanda sunt: nisi forte aliquo pacto, quae dicta sunt, respuamus. *Meg.* Si quis nobis, hospes, Deus polliceretur, quod si disputationem rursus de latione legum aggrederemur, neque pauciora neque peiora his, quae dicta sunt, audiremus: longum ipse hac de causa iter facerem, et brevis mihi haec dies videretur, quamvis ab aestivali

καί τοι σχεδόν γ' ἐξὶν ἡ ἐκ θερινῶν εἰς τὰ χειμερινὰ τοῦ θεοῦ τρεπομένου.

ΑΘ. Χρὴ δὴ ταῦτα, ὡς ἔοικε, σκοπεῖν.

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Γενώμεθα δὴ ταῖς διανοίαις ἐν τῷ τότε χρόνῳ, ὅτε Λακεδαίμων μὲν καὶ Ἄργος καὶ Μεσσήνη καὶ τὰ μετὰ τούτων ὑποχείρια τοῖς προγόνοις ὑμῶν, ὦ Μέγιλλε, ἱκανῶς ἐγεγόνει· τὸ δὲ δὴ μετὰ τοῦτο ἔδοξεν αὐτοῖς, ὥς γε λέγεται τὸ τοῦ μύθου, τριχῇ τὸ στράτευμα διανείμαντας τρεῖς πόλεις κατοικίζειν, Ἄργος, Μεσσήνην, Λακεδαίμονα.

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Καὶ βασιλεὺς μὲν Ἄργους Τήμενος ἐγίγνετο, Μεσσήνης δὲ Κρεσφόντης, Λακεδαίμονος δὲ Προκλῆς καὶ Εὐρυσθένης.

ΜΕ. Πῶς γὰρ οὔ;

ΑΘ. Καὶ πάντες δὴ τούτοις ὤμοσαν οἱ τότε βοηθήσειν. ἐάν τις τὴν βασιλείαν αὐτῶν διαφθείρῃ.

ΜΕ. Τί μήν;

ΑΘ. Βασιλεία δὲ καταλύεται, ὦ πρὸς Διός, ἢ καί τις ἀρχὴ πώποτε κατελύθη μὴν ὑπό τινων ἄλλων ἢ σφῶν αὐτῶν; ἢ νῦν δὴ μὲν ὀλίγον ἔμπροσθεν τούτοις περιπυχόντες τοῖς λόγοις οὕτω ταῦτ' ἐτίθεμεν, νῦν δ' ἐπιλελήσμεθα;

solstitio ad hiemalia deus modo vertatur. *Athen.* Considerandа igitur ista videntur. *Meg.* Maxime. *Athen.* Illa itaque tempora cogitatione complectamur, in quibus Lacedaemon, Argi, Messenaque et eis coniuncta omnia maioribus vestris, Megille, subiecta fuerunt. tunc enim illud fabulae ipsis, ut dicitur, placuit, ut tripartito exercitu divisi, urbes tres habitarent, Argos, Messenen, Lacedaemonem. *Meg.* Sic factum. *Athen.* Et Argorum quidem rex Temenus factus est, Messenae vero Cresphontes, Lacedaemonis autem Eurysthenes simul atque Patrocles. *Meg.* Sic utique. *Athen.* Iurarunt item omnes se illi repugnaturos, qui cuiuspiam regnum devastare aggrederetur. *Meg.* Plane. *Athen.* Dic vero, per Iovem, nunquid regnum vel principatus aliquis deponatur, vel depositus quandoque ab aliis sit, quam a se ipsis? an paulo ante, cum in hunc sermonem incideremus, id ita esse putabamus, nunc autem obliti omnino sumus? *Meg.* Minime. *Athen.*

ΜΕ. Καὶ πῶς;

ΑΘ. Οὐκοῦν νῦν δὴ μᾶλλον βεβαιωσόμεθα τὸ
οιοῦτον· περιτυχόντες γὰρ ἔργοις γενομένοις, ὡς ἔοι-
ιεν, ἐπὶ τὸν αὐτὸν λόγον ἐληλύθαμεν, ὥστε οὐ περὶ
ενόν τι ζητήσομεν τὸν αὐτὸν λόγον, ἀλλὰ περὶ γεγο- 684
ὸς τε καὶ ἔχον ἀλήθειαν. γέγονε δὴ τάδε· βασιλεῖαι
ρεῖς βασιλευομέναις πόλεσι τριτταῖς ὤμοσαν ἀλλήλαις
ώτεραι, κατὰ νόμους οὓς ἔθεντο τοῦ τε ἄρχειν καὶ
ρχεσθαι κοινούς, οἱ μὲν μὴ βιαιοτέραν τὴν ἀρχὴν
ησεσθαι προϊόντος τοῦ χρόνου καὶ γένους, οἱ δὲ
ῦτα ἐμπεδούντων τῶν ἀρχόντων μήτε αὐτοὶ τὰς βα-
λείας ποτὲ καταλύσειν μήτ' ἐπιτρέψειν ἐπιχειροῦσιν
έροις, βοηθήσειν δὲ βασιλῆς τε βασιλεῦσιν ἀδικουμέ-
ις καὶ δήμοις καὶ δῆμοι δήμοις καὶ βασιλεῦσιν ἀδι-
υμένοις. ἆρ' οὐχ οὕτως;

ΜΕ. Οὕτω μὲν οὖν.

ΑΘ. Οὐκοῦν τό γε μέγιστον ταῖς καταξάσεσι τῶν
λιτειῶν ὑπῆρχε ταῖς ἐν ταῖς τρισὶ πόλεσι νομοθετου-
ένοις, εἴτε οἱ βασιλῆς ἐνομοθέτουν εἴτ' ἄλλοι τινές;

ΜΕ. Ποῖον;

ΑΘ. Τὸ βοηθούς γε εἶναι τὰς δύο ἐπὶ τὴν μίαν
ὶ πόλιν, τὴν τοῖς τεθεῖσι νόμοις ἀπειθοῦσαν.

ΜΕ. Δῆλον.

nne idem magis nunc confirmabimus? ab historia enim rerum
starum, in quam incidimus, ad hoc affirmandum ammonemur.
are non circa vanum aliquid orationem revolvemus, cum rem
stam ac veram dicamus. facta vero haec sunt: tria regna et tres
bernatae regno civitates, legibus communiter de imperando pa-
adoque positis, iurarunt invicem: reges quidem ne genere ac
npore progrediente violentius regnarent; populi autem, si re-
s iusiurandum conservarent, ne unquam regno deponerent,
mo vero defenderent, si quis unquam aggrederetur. reges quo-
e regibus et populis, atque etiam populi populis et regibus, se
atuo propulsaturos illatas iniurias coniurarunt. nonne ita? *Meg.*
i prorsus. *Athen.* Quod autem in constituenda disciplina civili
ximum est, id, sive reges sive alii leges tulerint, tribus illis civita-
ous adfuit. *Meg.* Quid illud? *Athen.* Ut duae simul contra unam
surgerent, quae positas leges transgrederetur. *Meg.* Manifestum id

ΑΘ. Καὶ μὴν τοῦτό γε οἱ πολλοὶ προστάττουσι τοῖς νομοθέταις, ὅπως τοιούτους θήσουσι τοὺς νόμους οὓς ἑκόντες οἱ δῆμοι καὶ τὰ πλήθη δέξονται, καθά περ ἂν εἴ τις γυμναστὴς ἢ ἰατροῖς προστάττοι μεθ' ἡδονῆς θεραπεύειν τε καὶ ἰᾶσθαι τὰ θεραπευόμενα σώματα.

ΜΕ. Παντάπασι μὲν οὖν.

ΑΘ. Τὸ δέ γ' ἐξὸν ἀγαπητόν πολλάκις εἰ καί τις μετὰ λύπης μὴ μεγάλης δύναιτο εὐεκτικά τε καὶ ὑγιῆ σώματα ἀπεργάζεσθαι.

ΜΕ. Τί μήν;

ΑΘ. Καὶ τόδε γε ἔτι τοῖς τότε ὑπῆρχεν οὐ σμικρὸν εἰς ῥᾳστώνην τῆς θέσεως τῶν νόμων.

ΜΕ. Τὸ ποῖον;

ΑΘ. Οὐκ ἦν τοῖς νομοθέταις ἡ μεγίστη τῶν μέμψεων, ἰσότητα αὐτοῖς τινὰ κατασκευάζουσι τῆς οὐσίας, ἥ περ ἐν ἄλλαις νομοθετουμέναις πόλεσι πολλαῖς γίγνεται, ἐάν τις ζητῇ γῆς τε κτῆσιν κινεῖν καὶ χρεῶν διάλυσιν, ὁρῶν ὡς οὐκ ἂν δύναιτο ἄνευ τούτων γενέσθαι ποτὲ τὸ ἴσον ἱκανῶς· ὡς ἐπιχειροῦντι δὴ νομοθέτῃ κινεῖν τῶν τοιούτων τι πᾶς ἀπαντᾷ λέγων μὴ κινεῖν τὰ ἀκίνητα, καὶ ἐπαρᾶται γῆς τε ἀναδασμοὺς εἰσηγούμενον καὶ χρεῶν ἀποκοπάς, ὥστ' εἰς ἀπορίαν

quidem. *Athen.* Illud etiam legislatoribus multi praecipiunt, ut leges huiusmodi ferant, quales multitudo et populus libenter suscipiant: perinde ac si quis gymnasii magistris medicisve praeciperet, ut cum voluptate corpora curent, eisque iucunde medeantur. *Meg.* Sic omnino. *Athen.* Satis tamen saepius est, si quis parva cum molestia bonam habitudinem et sanitatem corporibus reddat. *Meg.* Quidni? *Athen.* Hoc praeterea ipsis aderat non parvum ad ferendarum legum facilitatem. *Meg.* Quidnam? *Ath.* Non erat illarum legum latoribus, bonorum aequalitatem efficientibus, maxima illa difficultas, quae convenientibus in unam legem civitatibus multis solet accidere, si agrorum quaerant possessionem turbare et novas tabulas introducere, quoniam videant non satis posse absque his aequalitatem fieri. nam adversus eum, qui movere ex his aliquid tentat, omnes reclamant, ne moveat non movenda. agros quippe dividenti et novas tabulas introducenti aperte omnes maledicunt, ut quisque, quo se vertat, igno-

ιδίσασθαι πάντα ἄνδρα. τοῖς δὲ δὴ Δωριεῦσι καὶ νῦθ' οὕτως ὑπῆρχε καλῶς καὶ ἀνεμεσήτως, γῆν τε ναμφισβητήτως διανέμεσθαι, καὶ χρέα μεγάλα καὶ παιὰ οὐκ ἦν.

ΜΕ. Ἀληθῆ.

ΑΘ. Πῇ δή ποτε οὖν, ὦ ἄριστοι, κακῶς οὕτως ὑτοῖς ἐχώρησεν ἡ κατοίκισίς τε καὶ νομοθεσία;

ΜΕ. Πῶς δή, καὶ τί μεμφόμενος αὐτῶν λέγεις; 685

ΑΘ. Ὅτι τριῶν γενομένων τῶν οἰκήσεων τὰ δύο ὑτῶν μέρη ταχὺ τήν τε πολιτείαν καὶ τοὺς νόμους ἐφθειρε, τὸ δὲ ἓν μόνον ἔμεινε, τὸ τῆς ὑμετέ-ς πόλεως.

ΜΕ. Οὐ πάνυ ῥᾴδιον ἐρωτᾷς.

ΑΘ. Ἀλλὰ μὲν δεῖ γε ἡμᾶς τοῦτο ἐν τῷ νῦν σποῦντας καὶ ἐξετάζοντας περὶ νόμων, παίζοντας ιδιὰν πρεσβυτικὴν σώφρονα, διελθεῖν τὴν ὁδὸν ἀλύ-ως, ὡς ἔφαμεν ἡνίκα ἠρχόμεθα πορεύεσθαι.

ΜΕ. Τί μήν; καὶ ποιητέον γε ὡς λέγεις.

ΑΘ. Τίνα οὖν ἂν σκέψιν καλλίω ποιησαίμεθα ρὶ νόμων ἢ τοίντων οἳ ταύτας διακεκοσμήκασιν; ἢ λεων πέρι τίνων εὐδοκιμωτέρων τε καὶ μειζόνων κα-ισέων σκοποίμεθ' ἄν;

ΜΕ. Οὐ ῥᾴδιον ἀντὶ τούτων ἑτέρας λέγειν.

. Doris autem haec difficultas turbatioque non fuit. nam agros nde sine controversia possidebant, debitaque ipsis aeris alieni sca et magna non erant. *Meg.* Vera narras. *Athen.* Quonam tur, optimi viri, ita male constitutio illa et legislatio ipsis abi-? *Meg.* Quo id pacto? quidve culpas? *Athen.* Quod ex tri-s civitatum constitutionibus duae cito et disciplinam civilem et es perdiderunt, et vestra civitas una relicta est. *Meg.* Haud ile est, quod interrogas. *Athen.* Atqui opus est, ut id modo nsiderantes, disserentesque de legibus senili quodam modestoque o, iter hoc, quemadmodum a principio diximus sine molestia con-amus. *Meg.* Procul dubio faciendum est, ut dicis. *Athen.* An tur pulchriorem de legibus considerationem habere possumus, am de his legibus, quae civitates huiusmodi exornarunt? aut am civitates ullas institutionesque honestiores ac maiores his gitare? *Meg.* Non facile quispiam his alias anteponat. *Athen.*

ΑΘ. Οὐκοῦν ὅτι μὲν διενοοῦντό γε οἱ τότε τὴν κατασκευὴν ταύτην οὐ Πελοποννήσῳ μόνον ἔσεσθαι βοηθὸν ἱκανήν, σχεδὸν δῆλον, ἀλλὰ καὶ τοῖς Ἕλλησι πᾶσιν, εἴ τις τῶν βαρβάρων αὐτοὺς ἀδικοῖ, παθά περ οἱ περὶ τὸ Ἴλιον οἰκοῦντες τότε, πιζεύοντες τῇ τῶν Ἀσσυρίων δυνάμει τῇ περὶ Νῖνον γενομένῃ, θρασυνόμενοι τὸν πόλεμον ἤγειραν τὸν ἐπὶ Τροίαν. ἦν γὰρ ἔτι τὸ τῆς ἀρχῆς ἐκείνης σχῆμα τὸ σωζόμενον οὐ σμικρόν. καθά περ νῦν τὸν μέγαν βασιλέα φοβούμεθα ἡμεῖς, καὶ τότε ἐκείνην τὴν συζαθεῖσαν σύνταξιν ἐδέδισαν οἱ τότε. μέγα γὰρ ἔγκλημα πρὸς αὐτοὺς ἡ τῆς Τροίας ἅλωσις τὸ δεύτερον ἐγεγόνει· τῆς ἀρχῆς γὰρ τῆς ἐκείνων ἦν μόριον. πρὸς δὴ ταῦτα πάντα ἡ τοῦ στρατοπέδου τοῦ τότε διανεμηθεῖσα εἰς τρεῖς πόλεις κατασκευὴ μία ὑπὸ βασιλέων ἀδελφῶν, παίδων Ἡρακλέους, καλῶς ἐδόκει ἀνευρημένη καὶ κατακεκοσμημένη καὶ διαφερόντως τῆς ἐπὶ τὴν Τροίαν ἀφικομένης. πρῶτον μὲν γὰρ τοὺς Ἡρακλείδας τῶν Πελοπιδῶν ἀμείνους ἡγοῦντο ἀρχόντων ἄρχοντας ἔχειν, ἔπειτ' αὖ τὸ στρατόπεδον τοῦτο τοῦ ἐπὶ Τροίαν ἀφικομένου διαφέρειν πρὸς ἀρετήν· νενικηκέναι γὰρ τούτους, ἡττᾶσθαι δ' ὑπὸ τούτων ἐκείνους, Ἀχαιοὺς ὄντας ὑπὸ Δωριέων. ἆρ' οὐχ οὕτως

Nemo autem ambiget, quin illi ita coniuncti non Peloponnessum tantum, verum etiam universam Graeciam, si barbarus quispiam iniuriam intentaret, defendere posse crediderint; Troianorum exemplo commonitus, qui Assyriorum potentia freti, quae a Nino traxit originem, bellum contra se concitarunt. erat enim adhuc principatus illius non contemnenda potentia. quare, quemadmodum nunc regem nos magnum formidamus, ita gentium illarum conspirantium in unum potentiam tunc omnes expavescebant. Magnam vero adversus eas criminationem secunda Troiae eversio praebuit. Assyriorum enim principatus particula quaedam Troiae potentia fuit. adversus igitur eam potentiam in tres divisus civitates exercitus a fratribus, Herculis filiis, tunc regnantibus, optime atque ornatissime factus videbatur, et multo melius instructus, quam qui Troiam obsedit. primum enim Herculidas excellentiores principes quam Pelopidas habere arbitrabantur: deinde hunc exercitum illi, qui Troiam petiit, virtute praestare. hos enim vicisse; illos ab istis fuisse superatos, a Doris Achivos,

οἰόμεθα καὶ τῇ διανοίᾳ ταύτῃ κατασκευάζεσθαι τοὺς τότε;

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Οὐκοῦν καὶ τὸ βεβαίως οἴεσθαι ταῦθ' ἕξειν εἰκὸς αὐτοὺς καὶ χρόνον τινὰ ἂν πολὺν μένειν, ἅτε 686
πεκοινωνηκότας μὲν πολλῶν πόνων καὶ κινδύνων ἀλλήλοις, ὑπὸ γένους δὲ ἑνὸς τῶν βασιλέων ἀδελφῶν ὄντων διακεκοσμημένους, πρὸς τούτοις δ' ἔτι καὶ πολλοῖς μάντεσι κεχρημένους εἶναι τοῖς τε ἄλλοις καὶ τῷ Δελφικῷ Ἀπόλλωνι;

ΜΕ. Πῶς δ' οὐκ εἰκός;

ΑΘ. Ταῦτα δὴ τὰ μεγάλα οὕτω προσδοκώμενα διέπτατο, ὡς ἔοικε, τότε ταχύ, πλὴν ὅ περ εἴπομεν νῦν δὴ σμικροῦ μέρους τοῦ περὶ τὸν ὑμέτερον τόπον· καὶ τοῦτο δὴ πρὸς τὰ δύο μέρη πολεμοῦν οὐ πώποτε πέπαυται μέχρι τοῦ νῦν· ἐπεὶ γενομένη γε ἡ τότε διάφοια καὶ ξυμφωνήσασα εἰς ἓν ἀνυπόστατον ἄν τινα δύναμιν ἔσχε κατὰ πόλεμον.

ΜΕ. Πῶς γὰρ οὔ;

ΑΘ. Πῶς οὖν καὶ πῇ διώλετο; ἆρ' οὐκ ἄξιον ἐπισκοπεῖν, τηλικοῦτον καὶ τοιοῦτον σύγημα ἤ τίς ποτε τύχη διέφθειρεν;

ΜΕ. Σχολῇ γὰρ οὖν δή τις ἂν ἄλλο σκοπῶν ἢ

Nonne sic illos cogitasse, istaque de causa sic se praeparasse credimus? *Meg.* Omnino. *Athen.* Verisimile igitur, illos firmam quoque constitutionem hanc suam fore putasse, longumque tempus duraturam: praesertim quia multa pericula et labores una subierunt, et a fratribus regibus gubernabantur. nec non multis usi fuerant vatibus, tum aliis tum Apolline Delphico. *Meg.* Verisimile admodum. *Athen.* Haec vero, quae maxima fore existimabantur, brevi tunc, ut videtur, evanuerunt, praeter parvam, ut modo diximus, partem, quae vestram habitat regionem. haec vero nunquam ad hunc usque diem a bello contra duas partes suscepto cessavit. nam si facta tunc constitutio concors mansisset, invicta profecto in bello fuisset. *Meg.* Cur non? *Athen.* Quomodo igitur et qua ratione dissoluta est? nonne consideratione dignum est. quaenam fortuna tantam ac talem constitutionem evertit? *Meg.* Nunquam profecto aliud considerans quis-

νόμους ἢ πολιτείας ἄλλας θεάσαιτο σωζούσας καλὰ καὶ μεγάλα πράγματα ἢ καὶ τοὐναντίον διαφθειρούσας τὰ παράπαν, εἰ ἀμελήσειε τούτων.

ΑΘ. Τοῦτο μὲν ἆρα, ὡς ἔοικεν, εὐτυχῶς πως ἐμβεβήκαμέν γε εἴς τινα σκέψιν ἱκανήν.

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Ἆρ' οὖν, ὦ θαυμάσιε, λελήθαμεν ἄνθρωποι πάντες, καὶ τὰ νῦν δὴ ἡμεῖς, οἰόμενοι μὲν ἑκάστοτέ τι καλὸν ὁρᾶν πρᾶγμα γενόμενον καὶ θαυμαστὰ ἂν ἐργασάμενον, εἴ τις ἆρα ἠπιστήθη καλῶς αὐτῷ χρήσασθαι κατά τινα τρόπον, τὸ δὲ νῦν γε ἡμεῖς τάχ' ἂν ἴσως περὶ τοῦτο αὐτὸ οὔτ' ὀρθῶς διανοούμεθα οὔτε κατὰ φύσιν, καὶ δὴ καὶ περὶ τἆλλα πάντες πάντα περὶ ὧν ἂν οὕτω διανοηθῶσιν;

ΜΕ. Λέγεις δὲ δὴ τί, καὶ περὶ τίνος σοι φῶμεν μάλιστ' εἰρῆσθαι τοῦτον τὸν λόγον;

ΑΘ. Ὦ γαθέ, καὶ αὐτὸς ἐμαυτοῦ νῦν δὴ κατεγέλασα. ἀποβλέψας γὰρ πρὸς τοῦτον τὸν ζόλον οὗ πέρι διαλεγόμεθα, ἔδοξέ μοι πάγκαλός τε εἶναι καὶ θαυμαστὸν κτῆμα παραπεσεῖν τοῖς Ἕλλησιν, ὃ περ εἶπον, εἴ τις ἆρα αὐτῷ τότε καλῶς ἐχρήσατο.

ΜΕ. Οὐκοῦν εὖ καὶ ἐχόντως νοῦν σύ τε πάντα εἶπες καὶ ἐπῃνέσαμεν ἡμεῖς;

piam, vel leges vel res publicas alias, intelligere poterit, quibus pulchrae magnaeque res serventur, vel contra perdantur, si ista neglexerit. *Athen.* Feliciter ergo in sufficientem hanc considerationem incidisse videmur. *Meg.* Summopere. *Athen.* Nunquid ergo noster nos omnes latet error, et in praesentia maxime, dum putamus singularem quandam perspicere rem, quam mirabiles sequentur eventus si quis bene illa uti modo debito non ignorabit? nos autem modo neque recte forsan, neque secundum naturam, de hoc ipso sentimus: et alii omnes in omnibus errant, de quibus similiter cogitant? *Meg.* Quid ais? et qua de re istud maxime dicis? *Athen.* Ipse me, o bone vir, nunc certe derisi. cum enim illum exercitum, de quo modo sermo habitus est, considerassem, egregius profecto atque mirandus mihi visus est, et praeclara quaedam facinora Graecis gesturus, si quis tunc ipso bene usus fuisset. *Meg.* An non prudenter et tu cuncta dixisti? et nos probe laudavimus?

ΑΘ. Ἴσως· ἐννοῶ γε μὲν ὡς πᾶς ὃς ἂν ἴδῃ τι μέγα καὶ δύναμιν ἔχον πολλὴν καὶ ῥώμην, εὐθὺς ἔπαθε τοῦτο, ὡς εἴ περ ἐπίσαιτο ὁ κεκτημένος αὐτῷ χρῆσθαι τοιούτῳ τε ὄντι καὶ τηλικούτῳ, θαυμάς' ἂν καὶ πολλὰ κατεργασάμενος εὐδαιμονοῖ.

ΜΕ. Οὐκοῦν ὀρθὸν καὶ τοῦτο; ἢ πῶς λέγεις;

ΑΘ. Σκόπει δὴ ποῖ βλέπων ὁ τὸν ἔπαινον τοῦ- 687
τον περὶ ἑκάστου τιθέμενος ὀρθῶς λέγει. πρῶτον δὲ περὶ αὐτοῦ τοῦ νῦν λεγομένου, πῶς, εἰ κατὰ τρόπον ἠπιεζήθησαν τάξαι τὸ στρατόπεδον οἱ τότε διακοσμοῦντες, τοῦ καιροῦ πως ἂν ἔτυχον; ἆρ' οὐκ εἰ ξυνέζησάν τε ἀσφαλῶς αὐτὸ διέσωζόν τε εἰς τὸν ἀεὶ χρόνον, ὥστε αὐτούς γε ἐλευθέρους εἶναι καὶ ἄλλων ἄρχοντας ὧν βουληθεῖεν, καὶ ὅλως ἐν ἀνθρώποις πᾶσι καὶ Ἕλλησι καὶ βαρβάροις πράττειν ὅ τι ἐπιθυμοῖεν αὐτοί τε καὶ οἱ ἔκγονοι; μιῶν οὐ τούτων χάριν ἐπιθυμοῖεν ἄν;

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Ἆρ' οὖν καὶ ὃς ἂν ἰδὼν πλοῦτον μέγαν ἢ τιμὰς διαφερούσας γένους ἢ καὶ ὁτιοῦν τῶν τοιούτων εἴπῃ ταὐτὰ ταῦτα, πρὸς τοῦτο βλέπων εἶπεν, ὡς διὰ τοῦτο αὐτῷ γενησόμενα ὧν ἂν ἐπιθυμῇ πάντα ἢ τὰ πλεῖστα καὶ ὅσα ἀξιώτατα λόγου;

Athen. Fortasse. puto tamen omnes, qui magnum aliquid et ingenti potentia praeditum viderint, statim sic affici, ut opinentur, si sciret, qui ipsum possidet, tanta re talique uti, multis praeclarisque inde rebus gestis felicem fore. *Meg.* Nonne et hoc rectum? vel quomodo dicis? *Athen.* Considera iam, quorsum respiciens, qui sic laudat singula, recte dicat. ac primum, de quo dicebamus, quo pacto, si recte scivissent exercitum ordinare, qui tunc praefuerunt, feliciter usi occasione fuissent? nonne, si tutiorem illo tempore constituissent, semper servassent, ita ut et ipsi liberi essent et alios, quos vellent, subiugarent? atque omnino et ipsi et eorum posteri tam apud Geaecos quam apud barbaros, quicquid cuperent, consequerentur? an non omnia huius gratia cupiebant? *Meg.* Immo etiam valde. *Athen.* Quicunque igitur, cum divitias ingentes perspexerit aut honores generis excellentes aut aliquid eiusmodi, eadem ipsa dixerit, ad hoc respiciens dicet, quasi per hoc ipsi futura sint omnia, quae desiderat, vel plurima atque potissima. *Meg.* Ita videtur. *Athen.*

ΜΕ. Ἔοικε γοῦν.

ΑΘ. Φέρε δή, πάντων ἀνθρώπων ἐξὶ κοινὸν ἐπιθύμημα ἕν τι τὸ νῦν ὑπὸ τοῦ λόγου δηλούμενον, ὡς αὐτός φησιν ὁ λόγος;

ΜΕ. Τὸ ποῖον;

ΑΘ. Τὸ κατὰ τὴν τῆς αὐτοῦ ψυχῆς ἐπίταξιν τὰ γιγνόμενα γίγνεσθαι, μάλιξα μὲν ἅπαντα, εἰ δὲ μή, τά γε ἀνθρώπινα.

ΜΕ. Τί μήν;

ΑΘ. Οὐκοῦν ἐπεί περ βουλόμεθα πάντες τὸ τοιοῦτον ἀεὶ παῖδές τε ὄντες καὶ ἄνδρες καὶ πρεσβῦται, τοῦτ' αὐτὸ καὶ εὐχοίμεθ' ἂν ἀναγκαίως διὰ τέλους;

ΜΕ. Πῶς δ' οὔ;

ΑΘ. Καὶ μὴν τοῖς γε φίλοις που ξυνευχοίμεθ' ἂν ταῦτα ἃ περ ἐκεῖνοι ἑαυτοῖσιν.

ΜΕ. Τί μήν;

ΑΘ. Φίλος μὲν υἱὸς πατρί, παῖς ὢν ἀνδρί.

ΜΕ. Πῶς δ' οὔ;

ΑΘ. Καὶ μὴν ὧν γ' ὁ παῖς εὔχεται ἑαυτῷ γίγνεσθαι, πολλὰ ὁ πατὴρ ἀπεύξαιτ' ἂν τοῖς θεοῖς μηδαμῶς κατὰ τὰς τοῦ υἱέος εὐχὰς γίγνεσθαι.

ΜΕ. Ὅταν ἀνόητος ὢν καὶ ἔτι νέος εὔχηται, λέγεις;

ΑΘ. Καὶ ὅταν γε ὁ πατὴρ ὢν γέρων ἢ καὶ σφόδρα νεανίας, μηδὲν τῶν καλῶν καὶ τῶν δικαίων γι-

Una certe omnium hominum communis quaedam cupiditas est, quam praesens sermo significavit. *Meg.* Quaenam? *Athen.* Ut secundum animi sui desiderium omnia vel saltem humana gerantur. *Meg.* Cui dubium? *Athen.* Quando omnes semper hoc volumus, et in pueritia et adulta aetate et senio, sedulo id procul dubio habere precamur. *Meg.* Utique. *Athen.* Amicis etiam haec precamur, quae ipsi quoque sibi precarentur. *Meg.* Et hoc. *Athen.* Amicus autem filius patri, cum puer sit, viro. *Meg.* Profecto. *Athen.* Atqui eorum, quae puer contingere sibi precatur, multa pater, ne accidant, deprecatur. *Meg.* An id fieri dicis, quando iuvenis est et amens filius qui precatur? *Athen.* Immo etiam [illegible] pater sive senex sive admodum iuvenis, cum nec hone-

γνώσκον, εὔχηται μάλα προθύμως ἐν παθήμασιν ἀδελφοῖς ὧν τοῖς γενομένοις Θησεῖ πρὸς τὸν δυστυχῶς τελευτήσαντα Ἱππόλυτον, ὁ δὲ παῖς γιγνώσκῃ, τότε, δοκεῖς, παῖς πατρὶ συνεύξεται;

ΜΕ. Μανθάνω ὃ λέγεις. λέγειν γάρ μοι δοκεῖς ὡς οὐ τοῦτο εὐκτέον οὐδὲ ἐπεικτέον, ἕπεσθαι πάντα τῇ ἑαυτοῦ βουλήσει, τὴν βούλησιν δὲ μηδὲν μᾶλλον τῇ ἑαυτοῦ φρονήσει· τοῦτο δὲ καὶ ἕνα πόλιν καὶ ἡμῶν ἕκαστον καὶ εὔχεσθαι δεῖν καὶ σπεύδειν, ὅπως νοῦν ἕξει.

ΑΘ. Ναί, καὶ δὴ καὶ πολιτικόν γε ἄνδρα νομο- 688
θέτην ὡς ἀεὶ δεῖ πρὸς τοῦτο βλέποντα τιθέναι τὰς τάξεις τῶν νόμων, αὐτός τε ἐμνήσθην καὶ ὑμᾶς ἐπαναμιμνήσκω, κατ' ἀρχάς, εἰ μεμνήμεθα, τὰ λεχθέντα, ὅτι τὸ μὲν σφῶν ἦν παρακέλευμα ὡς χρεὼν εἴη τὸν ἀγαθὸν νομοθέτην πάντα πολέμου χάριν τὰ νόμιμα τιθέναι, τὸ δὲ ἐμὸν ἔλεγον ὅτι τοῦτο μὲν πρὸς μίαν ἀρετὴν οὐσῶν τεττάρων κελεύοι τίθεσθαι τοὺς νόμους, δέοι δὲ δὴ πρὸς πᾶσαν μὲν βλέπειν, μάλιστα δὲ καὶ πρὸς πρώτην τὴν τῆς ξυμπάσης ἡγεμόνα ἀρετῆς, φρόνησις δ' εἴη τοῦτο καὶ νοῦς καὶ δόξα μετ' ἔρωτός τε καὶ ἐπιθυμίας τούτοις ἑπομένης. ἥκει δὴ πάλιν ὁ λόγος εἰς ταὐτόν, καὶ ὁ λέγων ἐγὼ νῦν λέγω πάλιν ἃ

storum neque iustorum quicquam cognoscat, sic affectus, ut Theseus ad infelicem Hippolytum, impensius imprecatur; filius autem cognoscit: putasne tunc filium cum patre eadem oraturum? *Meg.* Intelligo, quod dicis. dicere enim mihi videris non esse precandum conandumque, ut voluntatem nostram cuncta sequantur; sed ut prudentiam nostram voluntas. idque tam civitati quam singulis precibus petendum, studendumque ut mentem habeant. *Athen.* Idque prorsus, inquam. quin etiam, quod civilis vir legumque lator ad haec semper respiciens leges ferre debent, et ipse recordatus sum et vos nunc recordari volo. nempe vos in disputationis principio dicebatis probum legumlatorem ad bellum omnia referre debere. ego autem dicebam ad unam solummodo virtutem, cum tamen sint quatuor, id respicere: respiciendumque non ad unam tantum, sed omnes, maxime vero ad primam, quae et ceterarum omnium dux est. haec vero prudentia est et intellectus et opinio, una cum amore et cupiditate ista sequente. eodem iam oratio nostra revertitur: et ego, qui tunc

περ τότε, εἴ μὲν βούλεσθε, ὡς παίζων, εἴθ' ὡς σπουδάζων, ὅτι δή φημι εὐχῇ χρῆσθαι σφαλερὸν εἶναι νοῦν μὴ κεκτημένον, ἀλλὰ τἀναντία ταῖς βουλήσεσιν οἱ γίγνεσθαι. σπουδάζοντα δ' εἴ με τιθέναι βούλεσθε, τίθετε· πάνυ γὰρ οὖν προσδοκῶ νῦν ὑμᾶς εὑρήσειν τῷ λόγῳ ἑπομένους, ὃν ὀλίγον ἔμπροσθε προὐθέμεθα, τῆς τῶν βασιλέων τε φθορᾶς καὶ ὅλου τοῦ διανοήματος οὐ δειλίαν οὖσαν τὴν αἰτίαν, οὐδ' ὅτι τὰ περὶ τὸν πόλεμον οὐκ ἠπίσαντο ἄρχοντές τε καὶ οὓς προσῆκεν ἄρχεσθαι, τῇ λοιπῇ δὲ πάσῃ κακίᾳ διεφθαρμένα, καὶ μάλιστα τῇ περὶ τὰ μέγιστα τῶν ἀνθρωπίνων πραγμάτων ἀμαθίᾳ. ταῦτ' οὖν ὡς οὕτω γέγονε περὶ τὰ τότε καὶ νῦν, εἴ που γίγνεται, καὶ ἐς τὸν ἔπειτα χρόνον οὐκ ἄλλως συμβήσεται, ἐὰν βούλεσθε, πειράσομαι ἰὼν κατὰ τὸν ἑξῆς λόγον ἀνευρίσκειν τε καὶ ὑμῖν δηλοῦν κατὰ δύναμιν ὡς οὖσι φίλοις.

ΚΛ. Λόγῳ μὲν τοίνυν σε, ὦ ξένε, ἐπαινεῖν ἐπαχθέστερον, ἔργῳ δὲ σφόδρα ἐπαινεσόμεθα· προθύμως γὰρ τοῖς λεγομένοις ἐπακολουθήσομεν, ἐν οἷς ὅ γε ἐλεύθερος ἐπαινῶν καὶ μὴ μάλιστά ἐστι καταφανής.

ΜΕ. Ἆρις', ὦ Κλεινία, καὶ ποιῶμεν ἃ λέγεις.

ΚΛ. Ἔξαι ταῦτα, ἐὰν θεὸς ἐθέλῃ. Λέγε μόνον.

---

as dicebam, eadem nunc etiam dico, sive ioco vultis sive serio, assero equidem non esse tutum, voto uti et ad votum consequi, si mentem non habeas; sed contraria eorum evenire, quae petis, satius esse. Si serio dicta haec existimare vultis, existimate. spero enim nunc vobis persuadere, quod paulo ante proposuimus, perditionis regum totiusque constitutionis illius dissolvendae causam non timiditatem fuisse, nec rei militaris ignorantiam seu principum sive subditorum; sed universam reliquam pravitatem, et praesertim circa humanarum rerum maximas ignorantiam. quod haec tunc ita contigerint, et nunc, sicubi fiant aut futura quandoque sint, non aliter eveniant, conabor, ut ratio deinceps ostendet, adinvenire, vobisque tanquam amicis pro viribus explanare. *Cli.* Verbis te, hospes, laudare molestum: re autem valde laudabimus. libenter enim tua dicta suscipiemus; qua in re liberalis quaedam laus est, quae non maxime patet. *Athen.* Optime tu quidem, Clinia. quare, quod ais, efficiamus. *Cli.* Erit

ΑΘ. Φαμὲν δὴ νῦν, καθ' ὁδὸν ἰόντες τὴν λοιπὴν τοῦ λόγου, τὴν μεγίστην ἀμαθίαν τότε ἐκείνην τὴν δύναμιν ἀπολέσαι καὶ νῦν ταὐτὸν τοῦτο πεφυκέναι ποιεῖν, ὥστε τόν γε νομοθέτην, εἰ τοῦθ' οὕτως ἔχει, πειρατέον ταῖς πόλεσι φρόνησιν μὲν ὅσην δυνατὸν ἐμποιεῖν, τὴν δ' ἄνοιαν ὅτι μάλιστα ἐξαιρεῖν.

ΚΛ. Δῆλον.

ΑΘ. Τίς οὖν ἡ μεγίστη δικαίως ἂν λέγοιτο ἀμα- 689
θία; σκοπεῖτε εἰ συνδόξει καὶ σφῷν λεγόμενον· ἐγὼ μὲν
ὁ δὴ τὴν τοιάνδε τίθεμαι.

ΚΛ. Ποίαν;

ΑΘ. Τὴν ὅταν τῷ τι δόξαν καλὸν ἢ ἀγαθὸν εἶναι μὴ φιλῇ τοῦτο ἀλλὰ μισῇ, τὸ δὲ πονηρὸν καὶ ἄδικον δοκοῦν εἶναι φιλῇ τε καὶ ἀσπάζηται. ταύτην τὴν διαφωνίαν λύπης τε καὶ ἡδονῆς πρὸς τὴν κατὰ λόγον δόξαν ἀμαθίαν φημὶ εἶναι τὴν ἐσχάτην, μεγίστην δέ, ὅτι τοῦ πλήθους ἐξὶ τῆς ψυχῆς· τὸ γὰρ λυπούμενον καὶ ἡδόμενον αὐτῆς, ὅ περ δῆμός τε καὶ πλῆθος πόλεώς ἐστιν. ὅταν οὖν ἐπιστήμαις ἢ δόξαις ἢ λόγῳ ἐναν-
10 τιῶται, τοῖς φύσει ἀρχικοῖς, ἡ ψυχή, τοῦτο ἄνοιαν προσαγορεύω, πόλεώς τε, ὅταν ἄρχουσι καὶ νόμοις μὴ

ita, si Deus voluerit. tu modo dic. *Athen.* Censemus ergo: per sequentem disputationis huius viam deinceps progredientes, maxima tunc ignorantia potentiam illam fuisse perditam: similesque rerum eventus et nunc eadem ex causa proficisci. quapropter si hoc ita se habet, legislator conari debet prudentiam, quoad fieri potest, civibus dare, ignorantiam quam maxime auferre. *Cli.* Manifestum id quidem. *Athen.* Quaenam igitur maxima inscitia iure dicetur? considerate si mihi assentimini. ego enim hanc censeo. *Cli.* Quam? *Athen.* Quando aliquis, quod honestum sibi aut bonum videtur, non amet sed oderit: quod autem malum atque iniustum, id diligat atque amplectatur: hanc voluptatis dolorisque dissensionem adversus eam, quae rationem sequitur, opinionem, extremam esse inscitiam assero: quam etiam maximam dico, quia in multitudine animi est. quod enim in eo doloribus voluptatibusque mancipatum est, quasi plebs civitatis est atque multitudo. quando igitur scientiae vel opinioni vel rationi, quae natura dominantur, animus adversatur, hoc ego ignorantiam appello: et civitatis quidem, quando principibus legi-

πείθηται τὸ πλῆθος, ταὐτόν, καὶ δὴ καὶ ἑνὸς ἀνδρός, ὁπόταν καλοὶ ἐν ψυχῇ λόγοι ἐνόντες μηδὲν ποιῶσι πλέον ἀλλὰ δὴ τούτοις πᾶν τοὐναντίον. ταύτας πάσας ἀμαθίας τὰς πλημμελεστάτας ἔγωγ' ἂν φείην πόλεώς τε καὶ ἑνὸς ἑκάστου τῶν πολιτῶν, ἀλλ' οὐ τὰς τῶν δημιουργῶν, εἰ ἄρα μου καταμανθάνετε, ὦ ξένοι, ὃ λέγω.

Cl. Μανθάνομέν τε, ὦ φίλε, καὶ συγχωροῦμεν ἃ λέγεις.

Ath. Τοῦτο μὲν τοίνυν οὕτω κείσθω δεδογμένον καὶ λεγόμενον, ὡς τοῖς ταῦτ' ἀμαθαίνουσι τῶν πολιτῶν οὐδὲν ἐπιτρεπτέον ἀρχῆς ἐχόμενον καὶ ὡς ἀμαθέσιν ὀνειδιστέον, ἂν καὶ πάνυ λογιστικοί τε ὦσι καὶ πάντα τὰ κομψὰ καὶ ὅσα πρὸς τάχος τῆς ψυχῆς πεφυκότα διαπεπονημένοι ἅπαντα, τοὺς δὲ τοὐναντίον ἔχοντας τούτων ὡς σοφούς τε προσρητέον, ἂν καὶ τὸ λεγόμενον μήτε γράμματα μήτε νεῖν ἐπιστῶνται, καὶ τὰς ἀρχὰς δοτέον ὡς ἔμφρουσι. πῶς γὰρ ἄν, ὦ φίλοι, ἄνευ ξυμφωνίας γένοιτ' ἂν φρονήσεως καὶ τὸ σμικρότατον εἶδος; οὐκ ἔστιν, ἀλλ' ἡ καλλίστη καὶ μεγίστη τῶν ξυμφωνιῶν μεγίστη δικαιότατ' ἂν λέγοιτο σοφία, ἧς ὁ μὲν κατὰ λόγον ζῶν μέτοχος, ὁ δ' ἀπολειπόμενος οἰκοφθόρος καὶ περὶ πόλιν οὐδαμῇ σωτὴρ ἀλλὰ πᾶν τοὐναν-

busque multitudo non paret: et unius etiam viri, quando, licet bonae in animo rationes sint, nihilo tamen magis secundum ipsas agitur, sed contra omnia peraguntur. has equidem ignorantias perniciosissimas esse assero civitatis cuiuslibetque cives: non autem opificum ignorantias; si modo, quod dico, hospites, intelligitis. *Cli.* Et intelligimus, o amice, haec et concedimus. *Athen.* Hoc itaque ratum habeatur, quod civibus, qui hoc modo ignorant, nihil ad principatum pertinens committendum sit: immo vero, ut ignorantes, improbandi, etiamsi acutissimi et disertissimi sint, et quae ad ornamentum et acumen ingenii spectant, cuncta complexi. qui vero contra affecti sunt, sapientes habendi, etiamsi neque literas, ut dicitur, noverint neque natare sciant: magistratus quoque istis, quasi prudentibus, committendi. quomodo enim, o amici, vel minima prudentiae species sine consensu consistere poterit? *Cli.* Nullo modo. *Athen.* At vero pulcherrimus maximusque consensuum omnium maxima iure sapientia esse dicetur. cuius quidem particeps sit necesse est, qui secundum rationem vivere debet. quisquis autem expers est, et suae domus eversor

ὂν ἀμαθαίνων εἰς ταῦτα ἑκάστοτε φανεῖται. ταῦτα ἐν οὖν, καθά περ εἴπομεν ἄρτι, λελεγμένα τεθήτω οὕτω.

ΚΛ. Κείσθω γὰρ οὖν.

ΑΘ. Ἄρχοντας δὲ δὴ καὶ ἀρχομένους ἀναγκαῖον ἐν ταῖς πόλεσιν εἶναί που.

ΚΛ. Τί μήν;

ΑΘ. Εἶεν· ἀξιώματα δὲ δὴ τοῦ τε ἄρχειν καὶ ἄρ- 690
χεσθαι ποῖά ἐστι καὶ πόσα, ἔν τε πόλεσι μεγάλαις καὶ μικραῖς ἔν τε οἰκίαις ὡσαύτως; ἆρ' οὐχὶ ἓν μὲν τό τε πατρὸς καὶ μητρός; καὶ ὅλως γονέας ἐκγόνων ἄρχειν ἀξίωμα ὀρθὸν πανταχοῦ ἂν εἴη;

ΚΛ. Καὶ μάλα.

ΑΘ. Τούτῳ δὲ γε ἑπόμενον γεννταίους ἀγεννῶν ἄρχειν· καὶ τρίτον ἔτι τούτοις ξυνέπεται τὸ πρεσβυτέρους μὲν ἄρχειν δεῖν, νεωτέρους δὲ ἄρχεσθαι.

ΚΛ. Τί μήν;

ΑΘ. Τέταρτον δ' αὖ δούλους μὲν ἄρχεσθαι, δεσπότας δὲ ἄρχειν.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Πέμπτόν γε, οἶμαι, τὸν κρείττονα μὲν ἄρχειν, τὸν ἥττω δὲ ἄρχεσθαι.

ΚΛ. Μάλα γε ἀναγκαίαν ἀρχὴν εἴρηκας.

ΑΘ. Καὶ πλείστην γε ἐν ξύμπασι τοῖς ζῴοις οὖσαν

civitatis nunquam servator, sed contra omnino ad haec semper ignarus esse videbitur. haec igitur, ut paulo ante diximus, ita se habeant. *Cli.* Ita prorsus. *Athen.* Imperantes vero et parentes nonne in civitatibus esse debent? *Cli.* Utique. *Athen.* Secundo. rationes autem pro dignitate imperandi atque parendi quales sint et quot tam in civitatibus magnis et parvis, quam privatim in domibus similiter sunt? nonne prima dignitatis recta ratio est, ut pater ac mater et simpliciter genitores ubique natis imperent? *Cli.* Maxime. *Athen.* Secunda, ut ignobilibus generosi? tertia, ut iunioribus seniores? *Cli.* Et hoc. *Athen.* Quarta, ut omnini servis? *Cli.* Procul dubio. *Athen.* Quinta, ut potentiores dominentur, imbeciliiores serviant? *Cli.* Principatum modo existi admodum necessarium. *Athen.* Immo vero qui plurimus,

καὶ κατὰ φύσιν, ὡς ὁ Θηβαῖος ἔφη ποτὲ Πίνδαρος. τὸ δὲ μέγιστον, ὡς ἔοικεν, ἀξίωμα ἕκτον ἂν γίγνοιτο, ἕπεσθαι μὲν τὸν ἀνεπιζήμονα κελεῦον, τὸν δὲ φρονοῦντα ἡγεῖσθαί τε καὶ ἄρχειν. καί τοι τοῦτό γε, ὦ Πίνδαρε σοφώτατε, σχεδὸν οὐκ ὂν παρὰ φύσιν ἔγωγε φαίην γίγνεσθαι, κατὰ φύσιν δὲ τὴν τοῦ νόμου ἑκόντων ἀρχὴν ἀλλ' οὐ βίαιον πεφυκυῖαν.

ΚΛ. Ὀρθότατα λέγεις.

ΑΘ. Θεοφιλῆ δέ γε καὶ εὐτυχῆ τινὰ λέγοντες ἑβδόμην ἀρχὴν εἰς κλῆρόν τινα προάγομεν καὶ λαχόντα μὲν ἄρχειν, δυσκληροῦντα δὲ ἀπιόντα ἄρχεσθαι τὸ δικαιότατον εἶναί φαμεν.

ΚΛ. Ἀληθέστατα λέγεις.

ΑΘ. Ὁρᾷς δή, φαῖμεν ἄν, ὦ νομοθέτα, πρός τινα παίζοντες τῶν ἐπὶ νόμων θέσιν ἰόντων ῥᾳδίως, ὅσα ἐξὶ πρὸς ἄρχοντας ἀξιώματα καὶ ὅτι πεφυκότα πρὸς ἄλληλα ἐναντίως; νῦν γὰρ δὴ σάσεων πηγήν τινα ἀνευρήκαμεν ἡμεῖς, ἣν δεῖ σε θεραπεύειν. πρῶτον δὲ μεθ' ἡμῶν ἀνάσκεψαι πῶς τε καὶ τί παρὰ ταῦτα ἁμαρτόντες οἱ περί τε Ἄργος καὶ Μεσσήνην βασιλῆς αὐτοὺς ἅμα καὶ τὴν τῶν Ἑλλήνων δύναμιν οὖσαν θαυμαστὴν ἐν τῷ τότε χρόνῳ διέφθειραν. ἆρ' οὐκ ἀγνοή-

et secundum naturam, ut Thebanus Pindarus ait, in omnibus animalibus reperitur. maxima vero dignitas sexto collocanda est, qua ignorantes quidem sequi iubentur; prudentes autem ducere atque dominari. quod ego quidem imperium, o sapientissime Pindare, non praeter naturam, sed secundum naturam legis, et sponte susceptum, non violenter fieri, affirmarem. *Cli.* Probe dictum. *Athen.* Septimum principatum ad sortem aliquam producamus, eum Dei gratia et felicitate quadam obtingere asserentes: et iustissimum esse ducamus, ut is, quem sors delegerit, imperet: ille vero, quem repulerit, pareat. *Cli.* Vera narras. *Athen.* Dicemus ergo ioco quodam ad aliquem eorum, qui facile ferendarum legum munus aggrediuntur: an vides, o legumlator, quot circa imperantes dignitates considerantur, et quomodo inter se oppositae sunt? profecto nunc fontem aliquem seditionum invenimus, a quo tibi cavendum est. primum igitur nobiscum diligenter considera. quidnam et quomodo praeter haec male agentes Argorum Messenaeque reges se ipsos simul et Graecorum potentiam, quae tunc mira erat, everterunt. nonne, quia

σαντες τὸν Ἡσίοδον ὀρθότατα λέγοντα ὡς τὸ ἥμισυ τοῦ παντὸς πολλάκις ἐξὶ πλέον; ὁπόταν ᾖ τὸ μὲν ὅλον λαμβάνειν ζημιῶδες, τὸ δ' ἥμισυ μέτριον, τότε τὸ μέτριον τοῦ ἀμέτρου πλέον ἡγήσατο, ἄμεινον ὂν χείρονος.

ΚΛ. Ὀρθότατά γε.

ΑΘ. Πότερον οὖν οἰόμεθα περὶ βασιλείας τοῦτ' ἐγγιγνόμενον ἑκάστοτε διαφθείρειν πρότερον ἢ ἐν τοῖσι δήμοις;

ΚΛ. Τὸ μὲν εἰκὸς καὶ τὸ πολὺ βασιλέων τοῦτο 691
εἶναι νόσημα ὑπερηφάνως ζώντων διὰ τρυφάς.

ΑΘ. Οὐκοῦν δῆλον ὡς πρῶτον τοῦτο οἱ τότε βασιλῆς ἔσχον, τὸ πλεονεκτεῖν τῶν τεθέντων νόμων, καὶ ὃ λόγῳ τε καὶ ὅρκῳ ἐπήνεσαν, οὐ ξυνεφώνησαν αὐτοῖς, ἀλλ' ἡ διαφωνία, ὡς ἡμεῖς φαμέν, οὖσα ἀμαθία μεγίστη δοκοῦσα δὲ σοφία, πάντ' ἐκεῖνα διὰ πλημμέλειαν καὶ ἀμουσίαν τὴν πικρὰν διέφθειρεν;

ΚΛ. Ἔοικε γοῦν.

ΑΘ. Εἶεν· τί δὴ τὸν νομοθέτην ἔδει τότε τιθέντα εὐλαβηθῆναι τούτου περὶ τοῦ πάθους τῆς γενέσεως; ἆρ' ὦ πρὸς θεῶν νῦν μὲν οὐδὲν σοφὸν γνῶναι τοῦτο οὐδ' εἰπεῖν χαλεπόν, εἰ δὲ προϊδεῖν ἦν τότε, σοφώτερος ἂν ἦν ἡμῶν ὁ προϊδών;

rectissime dictum ab Hesiodo ignorarunt, *Dimidium nonnunquam plus esse quam totum?* quando videlicet totum comprehendere noxium est, dimidium vero moderate se habet, tunc sane moderatum immoderato plus esse censuit, utpote deteriore melius. *Cli.* Rectissime. *Athen.* Utrum regibus hoc perniciosum inesse prius quam plebi credimus? *Cli.* Probabile est regum maxime hunc morbum esse, qui superbe propter delicias vivunt. *Athen.* Perspicuum igitur hoc primum reges eos habuisse, quod plus quam positae leges posse voluerunt, nec in eo concorditer permanserunt, quod verbis et inreiurando laudaverant. verum dissensio, ut nobis videtur, quae, cum maxima ignorantia sit, sapientia tamen apparet, ea omnia propter errorum et amaram inconcinnitatem evertit. *Cli.* Videtur. *Athen.* Quid igitur hoc de morbo timentem oportuit legislatorem cavisse? an per Deos neque sapientiae laudem habet nunc huius agnitio, neque difficile dictu? si quis autem id tunc praevidisset, certe is nobis sapientior exsti-

ΜΕ. Τὸ ποῖον δὴ λέγεις;

ΑΘ. Εἰς τὸ γεγονὸς παρ' ἡμῖν, ὦ Μεγίλλε, ἔστι νῦν γε κατιδόντα γνῶναι, καὶ γνόντα εἰπεῖν ῥᾴδιον, ὁ τότε ἔδει γιγνόμενον.

ΜΕ. Σαφέστερον ἔτι λέγε.

ΑΘ. Τὸ τοίνυν σαφέστατον ἂν εἴη τὸ τοιόνδε.

ΜΕ. Τὸ ποῖον;

ΑΘ. Ἐὰν τις μείζονα διδῷ τοῖς ἐλάττοσι δύναμιν παρεὶς τὸ μέτριον, πλοίοις τε ἱστία καὶ σώμασι τροφὴν καὶ ψυχαῖς ἀρχάς, ἀνατρέπεταί που πάντα καὶ ἐξυβρίζοντα τὰ μὲν εἰς νόσους θεῖ, τὰ δ' εἰς ἔκγονον ὕβρεως ἀδικίαν. τί οὖν δή ποτε λέγομεν; ἆρά γε τὸ τοιόνδε, ὡς οὐκ ἔστ', ὦ φίλοι ἄνδρες, θνητῆς ψυχῆς φύσις ἥ τις ποτε δυνήσεται τὴν μεγίστην ἐν ἀνθρώποις ἀρχὴν φέρειν νέα καὶ ἀνυπεύθυνος, ὥστε μὴ τῆς μεγίστης νόσου ἄνοιας πληρωθεῖσα αὐτῆς τὴν διάνοιαν μῖσος ἔχειν πρὸς τῶν ἐγγύτατα φίλων, ὃ γενόμενον ταχὺ διέφθειρεν αὐτὴν καὶ πᾶσαν τὴν δύναμιν ἠφάνισεν αὐτῆς; τοῦτ' οὖν εὐλαβηθῆναι γνόντας τὸ μέτριον μεγάλων νομοθετῶν. ὡς οὖν δὴ τότε γενόμενον νῦν ἔστι μετριώτατα τοπάσαι, τόδ' ἔοικεν εἶναι.

ΜΕ. Τὸ ποῖον;

tisset. *Cli.* Quid illud dicis? *Athen.* Licet nunc, Megille, quod olim a nobis factum est, animadvertere, atque inde rem ipsam cognoscere; faciliusque ita, quod tunc fieri oportuit, dicere? *Meg.* Dic planius. *Athen.* Ita certe apertissimum fiet. *Meg.* Quonam pacto? *Athen.* Si quis minoribus maiorem potentiam, neglecta mediocritate praebuerit, vela navibus, cibum corporibus, animis principatus, omnia pervertuntur. nam supra modum elata lasciviunt: et alia quidem in morbos incidunt, alia in iniuriam, elatioris lasciviae filiam. quid itaque dicimus? nonne hoc? quod nulla est, o dilecti viri, animae humanae natura, quae si iunior sit, et nulli referendae rationis iure subiecta, possit principatum inter homines maximum ita ferre, quin ignorantia, morbo extremo, mentem occupante a proximis amicis odium consequatur: quod ita factum cito, ipsum corrumpit, omnesque vires eius deponit. hoc autem cavere mediocritatis ipsius observatione, excellentium legumlatorum opus. quod igitur tunc factum facile modo [illegible]t: hoc esse videtur. *Meg.* Quidnam? *Athen.* Deus

ΑΘ. Θεὸς εἶναι κηδόμενος ὑμῶν τις, ὃς τὰ μέλλοντα προορῶν, δίδυμον ὑμῖν φυτεύσας τὴν τῶν βασιλέων γένεσιν ἐκ μονογενοῦς, εἰς τὸ μέτριον μᾶλλον συνέξειλε. καὶ μετὰ τοῦτο ἔτι φύσις τις ἀνθρωπίνη μεμιγμένη θείᾳ τινὶ δυνάμει, κατιδοῦσα ὑμῶν τὴν ἀρχὴν φλεγμαίνουσαν ἔτι, μίγνυσι τὴν κατὰ γῆρας σώφρονα δύναμιν τῇ κατὰ γένος αὐθάδει ῥώμῃ, τὴν τῶν ὀκτὼ καὶ εἴκοσι γερόντων ἐπίψηφον εἰς τὰ μέγιστα 692
τῇ τῶν βασιλέων ποιήσασα δυνάμει. ὁ δὲ τρίτος σωτὴρ ὑμῖν ἔτι σπαργῶσαν καὶ θυμουμένην τὴν ἀρχὴν ὁρῶν οἷον ψάλιον ἐνέβαλεν αὐτῇ τὴν τῶν ἐφόρων δύναμιν, ἐγγὺς τῆς κληρωτῆς ἀγαγὼν δυνάμεως. καὶ κατὰ δὴ τοῦτον τὸν λόγον ἡ βασιλεία παρ' ὑμῖν ἐξ ὧν ἔδει σύμμικτος γενομένη καὶ μέτρον ἔχουσα, σωθεῖσα αὐτὴ σωτηρίας τοῖς ἄλλοις γέγονεν αἰτία, ἐπεὶ ἐπί γε Τημένῳ καὶ Κρεσφόντῃ καὶ τοῖς τότε νομοθέταις, οἵ τινες ἆρα ἦσαν νομοθετοῦντες, οὐδ' ἡ Ἀριστοδήμου μερὶς ἐσώθη ποτ' ἄν, οὐ γὰρ ἱκανῶς ἦσαν νομοθεσίας ἔμπειροι· σχεδὸν γὰρ οὐκ ἄν ποτ' ὠήθησαν ὅρκοις μετριάσαι ψυχὴν νέαν λαβοῦσαν ἀρχήν, ἐξ ἧς δυνατὸν ἦν τυραννίδα γενέσθαι, νῦν δ' ὁ θεὸς ἔδειξεν οἵαν

quispiam, ut arbitror, vestri curam habuit; qui, cum futura praesciret, geminam vobis ex unica regum generationem constituit, atque ita ad mediocritatem magis contraxit. praeterea natura quaedam humana, viribus divinis coniuncta, tumentem vestrum perspiciens principatum, moderatas vires eorum, qui in iudiciali foro versantur, superbae nobilitatis potentiae iunxit, viginti et octo senum sententia in rebus maximis regum potentiae adaequata. ad haec tertius servator affuit, qui luxuriantem adhuc et frementem considerans principatum, ephororum censura proxime ad potentiam sorte electam conducta, quasi frenum ipsi immisit. hac igitur ratione regnum vestrum, ex quibus decebat compositum, et moderate constitutum, et ipsum quidem servatum est, et salutis aliorum causa fuit: alioquin Temeno et Cresphonte ceterisque, qui leges eis condiderunt, quicunque fuerint, nec factio quidem ipsa Aristodemi servata esset. neque enim satis erant ferendarum legum periti: quoniam, si fuissent, nunquam iuvenilem animum accepto principatu, unde tyrannis fieri poterat, iureiurando se moderaturos existimassent. nunc autem Deus ostendit, qualem oportebat opor-

ἔδει καὶ δεῖ δὴ τὴν μενοῦσαν μάλιστα ἀρχὴν γίγνεσθαι. τὸ δὲ παρ' ἡμῶν γιγνώσκεσθαι ταῦτα, ὅ περ εἶπον ἔμπροσθεν, νῦν μὲν γενόμενον οὐδὲν σοφόν· ἐκ γὰρ παραδείγματος ὁρᾶν γεγονότος οὐδὲν χαλεπόν. εἰ δ' ἦν τις προορῶν τότε ταῦτα καὶ δυνάμενος μετριάσαι τὰς ἀρχὰς καὶ μίαν ἐκ τριῶν ποιῆσαι, τά τε νοηθέντα ἂν καλὰ τότε πάντα ἀπέσωσε καὶ οὐκ ἄν ποτε ὁ Περσικὸς ἐπὶ τὴν Ἑλλάδα οὐδ' ἄλλος οὐδεὶς ἂν στόλος ὥρμησε, καταφρονήσας ὡς ὄντων ἡμῶν βραχέος ἀξίων.

ΚΛ. Ἀληθῆ λέγεις. 10

ΑΘ. Αἰσχρῶς γοῦν ἠμύναντο αὐτούς, ὦ Κλεινία. τὸ δ' αἰσχρὸν λέγω οὐχ ὡς οὐ νικῶντές γε οἱ τότε καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν καλὰς νενικήκασι μάχας· ἀλλ' ὃ φημι αἰσχρὸν τοῦτ' εἶναι, τόδε λέγω τὸ πρῶτον μὲν ἐκείνων τῶν πόλεων τριῶν οὐσῶν μίαν ὑπὲρ τῆς Ἑλλάδος ἀμῦναι, τὼ δὲ δύο κακῶς οὕτως εἶναι διεφθαρμένα, ὥστε ἡ μὲν καὶ Λακεδαίμονα διακώλυεν ἐπαμύνειν αὐτῇ, πολεμοῦσα αὐτῇ κατὰ κράτος, ἡ δ' αὖ πρωτεύουσα ἐν τοῖς τότε χρόνοις τοῖς περὶ τὴν διανομήν, ἡ περὶ τὸ Ἄργος, παρακαλουμένη ἀμύνειν 20
τὸν βάρβαρον οὔθ' ὑπήκουσεν οὔτ' ἤμυνε. πολλὰ δὲ λέγων ἄν τις τὰ τότε γενόμενα περὶ ἐκεῖνον τὸν πόλεμον τῆς Ἑλλάδος οὐδαμῶς εὐσχήμονα ἂν κατηγοροῖ·

tetque potissimum constitui principatum. quod quidem a nobis intelligi, postquam factum est, ut dixi antea, nihil mirum. non enim arduum est videre, si exemplo commoveris. at si quis id tunc prospexisset, moderarique principatus et unum ex tribus perficere potuisset, magnificas omnes eorum cogitationes servasset: nec Persica classis nec alia ulla unquam contemptis nobis, ut nulla re dignis, in Graeciam navigasset. *Cli.* Vera narras, *Athen.* Turpiter ergo illis repugnarunt, o Clinia. turpiter autem dico, non quia qui tunc terra marique vicerunt, minus quam deceret fortiter pugnando se gesserint: sed turpe illud inquam, quod una de tribus illis civitatibus pro Graecia decertavit: duae autem ita depravatae fuerunt, ut altera Lacedaemonem quoque, ne succurreret, prohiberet, non parvo ipsi bello illato; altera Argivorum, quamvis prima illis distributionis temporibus in Graecia esset, tamen ad depellendum barbarum accersita nec orantes audire voluit neque defendit. multa referre possem, quae ea tempestate in Grae-

οὐδ' αὖ ἀμύνασθαι τήν γε Ἑλλάδα λέγων ὀρθῶς ἂν λέγοι, ἀλλ' εἰ μὴ τό τε Ἀθηναίων καὶ τὸ Λακεδαιμονίων κοινῇ διανόημα ἤμυνε τὴν ἐπιοῦσαν δουλείαν, σχεδὸν ἂν ἤδη πάντ' ἦν μεμιγμένα τὰ τῶν Ἑλλήνων γένη ἐν ἀλλήλοις καὶ βάρβαρα ἐν Ἕλλησι καὶ Ἑλληνικὰ ἐν βαρβάροις, καθά περ ὧν Πέρσαι τυραννοῦσι τὰ νῦν, διαπεφορημένα καὶ ξυμπεφορημένα κακῶς ἐσπαρμένα κατοικεῖται. ταῦτ', ὦ Κλεινία καὶ Μέγιλλε, ἔχομεν ἐπιτιμᾶν τοῖς τε πάλαι πολιτικοῖς λεγομένοις καὶ νομοθέταις καὶ τοῖς νῦν, ἵνα τὰς αἰτίας αὐτῶν ἀναζητοῦντες ἀνευρίσκωμεν τί παρὰ ταῦτα ἔδει πράττειν ἄλλο, οἷον δὴ καὶ τὸ παρὸν εἴπομεν, ὡς ἄρα οὐ δεῖ μεγάλας ἀρχὰς οὐδ' αὖ ἀμίκτους νομοθετεῖν, διανοηθέντας τὸ τοιόνδε, ὅτι τὴν πόλιν ἐλευθέραν τε εἶναι δεῖ καὶ ἔμφρονα καὶ ἑαυτῇ φίλην, καὶ τὸν νομοθετοῦντα πρὸς ταῦτα βλέποντα δεῖ νομοθετεῖν. μὴ θαυμάσωμεν δὲ εἰ πολλάκις ἤδη προθέμενοι ἅττα εἰρήκαμεν ὅτι πρὸς ταῦτα δεῖ νομοθετεῖν βλέποντα τὸν νομοθέτην, τὰ δὲ προτεθέντα οὐ ταὐτὰ ἡμῖν φαίνεται ἑκάστοτε· ἀλλ' ἀναλογίζεσθαι χρή, ὅταν πρὸς τὸ σωφρονεῖν φῶμεν δεῖν βλέπειν ἢ πρὸς φρόνησιν ἢ φι-

cla facta ut turpia possunt accusari. neque, qui Graeciam se defendisse dicunt, vere dicunt, nisi enim Atheniensium Lacedaemoniorumque commune consilium atque potentia imminentem servitutem propulisset, ferme iam omnia confusa essent, et Graeca cum Graecis invicem, cum Graecis item barbara, Graecaque cum barbaris: quemadmodum Graeca illa, quae nunc Persarum tyrannidi subiecta sunt, sine ordine ullo confusa sunt invicem ac male etiam dissipata. haec habemus, o Clinia et Megille, quae tam priscis viris civilibus legumque latoribus quam iunioribus opponamus, ut causas eorum rimantes, quid praeter haec aliud fuerit agendum, inveniamus: quale est, quod nunc exposuimus, quod videlicet non oporteat magnos merosque principatus constituere, illud semper memoria tenentes, quod liberam eivitatem et prudentem et sibi ipsi amicam esse oportet. ad quae respiciendum est illi, qui leges laturus est. ne miremini autem, si saepe iam alia quaedam proposuimus, ad quae sit legum latori respiciendum, quae quidem non eadem esse atque haec appareant. sed meminisse oportet, quando ad temperantiam vel prudentiam vel

λίαν, ὡς ἐσθ' οὗτος ὁ σκοπὸς οὐχ ἕτερος ἀλλ' ὁ αὐτός. καὶ ἄλλα δὴ πολλὰ ἡμᾶς τοιαῦτα ἂν γίγνεται ῥήματα, μὴ διαταραττέτω.

ΚΛ. Πειρασόμεθα ποιεῖν οὕτως ἐπαγιόντες τοὺς λόγους· καὶ νῦν δὴ τὸ περὶ τῆς φιλίας τε καὶ φρονήσεως καὶ ἐλευθερίας, πρὸς ὅ τι βουλόμενος ἔμελλες λέγειν δεῖν σχάζεσθαι τὸν νομοθέτην, λέγε.

ΑΘ. Ἄκουσον δὴ νῦν. εἰσὶ πολιτειῶν οἷον μητέρες δύο τινές, ἐξ ὧν τὰς ἄλλας γεγονέναι λέγων ἄν τις ὀρθῶς λέγοι. καὶ τὴν μὲν προσαγορεύειν μοναρχίαν ὀρθόν, τὴν δ' αὖ δημοκρατίαν· καὶ τῆς μὲν τὸ Περσῶν γένος ἄκρον ἔχειν, τῆς δὲ ἡμᾶς. αἱ δ' ἄλλαι σχεδὸν ἅπασαι, καθά περ εἶπον, ἐκ τούτων εἰσὶ διαπεποικιλμέναι. δεῖ δὴ οὖν καὶ ἀναγκαῖον μεταλαβεῖν ἀμφοῖν τοῦτοιν. εἴ περ ἐλευθερία τ' ἔσαι καὶ φιλία μετὰ φρονήσεως· ὃ δὴ βούλεται ἡμῖν ὁ λόγος προστάττειν, λέγων ὡς οὐκ ἄν ποτε τούτων πάλις ἄμοιρος γενομένη πολιτευθῆναι δύναιτ' ἂν καλῶς.

ΚΛ. Πῶς γὰρ ἄν;

ΑΘ. Ἡ μὲν τοίνυν τὸ μοναρχικόν, ἡ δὲ τὰ ἐλεύθερον ἀγαπήσασα μειζόνως ἢ ἔδει μόνον, οὐδετέρα τὰ μέτρια κέκτηται τούτων· αἱ δὲ ὑμέτεραι, ἥ τε Λακωνικὴ

amicitiam respiciendum dicimus, non aliam atque aliam, sed eandem nobis esse intentionem: ac si multis etiam aliis huiusce-modi verbis utemur, ne turbemini. *Cli.* Conabimur ita facere, verba ordine repetentes. sed nunc expone, quod dicturus eras, quando amicitiam, libertatem prudentiamque spectare legum la-torem debere dicebas. *Athen.* Audiatis modo. Duae gubernatio-num civilium quasi matres quaedam sunt, ex quibus si quis alias dixerit originem ducere, recte utique dicet. quarum alteram prin-cipatum unius, alteram populi appellare decet. alterius quoque summum tenere Persarum genus, alterius nos putandum. cetera vero ferme omnes hinc, ut dixi, variae componuntur. necesse est autem harum utrarumque participem fore civitatem, si liber-tas in ea atque amicitia futura sit. quod quidem ratio praeci-pere nobis vult, cum dicit civitatem horum expertem bene gu-bernari nunquam posse. *Cli.* Quo enim pacto? *Athen.* Cum igitur altera monarchiam, unius scilicet principatum; altera liber-tatem dumtaxat, magis quam oportuerit, complexa sit; neutra mediocritatem servitutis libertatisque servavit: vestrae autem, La-

καὶ Κρητική, μᾶλλον. Ἀθηναῖοι δὲ καὶ Πέρσαι τὸ μὲν πάλαι οὕτω πως, τὸ νῦν δὲ ἧττον. τὰ δ' αἴτια διέλ- 694
θωμεν. ἢ γάρ;

ΚΛ. Πάντως, εἴ γε που μέλλομεν ἃ προυθέμεθα περαίνειν.

ΑΘ. Ἀκούωμεν δή. Πέρσαι γὰρ ὅτε μὲν τὸ μέτριον μᾶλλον δουλείας τε καὶ ἐλευθερίας ἦγον ἐπὶ Κύρου, πρῶτον μὲν ἐλεύθεροι ἐγένοντο, ἔπειτα δὲ ἄλλων δεσπόται· ἐλευθερίας γὰρ ἄρχοντες, μεταδιδόντες ἀρχο-
μένοις καὶ ἐπὶ τὸ ἴσον ἄγοντες μᾶλλον φίλοι τε ἦσαν στρατιῶται στρατηγοῖς καὶ προθύμους αὑτοὺς ἐν τοῖς κινδύνοις παρείχοντο, καὶ εἴ τις αὖ φρόνιμος ἦν ἐν αὐτοῖς καὶ βουλεύειν δυνατός, οὐ φθονεροῦ τοῦ βασιλέως ὄντος διδόντος δὲ παῤῥησίαν καὶ τιμῶντος τούς τι δυναμένους συμβουλεύειν, κοινὴν τὴν τοῦ φρονεῖν εἰς τὸ μέσον παρείχετο δύναμιν, καὶ πάντα δὴ τότε ἐπέδωκεν αὐτοῖς δι' ἐλευθερίαν τε καὶ φιλίαν καὶ νοῦ κοινωνίαν.

ΚΛ. Ἔοικε γέ πως τὰ λεγόμενα οὕτω γεγονέναι.

ΑΘ. Πῇ δὴ οὖν ποτὲ ἀπώλετο ἐπὶ Καμβύσου καὶ πάλιν ἐπὶ Δαρείου σχεδὸν ἐσώθη; βούλεσθε οἷον μαντείᾳ διανοηθέντες χρώμεθα;

---

ponica dico et Cretica, magis. sed Athenienses ac Persae quondam hoc fere pacto, nunc vero minus. sed causas quoque dicemus, an non? *Cli.* Omnino, si modo, quod propositum est, absolvere cupimus. *Athen.* Audiamus ergo. Persae quidem, quando Cyri tempore servitutis libertatisque mediocritatem magis habebant, primum ipsi liberi fuerunt, deinde multos alios subiecerunt. nam cum principes ipsi libertatem subditis impertirent et rem ad aequalitatem magis reducerent, milites ducibus magis erant amici, paratosque se in periculis exhibebant. ac si quis inter eos prudentior erat consilioque valebat, cum rex invidus non esset, sed libere dicendi facultatem omnibus daret honoraretque consilii compotes, facultatem prudentiae communem in medium deducebat. cuncta igitur tunc illis libertate, amicitia mentisque communione facilia reddidit. *Cli.* Videntur haec, ut dicuntur, ita gesta fuisse. *Athen.* Quo pacto igitur Cambysae tempore regnum id fere cecidit, et rursus Darii tempore restitutum est? vultisne, ut quasi divinatione usi dicamus? *Cli.* Quidni velimus?

ΚΛ. Φέρει γοῦν ἡμῖν σκέψῳ τοῦτο ἐφ' ὃ περ ὡρμήκαμεν.

ΑΘ. Μαντεύομαι δὴ νῦν περί γε Κύρου τὰ μὲν ἄλλ' αὐτὸν στρατηγόν τε ἀγαθὸν εἶναι καὶ φιλόπολιν, παιδείας δὲ ὀρθῆς οὐχ ἥφθαι τὸ παράπαν οἰκονομίᾳ τέ οὐδὲν τὸν νοῦν προσεσχηκέναι.

ΚΛ. Πῶς δὴ τὸ τοιοῦτον φῶμεν;

ΑΘ. Ἔοικεν ἐκ νέου στρατεύεσθαι διὰ βίου, ταῖς γυναιξὶ παραδοὺς τοὺς παῖδας τρέφειν. αἱ δὲ ὡς εὐδαίμονας αὐτοὺς ἐκ τῶν παίδων εὐθὺς καὶ μακαρίους ἤδη γεγονότας καὶ ἐπιδεεῖς ὄντας τούτων οὐδενὸς ἔτρεφον· κωλύουσαι δὲ ὡς οὕσιν ἱκανῶς εὐδαίμοσι μήτε αὐτοῖς ἐναντιοῦσθαι μηδένα εἰς μηδέν, ἐπαινεῖν τε ἀναγκάζουσαι πάντας τὸ λεγόμενον ἢ πραττόμενον ὑπ' αὐτῶν, ἔθρεψαν τοιούτους τινάς.

ΚΛ. Καλήν, ὡς ἔοικας, τροφὴν εἴρηκας.

ΑΘ. Γυναικείαν μὲν οὖν βασιλίδων γυναικῶν, νεωστὶ γεγονυιῶν πλουσίων καὶ ἐν ἀνδρῶν ἐρημίᾳ, διὰ τὸ μὴ σχολάζειν ὑπὸ πολέμων καὶ πολλῶν κινδύνων, τοὺς παῖδας τρεφουσῶν.

ΚΛ. Ἔχει γὰρ λόγον.

ΑΘ. Ὁ δὲ πατήρ γε αὐτοῖς αὖ ποίμνια μὲν καὶ πρόβατα καὶ ἀγέλας ἀνδρῶν τε καὶ ἄλλων πολλῶν πολ-

confert enim hoc ad illud, quo tendimus. *Athen.* Ita igitur de Cyro vaticinor, in ceteris quidem ipsum et ducem bonum et civilis vitae amicum fuisse, rectam vero disciplinam nullo pacto attigisse, nec ad rei familiaris administrationem animum unquam applicuisse. *Cli.* Cur ita? *Athen.* A iuventa per totam vitam militia occupatus mulieribus filios tradidit educandos: quae ipsos ut felices statim pueros atque beatos, nullius indigentes rei, sic educabant, ut prohiberent, ne quis eis, utpote beatis, aliqua in re adversaretur; cogentes omnes, quicquid ipsi dicerent aut facerent, laudare. ita ipsos tales quosdam educaverunt. *Cli.* Bellam certe educationem narrasse videris. *Athen.* Femineam nempe, quam induxerunt regiae mulieres, novis elatae divitiis desertaeque a viris bello et periculis occupatis. *Cli.* Consentaneum id quidem. *Athen.* Pater vero ipsorum, ovium, hominum multorumque aliorum, quorum ad eos spectabat possessio, greges mul-

λὰς ἐκτᾶτο, αὐτοὺς δὲ οἷς ταῦτα παραδώσειν ἔμελλεν
ἠγνόει τὴν πατρῴαν οὐ παιδευομένους τέχνην, οὖσαν 695
Περσικήν, ποιμένων ὄντων Περσῶν, τραχείας χώρας
ἐκγόνων, σκληρὰν καὶ ἱκανὴν ποιμένας ἀπεργάζεσθαι
μάλα ἰσχυροὺς καὶ δυναμένους θυραυλεῖν καὶ ἀγρυ-
πνεῖν καὶ εἰ στρατεύεσθαι δέοι στρατεύεσθαι. διεφθαρμέ-
νην δὲ παιδείαν ὑπὸ τῆς λεγομένης εὐδαιμονίας τὴν
Μηδικὴν περιεῖδεν ὑπὸ γυναικῶν τε καὶ εὐνούχων παι-
δευθέντας αὑτοῦ τοὺς υἱεῖς, ὅθεν ἐγίνοντο οἵους ἦν
αὐτοὺς εἰκὸς γενέσθαι, τροφῇ ἀνεπιπλήκτῳ τραφέντας.
παραλαβόντες δ' οὖν οἱ παῖδες τελευτήσαντος Κύρου
τροφῆς μεσοὶ καὶ ἀνεπιπληξίας, πρῶτον μὲν τὸν ἕτε-
ρον ἄτερος ἀπέκτεινε τῷ ἴσῳ ἀγανακτῶν, μετὰ δὲ
τοῦτο αὐτὸς μαινόμενος ὑπὸ μέθης τε καὶ ἀπαιδευσίας
τὴν ἀρχὴν ἀπώλεσεν ὑπὸ Μήδων τε καὶ τοῦ λεγομέ-
νου τότε εὐνούχου, καταφρονήσαντος τῆς Καμβύσου
μωρίας.

ΚΛ. Λέγεται δὴ ταῦτά γε, καὶ ἔοικέ γε σχεδὸν
οὕτω πως γεγονέναι.

ΑΘ. Καὶ μὴν καὶ πάλιν εἰς Πέρσας ἐλθεῖν τὴν
ἀρχὴν διὰ Δαρείου καὶ τῶν ἑπτὰ λέγεταί που.

ΚΛ. Τί μήν;

ΑΘ. Θεωρῶμεν δὴ ξυνεπόμενοι τῷ λόγῳ. Δα-

tos habebat: sed ignoravit, quod filii, quibus haec relicturus erat, paternam ipsam Persicamque artem non docebantur, cum Persae pastores essent, in regione aspera geniti, et ipsa ars Persica dura esset, sufficiensque robustos eos pastores efficere, qui et custodias agere et vigilare possent, et militare, si res postularet. permisit autem, ut mulieres et eunuchi Medorum ritu filios eius nutrirent: quorum educatio ab ea, quae vulgo existimatur felicitas, corrupta est. unde tales evaserunt, quales fieri conveniebat eos, qui in summa rerum licentia nutriti fuissent. Cum igitur, mortuo Cyro, rerum potiti sunt, utpote qui resolutis deliciis nutriti essent, primum alter, aequalitatem non ferens, alterum interfecit: deinde ipse, ignorantia ebrietateque furens, principatum perdidit. Medi enim, ac quidam Eunuchus tunc dictus, ipsum quasi amentem contempserunt. *Cli.* Sic fertur, atque ita ferme contigisse videtur. *Athen.* Atqui et hoc fertur, per Darium septemque illos viros principatum in Persas iterum rediisse. *Cli.* Plane. *Athen.* Inspiciamus igitur, rationem sequentes. Da-

ΑΘ. Οὐδὲ μὴν ὅν γε σοφὸν ἡμεῖς νῦν δὴ προὐθέμεθα, τὸν τὰς ἡδονὰς καὶ λύπας κεκτημένον συμφώνους τοῖς ὀρθοῖς λόγοις καὶ ἑπομένας.

ΜΕ. Οὐ γὰρ οὖν.

ΑΘ. Ἔτι δὴ καὶ τόδε ἐπισκεψώμεθα τῶν ἐν ταῖς πόλεσι τιμήσεων ἕνεκα, ποῖαί τε ὀρθαὶ καὶ μὴ γίγνονται ἑκάστοτε.

ΜΕ. Τὸ ποῖον;

ΑΘ. Σωφροσύνη ἄνευ πάσης τῆς ἄλλης ἀρετῆς ἐν ψυχῇ τινὶ μεμονωμένη τίμιον ἢ ἄτιμον γίγνοιτ' ἂν κατὰ δίκην;

ΜΕ. Οὐκ ἔχω ὅπως εἴπω.

ΑΘ. Καὶ μὴν εἰρηκάς γε μετρίως. εἰπὼν γὰρ δὴ ὧν ἠρόμην ὁποτερονοῦν παρὰ μέλος ἔμοιγ' ἂν δοκεῖς φθέγξασθαι.

ΜΕ. Καλῶς τοίνυν γεγονὸς ἂν εἴη.

ΑΘ. Εἶεν· τὸ μὲν δὴ πρόσθημα, ὧν τιμαί τε καὶ ἀτιμίαι, οὐ λόγου ἀλλά τινος μᾶλλον ἀλόγου σιγῆς ἄξιον ἂν εἴη.

ΜΕ. Σωφροσύνην μοι φαίνει λέγειν.

ΑΘ. Ναί. τὸ δέ γε ἄλλων πλεῖσι ἡμᾶς ὠφελοῦν μετὰ τῆς προσθήκης μάλιστ' ἂν τιμώμενον ὀρθότατα τιμῷτο, καὶ τὸ δεύτερον δευτέρως· καὶ οὕτω δὴ κατὰ

Quomodo enim aliter? *Athen.* Sed neque etiam ille, qui modo sapiens a nobis dictus est, quod voluptates atque dolores rectae rationi concordes et obsequentes habeat. *Meg.* Non certe. *Athen.* Id praeterea consideremus, ut, quomodo inter cives honores recte vel non recte distribuantur, inspiciamus. *Meg.* Quidnam? *Athen.* Temperantia si ab omni alterius virtutis genere in alicuius animo destituta sit, honorandane iure est an contra? *Meg.* Non habeo, quid respondeam. *Athen.* Modeste satisque responsum est. alterutro enim illorum concesso, inconcinne, ut arbitror, respondisses. *Meg.* Bene igitur factum est. *Athen.* Esto. nempe accessio ipsa, et honores et obprobria, non dictu sed silentio potius irrationabili digna erunt. *Meg.* Temperantiam dicere mihi videris. *Athen.* Hanc ipsam dico. quod igitur ex aliis nobis prodest plurimum, si cum additione maxime honoretur, rectissime honorabitur: et quod secundo loco prodest, secundo honorandum. atque ita secundum successionis rationem, si quodli-

ὸν ἐξῆς λόγον τὰς ἐφεξῆς τιμὰς λαγχάνον ἕκαστον ὀρ-
ῶς ἂν λαγχάνοι.

ΜΕ. Ἔχει ταύτῃ.

ΑΘ. Τί οὖν; οὐ νομοθέτου καὶ ταῦτα αὖ φήσο- 697
εν εἶναι διανέμειν;

ΜΕ. Καὶ μάλα.

ΑΘ. Βούλει δὴ τὰ μὲν ἅπαντα καὶ ἐφ' ἕκαστον
ργον καὶ κατὰ σμικρὰ ἐκείνῳ δῶμεν νεῖμαι, τὸ δὲ
ριχῇ διελεῖν, ἐπειδὴ νόμιων ἐσμὲν καὶ αὐτοί πως ἐπι-
υμηταί, πειραθῶμεν διατεμεῖν χωρὶς τά τε μέγιστα
αὶ δεύτερα καὶ τρίτα;

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Λέγομεν τοίνυν ὅτι πόλιν, ὡς ἔοικε, τὴν
ἑλλουσαν σώζεσθαί τε καὶ εὐδαιμονήσειν εἰς δύναμιν
νθρωπίνην δεῖ καὶ ἀναγκαῖον τιμάς τε καὶ ἀτιμίας
ανέμειν ὀρθῶς. ἔστι δὲ ὀρθῶς ἄρα τιμιώτατα μὲν καὶ
ρῶτα τὰ περὶ τὴν ψυχὴν ἀγαθὰ κεῖσθαι, σωφροσύ-
ης ὑπαρχούσης αὐτῇ, δεύτερα δὲ τὰ περὶ τὸ σῶμα
αλὰ καὶ ἀγαθά, καὶ τρίτα τὰ περὶ τὴν οὐσίαν καὶ
ρήματα λεγόμενα. τούτων δὲ ἂν ἐκτός τις βαίνῃ νο-
οθέτης ἢ πόλις, εἰς τιμὰς ἢ χρήματα προάγουσα ἢ
ι τῶν ὑστέρων εἰς τὸ πρόσθεν τιμαῖς τάττουσα,

et honores, qui deinceps ordine sequuntur, nanciscatur, recte
ique nanciscetur. *Meg.* Est ita. *Athen.* Quid porro? an haec
noque a legislatore distribuenda esse dicemus? *Meg.* Maxime.
then. Visne partitionem cunctorum in opera singula et minima
naeque illi relinquamus? tripartitam vero divisionem, quoniam
ipsi legum quodammodo studiosi sumus, teneamus: maxima
media et minima invicem secernentes? *Meg.* Summopere.
then. Oportere itaque dicimus civitatem, quae pro humanis vi-
bus salva felixque futura sit, recte honores et obprobria distri-
uere. recta autem distributio est, ut prima et maxime hono-
nda consentur animi bona, si adiuncta illis temperantia sit.
cundo dignitatis gradu corporis bona ponantur: tertio externa
ssessio et pecuniae. haec si quis legislator civitasve transgre-
tur, vel pecunias prae ceteris honorando vel posterius aliquid

οὔθ' ὅσιον οὔτε πολιτικὸν ἂν δρᾷη πρᾶγμα: εἰρήσθω ταῦτα ἢ πῶς ἡμῖν;

ΜΕ. Ἱκανῶ μὲν οὖν εἰρήσθω σαφῶς.

ΑΘ. Ταῦτα μὲν τοίνυν ἡμᾶς ἐπὶ πλεῖον ἐποίησεν εἰπεῖν ἡ Περσῶν περὶ διάσκεψις τῆς πολιτείας. ἀνευρίσκομεν δὲ ἐπὶ ἔτι χείρους αὐτοὺς γεγονότας. τὴν δὲ αἰτίαν φαμὲν ὅτι τὸ ἐλεύθερον λίαν ἀφελόμενοι τοῦ δήμου, τὸ δεσποτικὸν δ' ἐπαγαγόντες μᾶλλον τοῦ προσήκοντος τὸ φίλον ἀπώλεσαν καὶ τὸ κοινὸν ἐν τῇ πόλει. τούτου δὲ φθαρέντος οὔθ' ἡ τῶν ἀρχόντων βουλὴ ὑπὲρ ἀρχομένων καὶ τοῦ δήμου βουλεύεται, ἀλλ' ἕνεκα τῆς αὑτῶν ἀρχῆς, ἄν τι καὶ σμικρὸν πλέον ἐπάσχειν ἡγῶνται ἕσεσθαι σφισιν ἀναξάτους μὲν πόλεις, ἀνάσατα δὲ ἔθνη φίλια πυρὶ καταφθείραντες, ἐχθρῶς τε καὶ ἀνηλεῶς μισοῦντες μισοῦνται· ὅταν τε εἰς χρείαν τοῦ μάχεσθαι περὶ ἑαυτῶν τοὺς δήμους ἀφικνῶνται, οὐδὲν κοινὸν ἐν αὐτοῖς αὖ μετὰ προθυμίας τοῦ ἐθέλειν κινδυνεύειν καὶ μάχεσθαι ἀνευρίσκουσιν, ἀλλὰ κεκτημένοι μυριάδας ἀπεράντους λογισμῷ ἀχρήστους εἰς πόλεμον πάσας κέκτηνται; καὶ καθάπερ ἐνδεεῖς ἀνθρώπων μισθούμενοι, ὑπὸ μισθωτῶν καὶ ὀθνείων ἀνθρώπων ἡγοῦνταί ποτε σωθήσεσθαι· πρὸς δὲ τοῦ-

honore prius collocando, neque sancte neque civiliter faciet. rata haec nobis habenda? an quomode? *Meg.* Prorsus quidem. *Athen.* Haec latius dicere nos induxit Persicae gubernationis consideratio. Invenimus autem eos peiores adhuc factos esse. causamque esse ducimus, quia nimium populi libertate sublata dominandique potestate magis quam oporteret adaucta, societatem in civitate et amicitiam sustulerunt. quibus corruptis principes quoque non subditis ac populo, sed proprio imperio consulunt. quin etiam saepe exigui sui commodi gratia funditus everti civitates gentesque amicas igne absumi non curant. ita hostiliter et absque misericordia oderunt, et odio similiter habentur. ac si quando opus sit, ut pro eis populi pugnent, nullum rursus communem in ipsis consensum inveniunt, ut velint ex animo subire pericula et pro principibus dimicare: sed cum innumeris paene hominibus dominentur, inutiles tamen omnes habent ad bellum: et, tanquam hominum indigentes, alios mercede conducunt, per mercenarios extraneosque milites salvos se fore putantes. Praeter-

τοις ἀμαθαίνειν ἀναγκάζονται, λέγοντες ἔργοις ὅτι λῆ- 698
ρος πρὸς χρυσόν τε καὶ ἄργυρόν ἐσιν ἑκάστοτε τὰ λε-
γόμενα τίμια καὶ καλὰ κατὰ πόλιν.

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Τὰ μὲν δὴ περί γε Περσῶν, ὡς οὐκ ὀρθῶς τὰ νῦν διοικεῖται διὰ τὴν σφόδρα δουλείαν τε καὶ δε-
σποτείαν, τέλος ἐχέτω.

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Τὰ δὲ περὶ τὴν τῆς Ἀττικῆς αὖ πολιτείαν
10 τὸ μετὰ τοῦτο ὡς αὐτως ἡμᾶς διεξελθεῖν χρεών, ὡς ἡ παντελὴς καὶ ἀπὸ πασῶν ἀρχῶν ἐλευθερία τῆς μέτρον ἐχούσης ἀρχῆς ὑφ' ἑτέρων οὐ σμικρῷ χείρων· ἡμῖν γὰρ κατ' ἐκεῖνον τὸν χρόνον ὅτε ἡ Περσῶν ἐπίθεσις τοῖς Ἕλλησιν, ἴσως δὲ σχεδὸν ἅπασι τοῖς τὴν Εὐρώπην οἰ-
κοῦσιν, ἐγίγνετο, πολιτεία τε ἦν παλαιὰ καὶ ἐκ τιμη-
μάτων ἀρχαί τινες τεττάρων, καὶ δεσπότις ἐνῆν τις αἰδώς, δι' ἣν δουλεύοντες τοῖς τότε νόμοις ζῆν ἠθέ-
λομεν. καὶ πρὸς τούτοις δὴ τὸ μέγεθος τοῦ στόλου κατά τε γῆν καὶ κατὰ θάλατταν γενόμενον, φόβον ἄπορον
10 ἐμβαλόν, δουλείαν ἔτι μείζονα ἐποίησεν ἡμᾶς τοῖς τε ἄρχουσι καὶ τοῖς νόμοις δουλεῦσαι. καὶ διὰ ταῦτα πάνθ' ἡμῖν ξυνέπεσε πρὸς ἡμᾶς αὐτοὺς σφοδρὰ φιλία.

ea et insanire coguntur, cum re ipsa praedicent nugas esse ea, quae in civitate honesta esse et honoranda dicuntur, si ad argentum et aurum conferantur. *Meg.* Ita fit. *Athen.* Sed de rebus Persarum, quod propter nimiam dominationem servitutemque non recte modo se habeant, iam satis sit dictum. *Meg.* Omnino. *Athen.* Atticam deinceps gubernationem similiter percurrere decet, ut pateat, quemadmodum libertas nulli subdita magistratui non paulo deterior est quam illa, quae mediocritatem magistratuum dominatione consequitur. Nobis enim tempore, quo Persae Graeciam, immo universam paene Europam aggrediebantur, prisca quaedam erat res publica, et magistratus aliqui ex censu quadrifariam diviso erant: pudorque inerat, quasi dominus, cuius causa legibus subiecti vivere volebamus. praeterea magnitudo terrestrium maritimarumque copiarum usque adeo nos exterruit, ut observantius nos legibus et magistratibus obsequi et obedire coëgerit. quibus de causis maior inter nos exorta est benivolen-

σχεδὸν γὰρ δέκα ἔτεσι πρὸ τῆς ἐν Σαλαμῖνι ναυμαχίας ἀφίκετο Δᾶτις Περσικὸν στόλον ἄγων πέμψαντος Δαρείου διαρρήδην ἐπί τε Ἀθηναίους καὶ Ἐρετριέας, ἀνδραποδισάμενον ἀγαγεῖν, θάνατον αὐτῷ προειπὼν μὴ πράξαντι ταῦτα. καὶ ὁ Δᾶτις τοὺς μὲν Ἐρετριέας ἔν τινι βραχεῖ χρόνῳ παντάπασι κατὰ κράτος τε εἷλε μυριάσι συχναῖς, καί τινα λόγον εἰς τὴν ἡμετέραν πόλιν ἀφῆκε φοβερόν, ὡς οὐδεὶς Ἐρετριέων αὐτὸν ἀποπεφευγὼς εἴη· συνάψαντες γὰρ ἄρα τὰς χεῖρας σαγηνεύσαιεν πᾶσαν τὴν Ἐρετρικὴν οἱ στρατιῶται τοῦ Δάτιδος. ὁ δὴ λόγος, εἴτε ἀληθὴς εἴτε καὶ ὅπῃ ἀφίκετο, τούς τε ἄλλους Ἕλληνας καὶ δὴ καὶ Ἀθηναίους ἐξέπληττε, καὶ πρεσβευομένοις αὐτοῖς πανταχόσε βοηθεῖν οὐδεὶς ἤθελε πλήν γε Λακεδαιμονίων· οὗτοι δὲ ὑπό τε τοῦ πρὸς Μεσσήνην ὄντος τότε πολέμου καὶ εἴ δή τι διεκώλευεν ἄλλο αὐτούς, οὐ γὰρ ἴσμεν λεγόμενον, ὕστεροι δ' οὖν ἀφίκοντο τῆς ἐν Μαραθῶνι μάχης γενομένης μιᾷ ἡμέρᾳ. μετὰ δὲ τοῦτο παρασκευαί τε μεγάλαι λεγόμεναι καὶ ἀπειλαὶ ἐφοίτων μυρίαι παρὰ βασιλέως. προϊόντος δὲ τοῦ χρόνου Δαρεῖος μὲν τεθνάναι ἐλέχθη, νέος δὲ καὶ σφοδρὸς ὁ υἱὸς αὐτοῦ παρειληφέ-
699 ναι τὴν ἀρχὴν καὶ οὐδαμῶς ἀφίσασθαι τῆς ὁρμῆς. οἱ

tia. ferme namque decennio ante, quam bellum navale in Salamina gestum sit, Datis ipse, a Dario missus, classem Persicam in Athenienses Eretriensesque duxit: cui mors a Dario, nisi hai gentes ditioni suae subiiceret, est indicta. Datis igitur ipse Eretrienses brevi tempore innumerabili militum copia penitus expugnavit: terribilisque inde rumor ad urbem pervenit nostram, neminem Eretriensium effugisse: sed manibus invicem milites iunctis, atque ita universa regione Eretriensium circumdata, omnes penitus comprehendisse. hic rumor, seu verus sive non, cum ceteros Graecos tum vel maxime Athenienses perterruit. quibus, cum universam Graeciam passim legationibus missis ad opem ferendam cohortarentur, nemo praeter Lacedaemonios auxiliari voluit. et isti quidem, seu bello, quod adversus Messenen gerebant, impediti, sive alia quadam causa, non enim scimus, sequenti post pugnam Marathonicam die opitulaturi venerunt. post haec magna in dies parare multaque minari rerum dicebatur. interea Darius naturae cessisse nuntiatur, ac filius eius, atrox iuvenis, imperium accepisse, nec a coeptis paternis desistere velle. cuius apparatus

δὲ Ἀθηναῖοι πᾶν τοῦτο ᾠοντο ἐπὶ σφᾶς αὐτοὺς παρασκευάζεσθαι διὰ τὸ Μαραθῶνι γενόμενον, καὶ ἀκούοντες Ἄθων διορυττόμενον καὶ Ἑλλήσποντον ζευγνύμενον καὶ τὸ τῶν νεῶν πλῆθος ἡγήσαντο οὔτε κατὰ γῆν σφισιν εἶναι σωτηρίαν οὔτε κατὰ θάλατταν· οὔτε γὰρ βοηθήσειν αὐτοῖς οὐδένα, μεμνημένοι ὡς οὐδ' ὅτε τὸ πρότερον ἦλθον καὶ τὰ περὶ Ἐρέτριαν διεπράξαντο, σφίσι γε οὐδεὶς τότε ἐβοήθησεν οὐδ' ἐκινδύνευσε ξυμμαχόμενος. ταὐτὸν δὴ προσεδόκων καὶ τότε γενήσεσθαι τό γε κατὰ γῆν. καὶ κατὰ θάλατταν δ' αὖ πᾶσιν ἀπορίαν ἑώρων σωτηρίας νεῶν χιλίων καὶ ἔτι πλεόνων ἐπιφερομένων. μίαν δὴ σωτηρίαν ξυνενόουν, λεπτὴν μὲν καὶ ἄπορον, μόνην δ' οὖν, βλέψαντες πρὸς τὸ πρότερον γενόμενον, ὡς ἐξ ἀπόρων καὶ τότε ἐφαίνετο γενέσθαι τὸ νικῆσαι μαχομένους. ἐπὶ δὲ τῆς ἐλπίδος ὀχούμενοι ταύτης εὕρισκον καταφυγὴν αὐτοῖς εἰς αὐτοὺς μόνους εἶναι καὶ τοὺς θεούς. ταῦτ' οὖν αὐτοῖς πάντα φιλίαν ἀλλήλων ἐνεποίει, ὁ φόβος ὁ τότε παρὼν ὅ τε ἐκ τῶν νόμων τῶν ἔμπροσθεν γεγονώς, ὃν δουλεύοντες τοῖς πρόσθεν νόμοις ἐκέκτηντο, ἣν αἰδῶ πολλάκις ἐν τοῖς ἄνω λόγοις εἴπομεν, ἣ καὶ δουλεύειν ἔφαμεν δεῖν τοὺς μέλλοντας ἀγαθοὺς ἔσε-

omnes in se converti Athenienses propter Marathonicam stragem credebant. porro audientes defodi Athon, coniungi Hellespontum, classis immensam magnitudinem cumulari, nec mari nec terra salutem sibi fore putabant: praesertim quia in nullius praesidio confidebant, quippe qui memoria tenerent neque tunc, cum primo illorum ingressu capti Eretrienses fuerant, quemquam sibi opem ferre et pro eorum salute subire periculum voluisse. idem igitur tunc terra sibi eventurum putarunt. mari vero nullam prorsus salutem inveniebant, cum naves plus quam mille adveherentur. unam vero salutem, quamvis tenuem dubiamque, solummodo videbant. nam cum respicerent, quae antea gesta fuerunt, et quod desperata salute tamen vicerunt: hac spe evecti in se ipsis ac Diis tantum invenerunt sibi refugium fore. haec igitur omnia eos maiori inter se benivolentia copularunt, praesens, inquam, metus, et qui a legibus iam pridem inerat, quem servientes legibus assecuti sunt. hunc saepe pudorem in superioribus nominavimus: cui servire omnes oportere diximus, quicunque boni futuri sunt: quo quisquis afficitur, liber est et interritus. ac nisi praesens ille me-

σθαι, ἧς ὁ δειλὸς ἐλεύθερος καὶ ἄφοβος· ὃν εἰ τότε μὴ δέος ἔλαβεν, οὐκ ἄν ποτε ξυνελθὼν ἠμύνατο οὐδ' ἤμυνεν ἱεροῖς τε καὶ τάφοις καὶ πατρίδι καὶ τοῖς ἄλλοις οἰκείοις τε ἅμα καὶ φίλοις, ὥς περ τότ' ἐβοήθησεν, ἀλλὰ κατὰ σμικρὰ ἂν ἐν τῷ τότε ἡμῶν ἕκαστος σκεδασθεὶς ἄλλος ἄλλοσε διεσπάρη.

ΜΕ. Καὶ μάλα, ὦ ξένε, ὀρθῶς τε εἴρηκας καὶ σαυτῷ τε καὶ τῇ πατρίδι πρεπόντως.

ΑΘ. Ἔστι ταῦτα, ὦ Μέγιλλε· πρὸς γὰρ σὲ τὰ ἐν τῷ τότε χρόνῳ γενόμενα, κοινωνὸν τῇ τῶν πατέρων γεγονότα φύσει, δίκαιον λέγειν. ἐπισκόπει μὴν καὶ σὺ καὶ Κλεινίας εἴ τι πρὸς τὴν νομοθεσίαν προσήκοντα λέγομεν· οὐ γὰρ μύθων ἕνεκα διεξέρχομαι, οὐδ' ἕνεκα· ὁρᾶτε γάρ· ἐπειδή τινα τρόπον ταὐτὸν ἡμῖν ξυμβεβήκει πάθος ὅ περ Πέρσαις, ἐκείνοις μὲν ἐπὶ πᾶσαν δουλείαν ἄγουσι τὸν δῆμον, ἡμῖν δ' αὖ τοὐναντίον ἐπὶ πᾶσαν ἐλευθερίαν προτρέπουσι τὰ πλήθη, πῶς δὴ καὶ τί λέγωμεν τοὐντεῦθεν; οἱ προγεγονότες ἡμῖν ἔμπροσθεν λόγοι τρόπον τινὰ καλῶς εἰσὶν εἰρημένοι.

700 *ΜΕ.* Λέγεις εὖ· πειρῶ δ' ἔτι σαφέστερον ἡμῖν σημῆναι τὸ νῦν λεγόμενον.

ΑΘ. Ἕξω ταῦτα. οὐκ ἦν, ὦ φίλοι, ἡμῖν ἐπὶ

tus pudori huic iunctus fuisset, nunquam ex huiusmodi concursione illi provocati et una convenientes, Deorum templa, maiorum sepulcra, patriam ipsam ceterosque familiares atque amicos defendissent, ut fecisse narrantur: sed sparsi alius alio abiissent. *Meg.* Probe, hospes, ac sicut te patriamque decet, dixisti. *Athen.* Vera haec sunt, o Megille. nam quae tunc gesta sunt, ea par est tecum, qui parentum naturam servas, referre. sed et tu et Clinias attente considerate, si, quae ad legumlationem pertinent, dicimus. neque enim confabulandi gratia haec enarro. cuius autem gratia ista dico, inspicite: ut scilicet videamus idem nobis ac Persis quodammodo accidisse, dum illi quidem in omnem servitutem plebem traherent, nos contra in meram libertatem. quomodo vero et quid deinceps dicamus, habita iam verba et commode dicta quodammodo demonstrant. *Meg.* Probe loqueris. sed conare, quod modo dicebas, apertius eloqui. *Athen.* Faciam. non erat,

τῶν παλαιῶν νόμων ὁ δῆμός τινων κύριος, ἀλλὰ τρόπον τινὰ ἑκὼν ἐδούλευε τοῖς νόμοις.

ΜΕ. Ποίοις δὴ λέγεις;

ΑΘ. Τοῖς περὶ τὴν μουσικὴν πρῶτον τὴν τότε, ἵνα ἐξ ἀρχῆς διέλθωμεν τὴν τοῦ ἐλευθέρου λίαν ἐπίδοσιν βίου. διηρημένη γὰρ δὴ τότε ἦν ἡμῖν ἡ μουσικὴ κατὰ εἴδη τε ἑαυτῆς ἄττα καὶ σχήματα; καί τι ἦν εἶδος ᾠδῆς εὐχαὶ πρὸς θεούς, ὄνομα δὲ ὕμνοι ἐπεκαλοῦντο· καὶ τούτῳ δὴ τὸ ἐναντίον ἦν ᾠδῆς ἕτερον εἶδος, θρήνους δέ τις ἂν αὐτοὺς μάλιστα ἐκάλεσε· καὶ παίωνες ἕτερον, καὶ ἄλλο Διονύσου γένεσις, οἶμαι, διθύραμβος λεγόμενος. νόμους τε αὐτὸ τοῦτο τοὔνομα ἐκάλουν, ᾠδὴν ὡς τινα ἑτέραν. ἐπέλεγον δὲ κιθαρῳδικούς. τούτων δὴ διατεταγμένων καὶ ἄλλων τινῶν οὐκ ἐξῆν ἄλλῳ εἰς ἄλλο καταχρῆσθαι μέλους εἴδος. τὸ δὲ κῦρος τούτων γνῶναί τε καὶ ἅμα γνόντα δικάσαι ζημιοῦν τε αὖ τὸν μὴ πειθόμενον οὐ σύριγξ ἦν οὐδὲ τύνες ἄμουσοι βοαὶ πλήθους, καθά περ τὰ νῦν, οὐδ' αὖ πρότοι ἐπαίνους ἀποδιδόντες, ἀλλὰ τοῖς μὲν γεγονόσι περὶ παίδευσιν δεδογμένον ἀκούειν ἦν αὐτοῖς μετὰ σιγῆς διὰ τέλους, παισὶ δὲ καὶ παιδαγωγοῖς καὶ τῷ πλείστῳ ὄχλῳ ῥάβδου κοσμούσης ἡ νουθέτησις ἐγίγνετο.

o amici, apud nos ex veteribus legibus alicuius rei plebs domina, sed sponte quodammodo legibus serviebat. *Meg.* Quibus legibus? *Athen.* Illis, inquam, quae de musica positae fuerunt, ut incrementum vitae nimium liberae a principio repetamus. distincta enim nobis tunc per species et figuras erat musica. fuitque una species cantus ad Deos precibus placandos, quos hymnos vocabant. huic altera cantus continua species. querulos hos cantus quis maxime appellaret. alia species Paeon. alia Dionysii generatio, quam Dythirambum arbitror appellatam. erat et alia cantus species, quam leges citharoedicas nominabant. his itaque aliisque quibusdam lege statutis, non licebat alio genere cantus pro alio abuti, auctoritas autem cognoscendi haec iudicandique et damnandi, si quis contra fecisset, nec sibilo nec ineptis clamoribus multitudinis, ut modo, tribuebatur: nec rursus laudandi licentia plaudenti strepentique turbae, sed praestantibus in doctrina viris id erat concessum: dabaturque ipsis ad finem usque magno cum silentio audire. adolescentes autem, paedagogi et plebs universa

ταῦτ' οὖν οὕτω τεταγμένως ἤθελεν ἄρχεσθαι τῶν πολιτῶν τὸ πλῆθος, καὶ μὴ τολμᾷν κρίνειν διὰ θορύβου. μετὰ δὲ ταῦτα προϊόντος τοῦ χρόνου ἄρχοντες μὲν τῆς ἀμούσου παρανομίας ποιηταὶ ἐγίγνοντο φύσει μὲν ποιητικοί, ἀγνώμονες δὲ περὶ τὸ δίκαιον τῆς Μούσης καὶ τὸ νόμιμον, βακχεύοντες καὶ μᾶλλον τοῦ δέοντος κατεχόμενοι ὑφ' ἡδονῆς, κεραννύντες δὲ θρήνους τε ὕμνοις καὶ παίωνας διθυράμβοις, καὶ αὐλῳδίας δὴ ταῖς κιθαρῳδίαις μιμούμενοι καὶ πάντα εἰς πάντα ξυνάγοντες, μουσικῆς ἄκοντες ὑπ' ἀνοίας κατα- 10
ψευδόμενοι, ὡς ὀρθότητα μὲν οὐκ ἔχοι οὐδ' ἡντινοῦν μουσική, ἡδονῇ δὲ τῇ τοῦ χαίροντος, εἴτε βελτίων εἴτε χείρων ἂν εἴη τις, κρίνοιτο ὀρθότατα. τοιαῦτα δὴ ποιοῦντες ποιήματα λόγους τε ἐπιλέγοντες τοιούτους τοῖς πολλοῖς ἐνίεσαν παρανομίαν εἰς τὴν μουσικὴν καὶ τόλμαν, ὡς ἱκανοῖς οὖσι κρίνειν. ὅθεν δὴ τὰ θέατρα
701 ἐξ ἀφώνων φωνήεντα ἐγένοντο, ὡς ἐπαΐοντα ἐν Μούσαις τό τε καλὸν καὶ μή, καὶ ἀντὶ ἀριστοκρατίας ἐν αὐτῇ θεατροκρατία τις πονηρὰ γέγονεν. εἰ γὰρ δὴ καὶ δημοκρατία ἐν αὐτῇ τις μόνον ἐγένετο ἐλευθέρων ἀν- 20

castigatione virgae ammonebantur. haec cum ita ordine fierent; multitudo civium libenter parebat, nec audebat tumultuose quicquam iudicare. tempore deinde procedente principes quidem transgressionis a musica alienae poëtae ipsi fuerunt: qui natura quidem poëtici erant, sed, quid iustum atque legitimum in musa, non satis intelligebant: debacchantes utique, et voluptati magis quam oportuerit indulgentes hi sane et lugubria hymnis et dithyrambis paeonas coniunxerunt, tibiarumque sonos et cantus citharae cantibus imitati sunt, omnibus omnia commiscentes. qui et praeter sententiam ex inscitia contra musicam mentiti sunt, asserentes eam quidem nullam rectam in se normam habere, sed audientis voluptate, sive probus ille vir sit seu contra, rectissime iudicari. cum igitur huiusmodi poëmata componerent et talia vulgo dicerent, iniquam adeo et audacem adversus musicam multitudinem effecerunt, ut se sufficientes sententiam pronunciare de musica crederent. hinc spectacula frequenter exclamare coeperunt, cum silere antea consuevissent, quasi quid pulchrum in Musis, quid non, acute sentirent: atque ita ex optimatum potestate in pravam theatri potentiam res ipsa desiluit. si enim popularis potentia solum liberorum hominum exstitisset, nullum

δρῶν, οὐδὲν ἂν πάνυ γε δεινὸν ἦν τὸ γεγονός. νῦν δὲ ἦρξε μὲν ἡμῖν ἐκ μουσικῆς ἡ πάντων εἰς πάντα σοφίας δόξα καὶ παρανομία, ξυνεφέσπετο δε ἐλευθερία. ἄφοβοι γὰρ ἐγίγνοντο ὡς εἰδότες, ἡ δὲ ἄδεια ἀναισχυντίαν ἐνέτεκε· τὸ γὰρ τὴν τοῦ βελτίονος δόξαν μὴ φοβεῖσθαι διὰ θράσος, τοῦτ' αὐτό ἐστι σχεδὸν ἡ πονηρὰ ἀναισχυντία, διὰ δή τινος ἐλευθερίας λίαν ἀποτετολμημένης.

ΜΕ. Ἀληθέστατα λέγεις.

ΑΘ. Ἐφεξῆς δὴ ταύτῃ τῇ ἐλευθερίᾳ ἡ τοῦ μὴ ἐθέλειν τοῖς ἄρχουσι δουλεύειν γίγνοιτ' ἄν, καὶ ἑπομένη ταύτῃ φεύγειν πατρὸς καὶ μητρὸς καὶ πρεσβυτέρων δουλείαν καὶ νομοθέτησιν, καὶ ἐγγὺς τοῦ τέλους οὖσι νόμων ζητεῖν μὴ ὑπηκόοις εἶναι, πρὸς αὐτῷ δὲ ἤδη τῷ τέλει ὅρκων καὶ πίστεων καὶ τὸ παράπαν θεῶν μὴ φροντίζειν, τὴν λεγομένην πάλαιαν Τιτανικὴν φύσιν ἐπιδεικνῦσι καὶ μιμουμένοις· ἐπὶ τὰ αὐτὰ πάλιν ἐκεῖνα ἀφικομένους, χαλεπὸν αἰῶνα διάγοντας μὴ λῆξαί ποτε κακῶν. τίνος δὴ καὶ ταῦθ' ἡμῖν αὖ χάριν ἐλέχθη; δεῖν φαίνεται ἔμοιγε, οἷόν περ ἵππον, τὸν λόγον ἑκάστοτε ἀναλαμβάνειν, καὶ μὴ καθά περ ἀχάλινον κεκτημένον τὰ ϛόμα, βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον κατὰ τὴν πα-

utique ingens malum fuisset. nunc autem ex musica nobis incepit omnium ad omnia opinio sapientiae, praevaricatioque secuta est, et libertas. intrepidi enim erant, quasi scientes: haec licentia impudentiam peperit. nempe si melioris opinio propter audaciam non timetur, id ipsum paene perniciosa est impudentia, quae a libertate quadam temeraria proficiscitur. *Meg.* Verissima loqueris. *Athen.* Hanc libertatem ea licentia sequitur, quae facit, ne magistratibus subesse velimus. ex hac originem habet et illa, per quam patris matrisque et seniorum servitutem et praecepta contemnimus. cumque prope transgressionis huius extremum simus, legibus quoque parere recusamus. in ipso autem extremo iusiurandum, fidem et omnino Deos negligimus. unde ad priscam illam tyrannicamque revoluti naturam eadem illa iterum patiemur, duraque secula rursum degemus, nec malorum finem ullum reperiemus. sed cur haec nobis dicta sunt, repetendum mihi videtur, ut oratio, quasi equus, retrahatur; ne, si os effrenatum, dicendi concita impetu ab asino, ut proverbio

ροιμίαν ἀπό τινος ὄνου πεσεῖν, ἀλλ' ἐπανερωτᾷν τὸ νῦν δὴ λεχθέν, τὸ τίνος δὴ χάριν ἕνεκα ταῦτα ἐλέχθη.

ΜΕ. Καλῶς.

ΑΘ. Ταῦτα τοίνυν εἴρηται ἐκείνων ἕνεκα.

ΜΕ. Τίνων;

ΑΘ. Ἐλέξαμεν ὡς τὸν νομοθέτην δεῖ τριῶν σοχαζόμενον νομοθετεῖν, ὅπως ἡ νομοθετουμένη πόλις ἐλευθέρα τε ἔσαι καὶ φίλη ἑαυτῇ καὶ νοῦν ἕξει. ταῦτ' ἦν. ἦ γάρ; 10

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Τούτων ἕνεκα δὴ πολιτείας τήν τε δεσποτικωτάτην προελόμενοι καὶ τὴν ἐλευθερικωτάτην, ἐπεσκοποῦμεν νυνὶ ποτέρα τούτων ὀρθῶς πολιτεύεται· λαβόντες δὲ αὐτῶν ἑκατέρας μετριότητά τινα, τῶν μὲν τοῦ δεσπόζειν, τῶν δὲ τοῦ ἐλευθεριάσαι, κατείδομεν ὅτι τότε διαφερόντως ἐν αὐταῖς ἐγένετο εὐπραγία, ἐπὶ δὲ τὸ ἄκρον ἀγαγόντων ἑκατέρων, τῶν μὲν δουλείας, τῶν δὲ τοὐναντίου, οὐ συνήνεγκεν οὔτε τοῖς οὔτε τοῖς. 20

702 *ΜΕ.* Ἀληθέσατα λέγεις.

ΒΘ. Καὶ μὴν αὐτῶν γε ἕνεκα καὶ τὸ Δωρικὸν ἐθεασάμεθα κατοικιζόμενον στρατόπεδον καὶ τὰς τοῦ Δαρδάνου ὑπωρείας τε καὶ τὴν ἐπὶ θαλάττῃ κατοίκι-

ferunt, excutiatur. interrogandum est igitur, cuius causa haec dicta sunt. *Meg.* Est utique. *Athen.* Haec ergo illorum gratia diximus. *Meg.* Quorum? *Athen.* Diximus nempe, ad tria quaedam esse latori legum respiciendum, ut civitas, quae legibus instituitur, libera sit, sibi ipsi amica, et mentem habeat. haec dicta sunt? an non? *Meg.* Dicta prorsus. *Athen.* Propterea duas gubernationum species in medium adduximus: unam; in qua arctissima servitus; alteram, in qua resoluta libertas: considéravimusque, utra recte gubernaretur. perspeximus autem, mediocritate alteri dominandi, alteri libertatis addita, feliciter nimium utrasque se habuisse: infelíciter vero, cum servitus in altera, in altera libertas ad extremum usque percrevit. *Meg.* Vera narras. *Athen.* Atqui huius quoque ipsius gratia Dorici exercitus constitutionem consideravimus, et radices montium Dardani habitatio-

σιν, καὶ τοὺς πρώτους δὴ τοὺς περιλιπεῖς γενομένους τῆς φθορᾶς, ἔτι δὲ τοὺς ἔμπροσθεν τούτων γενομένους ἡμῖν λόγους περί τε μουσικῆς καὶ μέθης καὶ τὰ τούτων ἔτι πρότερα. ταῦτα γὰρ πάντα εἴρηται τοῦ κατιδεῖν ἕνεκα πῶς ποτ' ἂν πόλις ἄριστα οἰκοίη, καὶ ἰδίᾳ πῶς ἄν τις βέλτιστα τὸν αὑτοῦ βίον διαγάγοι. εἰ δή τι πεποιήκαμεν προὔργου, τίς ποτ' ἂν ἔλεγχος γίγνοιτο ἡμῖν πρὸς ἡμᾶς αὐτοὺς λεχθείς, ὦ Μέγιλλέ τε καὶ Κλεινία;

ΚΛ. Ἐγώ τιν' ὦ ξένε μοι δοκῶ κατανοεῖν. ἔοικε κατὰ τύχην τινὰ ἡμῖν τὰ τῶν λόγων τούτων πάντων ὧν διεξήλθομεν γεγονέναι· σχεδὸν γὰρ εἰς χρείαν αὐτῶν ἔγωγ' ἐλήλυθα τὰ νῦν, καὶ κατά τινα αὖ καιρὸν σύ τε παραγέγονας ἅμα καὶ Μέγιλλος ὅδε. οὐ γὰρ ἀποκρύψομαι σφῶ τὸ νῦν ἐμοὶ ξυμβαῖνον, ἀλλὰ καὶ πρὸς οἰωνόν τινα ποιοῦμαι. ἡ γὰρ πλείστη τῆς Κρήτης ἐπιχειρεῖ τινὰ ἀποικίαν ποιήσασθαι, καὶ προστάττει τοῖς Κνωσίοις ἐπιμεληθῆναι τοῦ πράγματος, ἡ δὲ τῶν Κνωσίων πόλις ἐμοί τε καὶ ἄλλοις ἐννέα· ἅμα δὲ καὶ νόμους τῶν τε αὐτόθι, εἴ τινες ἡμᾶς ἀρέσκουσι, τίθεσθαι κελεύει, καὶ εἴ τινες ἑτέρωθεν, μηδὲν ὑπολογιζομένους τὸ ξενικὸν αὐτῶν, ἂν βελτίους φαίνωνται. νῦν

nemque maritimam, primos praeterea illos, qui a vastitate diluvii relicti fuerant: horumque causa de musica et ebrietate, deque prioribus etiam habita nobis oratio est. haec enim omnia ob eam causam dicta sunt, ut intelligamus, quomodo optime gubernari civitas possit: et quo privatim quisque optime suam vitam disponat. sic vero quicquam contulimus, quaenam nobis ipsis adversus nos, o Megille et Clinia, redargutio erit? *Cli.* Ego, hospes, mihi videor nonnihil inspicere, secunda quippe fortuna superiora omnia nobis dicta videntur. his enim ego quodammodo indigebam: quocirca oportune ambo, tu, dico, et Megillus iste me reperistis, neque celabo vos, quod mihi accidit. quasi enim augurio his sermonibus confirmatus sum. maxima profecto Cretensium pars coloniam mittere quandam cogitat, ac Gnosiis eius rei curam committit, Gnosiorum vero civitas mihi aliisque novem viris id mandat curandum, leges autem ponere iubet: et quae nobis ex Cretensibus placeant et quae aliunde colligi possint, edicitque nobis, ne peregrinas leges horreamus, modo proben-

οὖν ἐμοί τε καὶ ὑμῖν ταύτην δῶμεν χάριν· ἐκ τῶν εἰρημένων ἐκλέξαντες τῷ λόγῳ συχησώμεθα πόλιν, οἷον ἐξ ἀρχῆς κατοικίζοντες. καὶ ἅμα μὲν ἡμῖν οὐ ζητοῦμεν ἐκίσκεψις γενήσεται, ἅμα δ' ἐγὼ τάχ' ἂν χρησαίμην εἰς τὴν μέλλουσαν πόλιν ταύτῃ τῇ συχάσει.

ΑΘ. Οὐ πόλεμόν γε ἐπαγγέλλεις, ὦ Κλεινία· ἀλλ' εἰ μή τι Μεγίλλῳ πρόσαντες, τὰ παρ' ἐμοῦ γε ἡγοῦ σοι πάντα κατὰ νοῦν ὑπάρχειν εἰς δύναμιν.

ΚΛ. Εὖ λέγεις.

ΜΕ. Καὶ μὴν καὶ τὰ παρ' ἐμοῦ. 10

ΚΛ. Κάλλις' εἰρήκατον. ἀτὰρ πειρώμεθα λόγῳ πρῶτον κατοικίζειν τὴν πόλιν.

tur. nunc igitur et mihi et vobis hanc gratiam praebeamus: collectis undique legibus, oratione condamus ab initio civitatem. sic enim et illud, quod a nobis quaeritur, diligentius considerabitur, et mihi forsitan disputatio haec ad futurae civitatis constitutionem conferet. *Athen.* Non bellum indicis, o Clinia. quare, nisi id Megillo incommodum, mea quidem pro viribus tibi parata suut. *Meg.* Probe dicis. ego quoque paratus sum. *Cli.* Optime ambo dixistis. quare conandum est primum oratione civitatem condere.

Δ.

Φέρε δή, τίνα δεῖ διανοηθῆναί ποτε τὴν πόλιν ἔσε- 704
σθαι; λέγω δὲ οὔ τι τοὔνομα αὐτῆς ἐρωτῶν ὅ τί ποτ' ἔξι τὰ νῦν, οὐδ' εἰς τὸν ἔπειτα χρόνον ὅ τι δεήσει καλεῖν αὐτήν· τοῦτο μὲν γὰρ τάχ' ἂν ἴσως καὶ ὁ κατοικισμὸς αὐτῆς ἤ τις τόπος ἢ ποταμοῦ τινὸς ἢ κρήνης ἢ θεῶν ἐπωνυμία τῶν ἐν τῷ τόπῳ προσθείη τὴν αὐτῶν φήμην καινῇ γενομένῃ τῇ πόλει· τόδε δὲ περὶ αὐτῆς ἔξιν ὃ βουλόμενος μᾶλλον ἐπερωτῶ, πότερον ἐπιθαλαττίδιος ἔξαι τις ἢ χερσαία.

ΚΛ. Σχεδόν, ὦ ξένε, ἀπέχει θαλάττης γε ἡ πόλις ἧς πέρι τὰ νῦν δὴ λεχθέντα ἡμῖν, εἴς τινας ὀγδοήκοντα σταδίους.

ΑΘ. Τί δέ; λιμένες ἆρ' εἰσὶ κατὰ ταῦτα αὐτῆς, ἢ τὸ παράπαν ἀλίμενος;

Age iam, quamnam fore civitatem cogitare debemus? neque vero nunc de praesenti eius nomine aut de futuro interrogo. id enim forsan aut coloniae auctor dabit aut locus; vel etiam fluvii aut fontis aut Deorum, qui in ea regione sunt, alicuius civitatem novam suo cognomine nuncupabit. sed illud potius quaero, utrum maritima erit an mediterranea? *Cli.* Distat fere, hospes, a mari haec, de qua loquimur, civitas, stadiis octoginta. *Athen.* Portus vero suntne prope? an mare illud penitus importuosum?

ΚΛ. Εὐλίμενος μὲν οὖν ταύτῃ γε ὡς δυνατόν ἐστι μάλιστα, ὦ ξένε.

ΑΘ. Παπαί, οἷον λέγεις! τί δέ; περὶ αὐτὴν ἡ χώρα πότερα πάμφορος ἢ καὶ τινῶν ἐπιδεής;

ΚΛ. Σχεδὸν οὐδενὸς ἐπιδεής.

ΑΘ. Γείτων δὲ αὐτῆς πόλις ἆρ' ἔχει τις πλησίον;

ΚΛ. Οὐ πάνυ, διὸ καὶ κατοικίζεται· παλαιὰ γάρ τις ἐξοίκισις ἐν τῷ τόπῳ γενομένη τὴν χώραν ταύτην ἔρημον ἀπείργασαι χρόνον ἀμήχανον ὅσον.

ΑΘ. Τί δ' αὖ; πεδίων τε καὶ ὀρῶν καὶ ὕλης πῶς μέρος ἑκάτερον ἡμῖν εἴληχεν;

ΚΛ. Προσέοικε τῇ τῆς ἄλλης Κρήτης φύσει ὅλη.

ΑΘ. Τραχυτέραν αὐτὴν ἢ πεδιεινοτέραν ἂν λέγοις.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Οὐ τοίνυν ἀνίατός γε ἂν εἴη πρὸς ἀρετῆς κτῆσιν. εἰ μὲν γὰρ ἐπιθαλαττία τε ἔμελλεν εἶναι καὶ εὐλίμενος καὶ μὴ πάμφορος ἀλλ' ἐπιδεὴς πολλῶν, μεγάλου τινὸς ἔδει σωτῆρός τε αὐτῇ καὶ νομοθετῶν θείων τινῶν, εἰ μὴ πολλά τε ἔμελλεν ἤθη καὶ ποικίλα καὶ φαῦλα ἕξειν τοιαύτη φύσει γενομένη· νῦν δὲ παραμύθιον ἔχει τὸ τῶν ὀγδοήκοντα σταδίων. ἐγγύτερον μέν τοι τοῦ δέοντος κεῖται τῆς θαλάττης, σχεδὸν ὅσον

Cli. Portuosa est, hospes, ea regio, quam maxime fieri potest. *Athen.* Heu, quid ais? ager autem ille fert omnia? an aliquorum indigus? *Cli.* Fert paene omnia. *Athen.* Civitas vero aliquanc illi proxima? *Cli.* Non valde: atque iccirco habitatores illuc conducere cogitamus. prisca enim quadam hominum inde facta propulsione, magno temporis spatio iacet regio desolata. *Athen.* Quoad campos autem montesque et silvas pertinet, quo pacto disposita est? *Cli.* Similis est reliquae totius Cretae naturae. *Athen.* Asperam igitur ipsam potius et silvestrem quam campestrem esse dicis? *Cli.* Aio equidem. *Athen.* Non est igitur ad acquirendam virtutem incommoda. nam si mari proxima esset et portuosa, nec ferret omnia, sed multarum rerum egeret, maximo sibi salutis fundatore opus esset divinisque legumlatoribus, ne multos ac varios mores simulque pravos huiusmodi regionis natura contraheret. nunc vero invat, quia stadiis octoginta remota est a mari: propinquior certe quam oportet mari, ea

εὐλιμενωτέραν αὐτὴν φῂς εἶναι. ὅμως δὲ ἀγαπητὸν καὶ τοῦτο. πρόσοικος γὰρ θάλαττα χώρᾳ τὸ μὲν παρ' ἑκάστην ἡμέραν ἡδύ, μάλα γε μὴν ὄντως ἁλμυρὸν καὶ πικρὸν γειτόνημα· ἐμπορίας γὰρ καὶ χρηματισμοῦ διὰ καπηλείας ἐμπιπλᾶσα αὐτήν, ἦθη παλίμβολα καὶ ἄπιστα ταῖς ψυχαῖς ἐντίκτουσα, αὐτήν τε πρὸς αὑτὴν τὴν πόλιν ἄπιστον καὶ ἄφιλον ποιεῖ καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους ὡσαύτως. παραμύθιον δὲ δὴ πρὸς ταῦτα καὶ τὸ πάμφορος εἶναι κέκτηται, τραχεῖα δὲ οὖσα δῆλον ὡς οὐκ ἂν πολύφορός τε εἴη καὶ πάμφορος ἅμα. τοῦτο γὰρ ἔχουσα, πολλὴν ἐξαγωγὴν ἂν παρεχομένη, νομίσματος ἀργυροῦ καὶ χρυσοῦ πάλιν ἀντεμπίπλαιτ' ἄν, οὐ μεῖζον κακὸν ὡς ἔπος εἰπεῖν πόλει ἀνθ' ἑνὸς ἓν οὐδὲν ἂν γίγνοιτο εἰς γενναίων καὶ δικαίων ἠθῶν κτῆσιν, ὡς ἔφαμεν, εἰ μεμνήμεθα, ἐν τοῖς πρόσθεν λόγοις.

ΚΛ. Ἀλλὰ μεμνήμεθα, καὶ συγχωροῦμεν τότε λέγειν ἡμᾶς ὀρθῶς καὶ τὰ νῦν.

ΑΘ. Τί δὲ δή; ναυπηγησίμης ὕλης ὁ τόπος ἡμῖν τῆς χώρας πῶς ἔχει;

ΚΛ. Οὐκ ἔξιν οὔ τέ τις ἐλάτη λόγου ἀξία οὐτ' αὖ πεύκη, κυπάριττός τε οὐ πολλὴ πίτυν τ' αὖ καὶ πλάτανον ὀλίγην ἂν εὕροι τις, οἷς δὴ πρὸς τὰ τῶν ἐντὸς

ferme, quod portuosior est, ut ais. satis tamen et hoc esse videtur. profecto mare civitati proximum quotidiana quadam iucunditate eam afficit. verumtamen vicinitas ea nimium revera salsa est atque amara. nam cum mercibus et pecuniis cauponando civitas repleatur, dolosi animi instabiles et infidos mores parit: unde parum et ipsa ad se ipsam et ad gentes alias fidem et amicitiam colit. adversus haec tamen illud habet remedium, quod omnia fert. cumque silvosa sit et aspera, licet omnia ferat, non tamen abunde omnia. nam si esset ad omnia ferax atque foecunda, multum auri atque argenti ex emissione rerum colligeret. qua una re nihil, ut breviter dicam, perniciosius est, si unum uni conferas ad generosos iustosque mores, ut in superioribus quoque, si recordamur, est dictum. *Cli.* Recordamur quidem: et illa tunc, et nunc ista recte dicta concedimus. *Athen.* Materia vero ad fabricandas naves nunquid illic abundat? *Cli.* Neque illic abies est mentione digna nec arbor picea: cupressi item copia parva: pinumque et plata-

τῶν πλοίων μέρη ἀναγκαῖον τοῖς ναυπηγοῖς χρῆσθαι ἑκάστοτε.

ΑΘ. Καὶ ταῦτα οὐκ ἂν κακῶς ἔχοι τῇ χώρᾳ τῆς φύσεως.

ΚΛ. Τί δή;

ΑΘ. Μιμήσεις πονηρὰς μιμεῖσθαι τοὺς πολεμίους μὴ ῥᾳδίως δύνασθαί τινα πόλιν ἀγαθόν.

ΚΛ. Εἰς δὴ τί τῶν εἰρημένων βλέψας εἶπες ὃ λέγεις;

ΑΘ. Ὦ δαιμόνιε, φύλαττέ με εἰς τὸ κατ' ἀρχὰς εἰρημένον ἀποβλέπων, τὸ περὶ τῶν Κρητικῶν νόμων, ὡς πρὸς ἕν τι βλέποιεν. καὶ δὴ καὶ τοῦτ' ἐλέγετον αὐτὸ εἶναι ὀρθῶς τὸ πρὸς τὸν πόλεμον, ἐγὼ δὲ ὑπολαβὼν εἶπον ὡς ὅτι μὲν εἰς ἀρετήν ποι βλέποι τὰ τοιαῦτα νόμιμα κείμενα, καλῶς ἔχοι, τὸ δ' ὅτι πρὸς μέρος ἀλλ' οὐ πρὸς πᾶσαν σχεδὸν, οὐ πάνυ ξυνεχώρουν. νῦν οὖν ὑμεῖς μοι τῆς παρούσης νομοθεσίας ἀντιφυλάξατε ἑπόμενοι ἐὰν ἄρα τι μὴ πρὸς ἀρετὴν τεῖνον ἢ πρὸς ἀρετῆς μόριον νομοθετῶ. τοῦτον γὰρ δὴ τίθεσθαι τὸν νόμον ὀρθῶς ὑπο-
706 τίθεμαι μόνον, ὃς ἂν δίκην τοξότου ἑκάστοτε ϛοχάζηται τούτου ὅτῳ ἂν συνεχῶς τούτων τῶν ἀεὶ καλῶν τι ξυνέπηται μόνῳ, τὰ δὲ ἄλλα ξύμπαντα παραλείπῃ, ἐάν

num illic raram invenies: quibus necessario fabri navium ad interiores navium partes utuntur. *Athen.* Atque in his etiam non male se habet regionis ipsius natura. *Cli.* Quid ita? *Athen.* Quoniam operae pretium est, ut civitas facile imitari hostes improba imitatione non possit. *Cli.* Cuiusnam supra dictorum potissimum gratia ista dicis? *Athen.* Observa me, vir praeclare, nempe illius gratia, quod est ab initio de Cretensium legibus dictum, quas vos ad unum aliquid, id est, bellum aspicere dicebatis. ego autem adieci eas, quoniam ad virtutem quodammodo referrentur, probe positas esse: quoniam vero non ad universam, sed ad virtutis partem ferme equidem non valde laudabam. nunc igitur me quoque vos in praesenti legumlatione diligenter observate, si quid aut quod ad virtutem non pertineat aut quod ad partem solummodo, legibus sancio. eum quippe solum recte ferre leges existimo, qui veluti sagittarius illuc animum semper intendit, unde continuo aliquid semperque sequatur eorum quae bona sunt: cetera vero relinquit, sive divitias seu hu-

τέ τις πλοῦτος ἐάν τε ἄρα τι τῶν ἄλλων τῶν τοιούτων ὂν τυγχάνῃ ἄνευ τῶν προειρημένων. τὴν δὲ δὴ μίμησιν ἔλεγον τὴν τῶν πολεμίων τὴν κακὴν τοιάνδε γίγνεσθαι, ὅταν οἰκῇ μέν τις πρὸς θαλάττῃ, λυπῆται δ' ὑπὸ πολεμίων, οἷον — φράσω γὰρ οὗ τι μνησικακεῖν βουλόμενος ὑμῖν. Μίνως γὰρ δή ποτε τοὺς οἰκοῦντας τὴν Ἀττικὴν παρεσήσατο εἰς χαλεπήν τινα φορὰν δασμοῦ, δύναμιν πολλὴν κατὰ θάλατταν κεκτημένος. οἱ δ' οὔ τέ πω πλοῖα ἐκέκτηντο, καθά περ νῦν, πολεμικά, οὔτ' αὖ τὴν χώραν πλήρη ναυπηγησίμων ξύλων, ὥστ' εὐμαρῶς ναυτικὴν παρασχέσθαι δύναμιν· οὔκουν οἷοί τ' ἐγένοντο διὰ μιμήσεως ναυτικῆς αὐτοὶ ναῦται γενόμενοι εὐθὺς τότε τοὺς πολεμίους ἀμύνασθαι. ἔτι γὰρ ἂν πλεονάκις ἑπτὰ ἀπολέσαι παῖδας αὐτοῖς συνήνεγκε, πρὶν ἀντὶ πεζῶν ὁπλιτῶν μονίμων ναυτικοὺς γενομένους ἐθισθῆναι πυκνὰ ἀποπηδῶντας δρομικῶς εἰς τὰς ναῦς ταχὺ πάλιν ἀποχωρεῖν, καὶ δοκεῖν μηδὲν αἰσχρὸν ποιεῖν μὴ τολμῶντας ἀποθνήσκειν μένοντας ἐπιφερομένων πολεμίων, ἀλλ' εἰκυίας αὐτοῖς γίγνεσθαι προφάσεις καὶ σφόδρα ἑτοίμας ὅπλα τε ἀπολλῦσι καὶ φεύγουσι δή τινας οὐκ αἰσχράς, ὥς φασι, φυγάς. τοιαῦτα γὰρ ἐκ ναυτικῆς ὁπλιτείας ῥήματα φιλεῖ ξυμβαίνειν, οὐκ ἄξια ἐπαίνων πολλάκις μυρίων,

iusmodi aliud, quod a virtutibus sit separatum. imitationem vero hostium improbam tunc fieri dicebam, cum iuxta mare quispiam habitans laedatur ab hostibus. quale illud fuit. dicam enim: non tamen praeteritae iniuriae commemorandae studio. Minos olim navali copia fretus crudele Atticae tributum imposuit. Athenienses vero nondum naves, ut nunc, ad bellum paratas habebant: nec illa in regione arborum copia erat, unde naves facile fabricarentur. quare non potuerunt, rerum imitatione navalium ipsi quoque nautae facti, statim hostes tunc suos ulcisci. meliusque secum actum esset, si saepius septem adolescentes amisissent, quam, quod illis accidit, perpeti. nam pro terrestribus firmisque copiis navales factae, consueverunt cursim naves insilire, ac cito decedere, nihil turpe facere arbitrantes, cum non audeant hostium impetum exspectare ac mori: sed occasiones habeant paratas, ut armis amissis minime, ut aiunt, turpiter fugiant. huiusmodi vero ex navali bello voces audire contingit, non laude quidem ulla,

ἀλλὰ τοὐναντίον· ἔθη γὰρ πονηρὰ οὐδέποτε ἐθίζειν δεῖ, καὶ ταῦτα τὸ τῶν πολιτῶν βέλτιστον μέρος· ἦν δέ που τοῦτό γε καὶ παρ' Ὁμήρου λαβεῖν, ὅτι τὸ ἐπιτήδευμα ἦν τὸ τοιοῦτον οὐ καλόν. Ὀδυσσεὺς γὰρ αὐτῷ λοιδορεῖ τὸν Ἀγαμέμνονα, τῶν Ἀχαιῶν τότε ὑπὸ τῶν Τρώων κατεχομένων τῇ μάχῃ, κελεύοντα τὰς ναῦς εἰς τὴν θάλατταν καθέλκειν· ὁ δὲ χαλεπαίνει τε αὐτῷ καὶ λέγει

ὃς κέλεαι πολέμοι συνεξαότος καὶ ἀϋτῆς
νῆας ἐϋσσέλμους ἅλαδ' ἔλκειν, ὄφρ' ἔτι μᾶλλον
Τρωσὶ μὲν εὐκτὰ γένηται ἐελδομένοισί περ ἔμπης,
ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιῤῥέπῃ· οὐ γὰρ Ἀχαιοὶ
σχήσουσιν πολέμου νηῶν ἅλαδ' ἑλκομενάων,
ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσί δὲ χάρμης.
ἔνθα κε σὴ βουλὴ δηλήσεται, οἷ' ἀγορεύεις.

707 ταῦτ' οὖν ἐγίγνωσκε καὶ ἐκεῖνος, ὅτι κακὸν ἐν θαλάττῃ τριήρεις ὁπλίταις παρεχῶσαι μαχομένοις· καὶ λέοντες ἂν ἐλάφους ἐθισθεῖεν φεύγειν τοιούτοις ἔθεσι χρώμενοι. πρὸς δὲ τούτοις αἱ διὰ τὰ ναυτικὰ πόλεων δυνάμεις ἅμα σωτηρίᾳ τιμὰς οὐ τῇ καλλίστῃ τῶν πολεμικῶν ἀποδιδόασι. διὰ κυβερνητικῆς γὰρ καὶ πεντηκονταρχίας καὶ ἐρετικῆς καὶ παντοδαπῶν καὶ οὐ πάνυ

sed vituperatione summopere dignas. nunquam enim malis moribus, praesertim optimam civium partem, assuefacere decet. apud Homerum quoque navium refugium hoc reprobatum videtur. Ulixes namque Agamemnonem reprehendit, qui, proelio Graecis apud Troianos occupatis, naves in mare deducere iubebat. quod moleste ferens Ulixes ait: *An iubes, instante belli turbine, bene tabulatis instructas naves in altum deducere? ut Troianis ad votum cuncta succedant, nos autem perniciosa strages cladesque sequatur? Neque enim gravi sese pugnae committent, cum naves mari ad fugam paratas aspicient: sed neglecto bello cedent, atque inde volabunt. Ubi quale consilium hoc tuum fuerit, apparebit.* patet igitur Homerum quoque sensisse, obesse triremes ad pugnantium fugam paratas. quippe vel leones his moribus usi cervos fugere consuescerent. praeterea civitatum potentiae, quae navalibus copiis fretae salutem consequuntur, haudquaquam honores optimae bellicarum rerum parti retribuunt. nam cum arte gubernatoria et quinquaginta virorum principatu et remigio, variorumque et vilium hominum opere res navalis

σπουδαίων ἀνθρώπων γιγνομένης τὰς τιμὰς ἑκάστοις οὐκ ἂν δύναιτο ὀρθῶς ἀποδιδόναι τις. καί τοι πῶς ἂν ἔτι πολιτεία γίγνοιτο ὀρθὴ τούτου ξερομένη;

ΚΛ. Σχεδὸν ἀδύνατον. ἀλλὰ μήν, ὦ ξένε, τήν γε περὶ Σαλαμῖνα ναυμαχίαν τῶν Ἑλλήνων πρὸς τοὺς βαρβάρους γενομένην ἡμεῖς γε οἱ Κρῆτες τὴν Ἑλλάδα φαμὲν σῶσαι.

ΑΘ. Καὶ γὰρ οἱ πολλοὶ τῶν Ἑλλήνων τε καὶ βαρβάρων λέγουσι ταῦτα. ἡμεῖς δέ, ὦ φίλε, ἐγώ τε καὶ ὅδε, Μέγιλλος, φαμὲν τὴν πεζὴν μάχην τὴν ἐν Μαραθῶνι γενομένην καὶ ἐν Πλαταιαῖς τὴν μὲν ἄρξαι τῆς σωτηρίας τοῖς Ἕλλησι, τὴν δὲ τέλος ἐπιθεῖναι, καὶ τὰς μὲν βελτίους τοὺς Ἕλληνας ποιῆσαι, τὰς δὲ οὐ βελτίους, ἵν' οὕτω λέγωμεν περὶ τῶν τότε ξυσσωσασῶν ἡμᾶς μαχῶν· πρὸς γὰρ τῇ περὶ Σαλαμῖνα τὴν περὶ τὸ Ἀρτεμίσιόν σοι προσθήσω κατὰ θάλατταν μάχην. ἀλλὰ γὰρ ἀποβλέποντες νῦν πρὸς πολιτείας ἀρετὴν καὶ χώρας φύσιν σκοπούμεθα καὶ νόμων τάξιν, οὐ τὸ σώζεσθαί τε καὶ εἶναι μόνον ἀνθρώποις τιμιώτατον ἡγούμενοι, καθά περ οἱ πολλοί, τὸ δ' ὡς βελτίζους γίγνεσθαί τε καὶ εἶναι τοσοῦτον χρόνον ὅσον ἂν ὦσιν. εἴρηται δ' ἡμῖν, οἶμαι, καὶ τοῦτο ἐν τοῖς πρόσθεν.

geratur, non potest quispiam recte honores singulis reddere. quomodo vero recte se habere civitas potest, si hoc ipso privata fuerit? *Cli.* Ferme impossibile. verumtamen, hospes, navale apud Salaminam Graecorum adversus barbaros proelium universam nos Cretenses Graeciam servasse putamus. *Athen.* Atqui multi istud tam Graecorum quam barbarorum affirmant. ego autem, o amice, et iste Megillus, pedestrem in Marathone et in Plataeis pugnam, alteram principium salutis, alteram finem fuisse, dicimus. et his quidem pugnis meliores Graecos factos fuisse, aliis non meliores: ut ita de proeliis, quibus tunc pariter servati sumus, dicamus. bello enim apud Salaminam gesto illud addo, quod in Artemisio commissum fuit maritimum. Verum spectantes nunc civilis disciplinae virtutem, et regionis naturam, et legum ordinem consideramus. non enim servari ac esse solum, hominibus summo in pretio habendum existimamus, ut vulgus putat: sed ut, quamdiu sunt, optimi sint. quod et in superioribus, ut arbitror, a nobis est dictum. *Cli.* Dictum plane. *Athen.*

ΚΛ. Τί μήν;

ΑΘ. Τοῦτο τοίνυν σκοπώμεθα μόνον, εἰ κατὰ τὴν αὐτὴν ὁδὸν ἐρχόμεθα βελτίστην οὖσαν πόλεσι κατοικίσεων πέρι καὶ νομοθεσιῶν.

ΚΛ. Καὶ πολύ γε.

ΑΘ. Λέγε δὴ τοίνυν τὸ τούτοις ἑξῆς, τίς ὁ κατοικιζόμενος ὑμῖν λεὼς ἔσαι; πότερον ἐξ ἁπάσης Κρήτης ὁ ἐθέλων, ὡς ὄχλου τινὸς ἐν ταῖς πόλεσιν ἑκάσαις γεγενημένου πλείονος ἢ κατὰ τὴν ἐκ τῆς γῆς τροφήν; οὐ γάρ που τὸν βουλόμενόν γε Ἑλλήνων συνάγετε. καί τοί τινας ὑμῖν ἔκ τε Ἄργους ὁρῶ καὶ Αἰγίνης καὶ 708 ἄλλοθεν τῶν Ἑλλήνων εἰς τὴν χώραν κατῳκισμένους. τὸ δὲ δὴ παρὸν ἡμῖν λέγε, πόθεν ἔσεσθαι φῂς σρατόπεδον τῶν πολιτῶν τὰ νῦν;

ΚΛ. Ἔκ τε Κρήτης ξυμπάσης ἔοικε γενήσεσθαι, καὶ τῶν ἄλλων δὲ Ἑλλήνων μάλιστά μοι φαίνονται τοὺς ἀπὸ Πελοποννήσου προσδέξεσθαι ξυνοίκους. καὶ γὰρ ὃ νῦν δὴ λέγεις, ἀληθὲς φράζεις, ὡς ἐξ Ἄργους εἰσί, καὶ τό γε μάλις' εὐδοκιμοῦν τὰ νῦν ἐνθάδε γένος, τὸ Γορτυνικόν· ἐκ Γόρτυνος γὰρ τυγχάνει ἀπῳκηκὸς ταύτης τῆς Πελοποννησιακῆς.

ΑΘ. Οὐ τοίνυν εὔκολος ὁμοίως γίγνοιτ' ἂν ὁ κατοικισμὸς ταῖς πόλεσιν, ὅταν μὴ τὸν τῶν ἑσμῶν

Id itaque tantum animadvertamus: si eandem ipsam agamus viam, quae civitatibus optima sit in constituenda habitatione legibusque ferendis. *Cli.* Mirum in modum. *Athen.* Dic ergo, quod sequitur, quae multitudo habitatura coloniam sit: utrum quicunque velint ex tota Creta; quasi magna in singulis civitatibus turba superfluat? an ad ipsius agri vires electi? non enim volentes ex Graecis omnes colligitis: etsi nonnullos video ex Argis et Aegina aliisque Graeciae partibus regionem hanc habitare. Sed in praesenti mihi dicas: unde futura sit vobis horum nunc civium multitudo. *Cli.* Ex universa Creta futuram existimo, et inter Graecos alios, qui ex Peloponneso venient, maxime, ut opinor, recipientur. quodve modo dicebas, verum est, ex Argis scilicet istos esse. Etenim quod maxime modo hic genus laudatur, Gortynicum est, quod ex ipsa Peloponnesiaca Gortyne huc migravit. *Athen.* Sed non facilis aequaliter civitatibus illa in unum habitatio solet fieri: quando examinium more non agitur, ut genus

γίγνηται τρόπον, ἓν γένος ἀπὸ μιᾶς ἰὸν χώρας οἰκίζηται, φίλον παρὰ φίλων, ξενοχωρίᾳ τινὶ πολιορκηθὲν γῆς ἢ τισιν ἄλλοις τοιούτοις παθήμασιν ἀναγκασθέν. ἔξι δ' ὅτε καὶ ξάσεσι βιαζόμενον ἀναγκάζοιτ' ἂν ἑτέρωσε ἀποξενοῦσθαι πόλεώς τι μόριον· ἤδη δέ ποτε καὶ ξυνάπασα πόλις τινῶν ἔφυγεν, ἄρδην κρείττονι κρατηθεῖσα πολέμῳ. ταῦτ' οὖν πάντ' ἐξὶ τῇ μὲν ῥᾴω κατοικίζεσθαί τε καὶ νομοθετεῖσθαι, τῇ δὲ χαλεπώτερα. τὸ μὲν γὰρ ἓν τι εἶναι γένος ὁμόφωνον καὶ ὁμόνομον ἔχει τινὰ φιλίαν, κοινωνὸν ἱερῶν ὂν καὶ τῶν τοιούτων πάντων, νόμους δ' ἑτέρους καὶ πολιτείας ἄλλας τῶν οἴκοθεν οὐκ εὐπετῶς ἀνέξεται, τὸ δ' ἐνίοτε πονηρίᾳ νόμων ἐξασιακὸς καὶ διὰ συνήθειαν ζητοῦν ἔτι χρῆσθαι τοῖς αὐτοῖς ἤθεσι, δι' ἃ καὶ πρότερον ἐφθάρη, χαλεπὸν τῷ κατοικίζοντι καὶ νομοθετοῦντι καὶ δυσπειθὲς γίγνεται· τὸ δ' αὖ παντοδαπὸν ἐς ταὐτὸ ξυνερρυηκὸς γένος ὑπακοῦσαι μέν τινων νόμιων καινῶν τάχα ἂν ἐθελήσειε μᾶλλον, τὸ δὲ συμπνεῦσαι καὶ καθά περ ἵππων ζεῦγος καθ' ἕνα εἰς ταὐτόν, τὸ λεγόμενον, ξυμφυσῆσαι χρόνου πολλοῦ καὶ παγχάλεπον. ἀλλ' ὅμως ἐξὶ νομοθεσία καὶ πόλεων οἰκισμοὶ πάντων τελεώτατον πρὸς ἀρετὴν ἀνδρῶν.

unum amicum inter se ab amicis veniens ex una quadam regione, aut agri angustiis pressum aut alia huiusmodi necessitate coactum, in aliena commigret. quandoque vero accidit, ut civitate seditionibus agitata, alio civium pars una secedat. Universa etiam civitas bello victa quandoque simul fugisse reperitur. haec autem omnia partim facilia sunt, ut nova in habitatione disponantur et legibus denuo positis gubernentur: partim etiam difficilia. nam quod genus unum est unius linguae earundemque legum, cum sacrorum et huiusmodi omnium communionem habeat, amicitia quidem inter se aliqua copulatur: sed leges alias gubernationisque modum a pristino discrepantem non facile suscipit. quod vero propter legum improbitatem seditionibus concitum fuit, cum primos illos propter consuetudinem, quibus corruptum est, mores desideret, durum se et inobediens gubernanti legesque ponenti affert. quod autem ex variis confluxit generibus, libentius fortasse novas leges audiet: sed arduum est omnino, et longo tempore indiget, ut conspirare, et tanquam sub uno iugo equi, unum idemque, ut dicitur, efflare possit. sed enim legum sanctio civitatisque constitutio est ad virorum virtutem omnium perfe-

ΚΛ. Εἰκός· ὅπῃ δ' αὖ βλέπων τοῦτ' εἴρηκας, φράζ' ἔτι σαφέστερον.

ΑΘ. Ὦ γαθέ, ἔοικα περὶ νομοθετῶν ἐπανιὼν καὶ σκοπῶν ἅμα ἐρεῖν τι καὶ φαῦλον· ἀλλ' ἐὰν πρὸς καιρόν τινα λέγωμεν, πρᾶγμα οὐδὲν γίγνοιτ' ἂν ἔτι. καί τοι τί ποτε δυσχεραίνω; σχεδὸν γάρ τοι πάντα οὕτως ἔοικ' ἔχειν τἀνθρώπινα.

ΚΛ. Τοῦ δὴ πέρι λέγεις;

ΑΘ. Ἔμελλον λέγειν ὡς οὐδεὶς ποτε ἀνθρώπων
709 οὐδὲν νομοθετεῖ, τύχαι δὲ καὶ ξυμφοραὶ παντοῖαι πί- 11
πτουσαι παντοίως νομοθετοῦσι τὰ πάντα ἡμῖν. ἦ γὰρ πόλεμός τις βιασάμενος ἀνέτρεψε πολιτείας καὶ μετέβαλε νόμους, ἢ πενίας χαλεπῆς ἀπορία· πολλὰ δὲ καὶ νόσοι ἀναγκάζουσι καινοτομεῖν λοιμῶν τε ἐμπεπτόντων, καὶ χρόνον ἐπὶ πολὺν ἐνιαυτῶν πολλῶν πολλάκις ἀκαιρία. ταῦτα δὴ πάντα προϊδών τις αἰτίσειεν ἂν εἰκότως ὃ περ ἐγὼ νῦν δή, τὸ θνητὸν μὲν μηδένα νομοθετεῖν μηδέν, τύχας δ' εἶναι σχεδὸν ἅπαντα τὰ ἀνθρώπινα πράγματα. τὸ δ' ἔτι περί τε ναυτιλίαν καὶ κυβερνητικὴν καὶ ἰατρικὴν καὶ στρατηγικὴν πάντα ταῦτ' εἰπόντα 2
δοκεῖν εὖ λέγειν· ἀλλὰ γὰρ ὁμοίως αὖ καὶ τόδε ἔτι λέγοντα εὖ λέγειν ἐν τοῖς αὐτοῖς τούτοις.

ΚΛ. Τὸ ποῖον;

ctissima. *Cli.* Probabile id quidem. sed clarius expone, bone vir, quorsum id dixeris. *Athen.* Dum et considerare legumlatores et laudare vellem, ad vile quid dictu videor lapsus. quod tamen, si opportune dicatur, nihil negotii dabit. quid ergo me turbat? Ita paene omnia humana se habere videntur? *Cli.* Qua de re dicis? *Athen.* Dicturus eram nullum unquam hominum aliquid lege sancire, sed fortunas casusque varios incidentes leges nobis per omnia ferre. aut enim imminentis violentia belli priorem pervertit rem publicam legesque mutat: aut summa quaedam penuria. morbi quoque multa innovare compellunt: pestis etiam diutina, multorumque annorum incommoda et importuna tempestas. haec si quis animadvertet, non verebitur idem, quod ego nunc, exclamare, mortalium neminem leges condere, sed humana omnia fortunis agi. quod si quis in navigatione, gubernatione, medicina, militari imperio affirmaverit, recte videbitur dicere. sed rursus et istud similiter de iis ipsis bene dicitur. *Cli.* Quid-

ΑΘ. Ὡς θεὸς μὲν πάντα καὶ μετὰ θεοῦ τύχη καὶ καιρὸς τἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. ἡμερώτερον μὴν τρίτον ξυγχωρῆσαι τούτοις δεῖν ἕπεσθαι τέχνην· καιρῷ γὰρ χειμῶνος ξυλλαβέσθαι κυβερνητικὴν ἢ μή, μέγα πλεονέκτημα ἔγωγ' ἂν θείην. ἢ πῶς;

ΚΛ. Οὕτως.

ΑΘ. Οὐκοῦν καὶ τοῖς ἄλλοις ὡσαύτως κατὰ τὸν αὐτὸν ἂν ἔχοι λόγον; καὶ δὴ καὶ νομοθεσίᾳ ταὐτὸν τοῦτο δοτέον· τῶν ἄλλων ξυμπιπτόντων ὅσα δεῖ χώρᾳ ξυντυχεῖν, εἰ μέλλει ποτὲ εὐδαιμόνως οἰκήσειν, τὸν νομοθέτην ἀληθείας ἐχόμενον τῇ τοιαύτῃ παραπεσεῖν ἑκάστοτε πόλει δεῖν.

ΚΛ. Ἀληθέστατα λέγεις.

ΑΘ. Οὐκοῦν ὅ γε πρὸς ἕκαστόν τι τῶν εἰρημένων ἔχων τὴν τέχνην κἂν εὔξασθαί που δύναιτο ὀρθῶς, τί παρὸν αὐτῷ διὰ τύχης τῆς τέχνης ἂν μόνον ἐπιδέοι;

ΚΛ. Ἱάνυ μὲν οὖν.

ΑΘ. Οἵ τε ἄλλοι γε δὴ πάντες οἱ νῦν δὴ ῥηθέντες κελευόμενοι τὴν αὑτῶν εὐχὴν εἰπεῖν εἴποιεν ἄν. ἦ γάρ;

ΚΛ. Τί μήν;

ΑΘ. Ταὐτὸν δὴ καὶ νομοθέτης, οἶμαι, δράσειεν.

ΚΛ. Ἔγωγ' οἶμαι.

ΑΘ. Φέρε δή, νομοθέτα, πρὸς αὐτὸν φῶμεν, τί

nam? *Athen.* Deum quidem omnia, et fortunam opportunitatemque simul cum Deo cuncta humana gubernare, mitius tamen concedendum tertium, superiora artem videlicet sequi. tempestate enim imminente multum interesse arbitror, gubernatoriam habeas artem necne, an quomodo dicendum? *Cli.* Ita prorsus. *Athen.* Nonne et in aliis eadem ratio? atqui et legumlationi idem est tribuendum, ut concurrentibus aliis, quaecunque ad felicem regionis habitationem conducunt, legislator veritatis compos civitati ipsi non desit. *Cli.* Vera loqueris. *Athen.* Nonne qui in singulis illorum artem habet, precari poterit, ut aliquid a fortuna sibi feliciter adsit, nec alia re praeterquam artificio opus sit? *Cli.* Valde. *Athen.* Ceteri quoque omnes, quos modo diximus, si quis quaesierit, suas preces votaque aperient. an non? *Cli.* Plane. *Athen.* Idem et legislator, ut arbitror, faciet. *Cli.* Sic puto. *Athen.* Age itaque, sic eum interrogemus: O legisla-

σοι καὶ πῶς πόλιν ἔχουσαν δῶμεν, ὃ λαβὼν ἕξεις ὥστ' ἐκ τῶν λοιπῶν αὐτὸς τὴν πόλιν ἱκανῶς διοικῆσαι; Τί μετὰ τοῦτ' εἰπεῖν ὀρθῶς ἔχειν; ἆρα τοῦ νομοθέτου φράζωμεν τοῦτο; ἦ γάρ;

ΚΛ. Ναί.

ΑΘ. Τόδε. τυραννουμένην μοι δότε τὴν πόλιν, φήσει· τύραννος δ' ἔχω νέος μνήμων καὶ εὐμαθὴς καὶ ἀνδρεῖος καὶ μεγαλοπρεπὴς φύσει. ὃ δὲ καὶ ἐν τοῖς πρόσθεν ἐλέγομεν δεῖν ἕπεσθαι ξύμπασι τοῖς τῆς ἀρετῆς μέρεσι, καὶ νῦν τῇ τυραννουμένῃ ψυχῇ τοῦτο ξυν- 10
7 10 επέσθω, ἐὰν μέλλῃ τῶν ἄλλων ὑπαρχόντων ὄφελος εἶναί τι.

ΚΛ. Σωφροσύνην μοι δοκεῖ φράζειν, ὦ Μέγιλλε, δεῖν εἶναι τὴν ξυνεπομένην ὁ ξένος. ἦ γάρ;

ΑΘ. Τὴν δημώδη γε, ὦ Κλεινία, καὶ οὐχ ἣν τις σεμνύνων ἂν λέγοι, φρόνησιν προσαναγκάζων εἶναι τὸ σωφρονεῖν, ἀλλ' ὃ περ εὐθὺς παισὶ καὶ θηρίοις, τοῖς μὲν ἀκρατῶς ἔχειν πρὸς τὰς ἡδονάς, ξύμφυτον ἐπανθεῖ, τοῖς δὲ ἐγκρατῶς· ὃ καὶ μονούμενον ἔφαμεν τῶν πολλῶν ἀγαθῶν λεγομένων οὐκ ἄξιον εἶναι λόγου. ἔχετε 20
γὰρ ὃ λέγω που.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Ταύτην τοίνυν ἡμῖν ὁ τύραννος τὴν φύσιν

tor, qualem tibi civitatem tradi desideras, ut ipse ex reliquis postea sufficienter eam disponere possis? quid recte deinde dicetur? an legumlatoris responsio afferri debet? *Cli.* Utique. *Athen.* Tyrannidi subiectam mihi tradite civitatem, dicet. tyrannus autem iuvenis sit, memoriosus, acutus, fortis naturaque magnificus. et quod in superioribus omnes virtutis partes sequi debere dicebamus, id animo quoque tyrannico insit, si quid modo cetera profutura sint. *Cli.* Temperantiam mihi videtur hospes, o Megille, dicere tyranni animo inesse oportere. nonne? *Athen.* Popularem, o Clinia, dico: non temperantiam illam, quam extollens aliquis prudentiam appellandam esse monstraret; sed eam ipsam affectionem, quae in bestiis et pueris illico apparet innata, ut alii ad voluptatem proniores, continentiores alii nati esse videantur. quam quidem continentiam, a bonis aliis separatam, parvi faciendam esse duximus. Tenetis, quod dico? *Cli.* Maxime. *Athen.* Hanc ergo naturam ad superiores illas naturae

ἐχέτω πρὸς ἐκείναις ταῖς φύσεσιν, εἰ μέλλει πόλις ὡς δυνατόν ἐστι τάχιστα καὶ ἄριστα σχήσειν πολιτείαν ἣν λαβοῦσα εὐδαιμονέστατα διάξει. θάττων γὰρ ταύτης καὶ ἀμείνων πολιτείας διάθεσις οὔτ' ἔστιν οὔτ' ἄν ποτε γένοιτο.

ΚΛ. Πῶς δὴ καὶ τίνι λόγῳ τοῦτο, ὦ ξένε, λέγων ἄν τις ὀρθῶς λέγειν αὐτὸν πείθοι;

ΑΘ. Ῥᾴδιόν που τοῦτό γε νοεῖν ἐστ', ὦ Κλεινία, κατὰ φύσιν ὡς ἔστι τοῦθ' οὕτως.

ΚΛ. Πῶς λέγεις; εἰ τύραννος γένοιτο, φῄς, νέος, σώφρων, εὐμαθής, μνήμων, ἀνδρεῖος, μεγαλοπρεπής;

ΑΘ. Εὐτυχής, πρόσθεν; μὴ κατ' ἄλλο, ἀλλὰ τὸ γενέσθαι τε ἐπ' αὐτοῦ νομοθέτην ἄξιον ἐπαίνου καί τινα τύχην εἰς ταὐτὸν ἀγαγεῖν αὐτῷ. γενομένου γὰρ τούτου πάντα σχεδὸν ἀπείργασαι τῷ θεῷ, ἃ περ ὅταν βουληθῇ διαφερόντως εὖ πρᾶξαί τινα πόλιν. δεύτερον δέ, ἐάν ποτέ τινες δύο ἄρχοντες γένωνται τοιοῦτοι, τρίτον δ' αὖ καὶ κατὰ λόγον ὡσαύτως χαλεπώτερον, ὅσῳ πλείους· ὅσῳ δ' ἐναντίον, ἐναντίως.

ΚΛ. Ἐκ τυραννίδος ἀρίστην φῂς γενέσθαι πόλιν ἄν, ὡς φαίνει, μετὰ νομοθέτου γε ἄκρου καὶ τυράννου κοσμίου, καὶ ῥᾷστά τε καὶ τάχιστ' ἂν μεταβαλεῖν εἰς

qualitates tyrannus habeat, si debet civitas celerrime et optime, prout possibile est, eam gubernationem assequi, qua felicissime vivat. nulla enim velocior, nulla melior dispositio civitatis aut est aut esse potest. *Cli.* Quomodo vero et qua ratione, hospes, id asserens aliquis recte dici sibi quispiam suadebit? *Athen.* Facile intellectu est, o Clinia, hoc ita natura esse. *Cli.* Quid ais? nunquid esse illud asseris, si tyrannus iuvenis sit, temperatus, ingeniique acumine et memoria pollens, fortis, magnificus atque felix? *Athen.* Adde nihil aliud, nisi ut tempore suo laude dignus legislator reperiatur, et fortuna quaedam eos in idem conducat. hoc enim si accesserit, omnia ferme Deus dederit, quae dare solet, quotiens civitatem aliquam felicem maxime vult fore. deinde, si duo tales principes sint: tertio loco, si tres: et successionis eadem ratione servata eo difficilius, quo plures; atque contra, qua pauciores, eo facilius. *Cli.* Ex tyrannide optimam fieri rempublicam affirmare videris; cum summo certe legislatore modestoque tyranno facilime et celerrime ex illa in hanc muta-

τοῦτο ἐκ τοῦ τοιούτου, δεύτερον δὲ ἐξ ὀλιγαρχίας. ἢ πῶς λέγεις; καὶ τὸ τρίτον ἐκ δημοκρατίας.

ΑΘ. Οὐδαμῶς, ἀλλ' ἐκ τυραννίδος μὲν πρῶτον, δεύτερον δὲ ἐκ βασιλικῆς πολιτείας, τρίτον δὲ ἔκ τινος δημοκρατίας· τὸ δὲ τέταρτον, ὀλιγαρχία τὴν τοῦ τοιούτου γένεσιν χαλεπώτατα δύναιτ' ἂν προσδέξασθαι· πλεῖστοι γὰρ ἐν αὐτῇ δυνάσαι γίγνονται. λέγομεν δὴ ταῦτα γίγνεσθαι τότε ὅταν ἀληθὴς μὲν νομοθέτης γένηται φύσει, κοινὴ δὲ αὐτῷ τις ξυμβῇ ῥώμη πρὸς τοὺς
11 ἐν τῇ πόλει μέγιστον δυναμένους. οὗ δ' ἂν τοῦτο ἀριθμῷ μὲν βραχύτατον, ἰσχυρότατον δέ, καθά περ ἐν τυραννίδι, γένηται, ταύτῃ καὶ τότε τάχος καὶ ῥᾳστώνη τῆς μεταβολῆς γίγνεσθαι φιλεῖ.

ΚΛ. Πῶς; οὐ γὰρ μανθάνομεν.

ΑΘ. Καὶ μὴν εἴρηταί γ' ἡμῖν οὐχ ἅπαξ ἀλλ', οἶμαι, πολλάκις. ὑμεῖς δὲ τάχα οὐδὲ τεθέασθε τυραννουμένην πόλιν.

ΚΛ. Οὐδέ γε ἐπιθυμητὴς ἔγωγ' εἰμὶ τοῦ θεάματος.

ΑΘ. Καὶ μὴν τοῦτό γ' ἂν ἴδοις ἐν αὐτῇ τὸ νῦν δὴ λεγόμενον.

ΚΛ. Τὸ ποῖον;

ΑΘ. Οὐδὲν δεῖ πόνων οὐδὲ τινος παμπόλλου

tionem fieri: secundo, ex paucorum potentia: tertio, ex populari. an non ita? *Athen.* Minime: sed ex tyrannide primo: deinde ex regia gubernatione: tertio ex quadam populari potentia: postremo paucorum potentia optimae reipublicae generationem difficillime suscipit. plurimi enim in ipsa potentes sunt. tunc vero haec fieri dicimus, cum verus natura legum conditor invenitur, et ei potentia quaedam communis cum illis contingit, qui plurimum in civitate possunt. ubi autem paucissimi quidem numero sunt, potentia vero summi, quod tyrannidi accidit, ibi celer et facilis fieri mutatio solet. *Cli.* Quo pacto? non enim intelligimus. *Athen.* At vero non semel id a nobis, sed saepius, ut opinor, est dictum. vos autem fortasse civitatem tyrannide pressam nunquam vidistis. *Cli.* Ego quidem videre eam minime cupio. *Athen.* Atqui quod modo diximus, in ea inspicies. *Cli.* Quidnam? *Athen.* Quod non multo labore nec longo tempore

χρόνου τῷ τυράννῳ μεταβαλεῖν βουληθέντι πόλεως ἦθη, πορεύεσθαι δὲ αὐτὸν δεῖ πρῶτον ταύτῃ ὅπῃ περ ἂν ἐθελήσῃ, ἐάν τε πρὸς ἀρετῆς ἐπιτηδεύματα προτρέπεσθαι τοὺς πολίτας ἐάν τε ἐπὶ τοὐναντίον, αὐτὸν πρῶτον πάντα ὑπογράφοντά τῷ πράττειν, τὰ μὲν ἐπαινοῦντα καὶ τιμῶντα, τὰ δ' αὖ πρὸς ψόγον ἄγοντα, καὶ τὸν μὴ πειθόμενον ἀτιμάζοντα καθ' ἑκάσας τῶν πράξεων.

ΚΛ. Καὶ πῶς οἰώμεθα ταχὺ ξυνακολουθήσειν τοὺς ἄλλους πολίτας τῷ τὴν τοιαύτην πειθὼ καὶ ἅμα βίαν εἰληφότι;

ΑΘ. Μηδεὶς ἡμᾶς πειθέτω, ὦ φίλοι, ἄλλῃ θᾶττον καὶ ῥᾷον μεταβάλλειν ἄν ποτε πόλιν τοὺς νόμους ἢ τῇ τῶν δυναζευόντων ἡγεμονίᾳ, μηδὲ νῦν γε ἄλλῃ γίγνεσθαι μηδ' αὖθίς ποτε γενήσεσθαι. καὶ γὰρ οὖν ἡμῖν οὐ τοῦτ' ἐξὶν ἀδύνατον οὐδὲ χαλεπῶς ἂν γενόμενον, ἀλλὰ τόδ' ἐξὶ τὸ χαλεπὸν γενέσθαι, καὶ ὀλίγον δὴ τὸ γεγονὸς ἐν τῷ πολλῷ χρόνῳ· ὅταν δὲ ξυμβῇ, μυρία καὶ πάντ' ἐν πόλει ἀγαθὰ ἀπεργάζεται, ἐν ᾗ ποτ' ἂν ἐγγένηται.

ΚΛ. Τὸ ποῖον δὴ λέγεις;

ΑΘ. Ὅταν ἔρως θεῖος τῶν σωφρόνων τε καὶ δικαίων ἐπιτηδευμάτων ἐγγένηται μεγάλαις τισὶ δυνα-

tyranno opus sit, civitatis mores mutare volenti. nam sive ad virtutis officia sive contra cives perducere velit, ipse primus viam, per quam sequantur ceteri, ingrediatur oportet, omniaque in se ipso primum expressa praescribat agendo: alia quidem laudans atque honorans, alia vero vituperans, et eos, qui non obediunt in singulis actionibus, semper dedecorans. *Cli.* Quomodo vero ubique magnum quid aut arduum existimabimus, ut cives eum statim sequantur, qui ita suadet et cogit? *Athen.* Nemo nobis persuadeat, o amici, aliter unquam citius et facilius, quam principum exemplo, leges in civitate mutari. neque aliter ocius aut fieri nunc existimetis aut futuram. profecto hoc nobis neque impossibile est neque factu difficile. sed illud difficile factu est, raroque longo in tempore factum: quod si quando contigerit, innumera civitati, cui eveniet, et immensa bona efficiet. *Cli.* Quid illud? *Athen.* Si quando divinus amor temperate iusteque agendi magnae potentiae innascatur, quae aut in unius sita sit potestate,

ξείαις, ἢ κατὰ μοναρχίαν δυναξενούσαις ἢ κατὰ πλούτων ὑπεροχὰς διαφερούσαις ἢ γενῶν· ἢ τὴν Νέξορος ἐάν ποτέ τις ἐπανενέγκῃ φύσιν, ὃν τῇ τοῦ λέγειν ῥώμῃ φασὶ πάντων διενεγκόντα ἀνθρώπων πλέον ἔτι τῷ σωφρονεῖν διαφέρειν, τοῦτ' οὖν ἐπὶ μὲν Τροίας, ὥς φασι, γέγονεν, ἐφ' ἡμῶν δὲ οὐδαμῶς· εἰ δ' οὖν γέγονεν ἢ καὶ γενήσεται τοιοῦτος ἢ νῦν ἡμῶν ἔξι τις, μακαρίως μὲν αὐτὸς ζῇ, μακάριοι δὲ οἱ ξυνήκοοι τῶν ἐκ τοῦ σωφρονοῦντος στόματος ἰόντων λόγων. ὡσαύτως δὲ καὶ ξυμπάσης δυνάμεως ὁ αὐτὸς περὶ λόγος, ὡς ὅταν εἰς 10
712 ταὐτὸν τῷ φρονεῖν τε καὶ σωφρονεῖν ἡ μεγίστη δύναμις ἐν ἀνθρώπῳ ξυμπέσῃ, τότε πολιτείας τῆς ἀρίστης καὶ νόμων τῶν τοιούτων φύεται γένεσις, ἄλλως δὲ οὐ μή ποτε γένηται. ταῦτα μὲν οὖν καθαπερεὶ μῦθός τις λεχθεὶς κεχρησμῳδήσθω, καὶ ἐπιδεδείχθω τῇ μὲν χαλεπὸν ὂν τὸ πόλιν εὖνομεν γίγνεσθαι, τῇ δ', εἴ περ γένοιτο ὃ λέγομεν, πάντων τάχιστόν τε καὶ ῥᾷστον μακρῷ.

ΚΛ. Πῶς;

ΑΘ. Πειρώμεθα προσαρμόττοντες τῇ πόλει σοι, κα- 20
θά περ παῖδα πρεσβῦται, πλάττειν τῷ λόγῳ τοὺς νόμους.

ΚΛ. Ἴωμεν δὴ καὶ μὴ μέλλωμεν ἔτι.

aut in plurium principatu divitiis vel nobilitate generis excellentium: aut si quando naturam Nestoris quis reduxerit, quem et dicendi facundia et temperantia vitae multo magis omnibus excelluisse ferunt: qualis quidem vir Troiae temporibus fuisse dicitur, nostris autem minime: si, inquam talis quandoque vir fuit aut erit aut nunc inter nos est aliquis, et ipse beate vivit, et illi quoque beati sunt, qui fluentia ex ore modesto audiunt verba. eadem quoque de universa potentia ratio est, quod videlicet, cum in eodem homine bene cum prudentia et temperantia simul potentia summa convenerit. tunc demum gubernationis optimae optimarumque legum elucebit origo: aliter autem nunquam. verum haec, tanquam fabula quaedam, oraculorum ritu dicta sint: ostensumque sit partim difficile esse, civitatem bonis fundari legibus; partim vero, si contigerit id, quod diximus, longe omnium facillimum et brevissimi temporis opus. *Cli.* Quo pacto? *Athen.* Sed conemur iam civitati tuae rem omnem accommodantes, tanquam seniores pueris, leges oratione confingere. *Cli.* Ag-

ΑΘ. Θεὸν δὴ πρὸς τὴν τῆς πόλεως κατασκευὴν ἐπικαλώμεθα· ὁ δὲ ἀκούσειέ τε καὶ ἀκούσας ἵλεως εὐμενής τε ἡμῖν ἔλθοι συνδιακοσμήσων τήν τε πόλιν καὶ τοὺς νόμους.

ΚΛ. Ἔλθοι γὰρ οὖν.

ΑΘ. Ἀλλὰ τίνα δή ποτε πολιτείαν ἔχομεν ἐν νῷ τῇ πόλει προστάττειν;

ΚΛ. Οἷον δὴ τί λέγειν βουληθεὶς φράζ' ἔτι σαφέστερον· οἷον δημοκρατίαν τινὰ ἢ ὀλιγαρχίαν ἢ ἀριστοκρατίαν ἢ βασιλικήν. οὐ γὰρ δὴ τυραννίδα γέ που λέγοις ἄν, ὥς γ' ἡμεῖς ἂν οἰηθεῖμεν.

ΑΘ. Φέρε δὴ τοίνυν, πότερος ὑμῶν ἀποκρίνασθαι πρότερος ἂν ἐθέλοι τὴν οἵκοι πολιτείαν εἰπών, τίς τούτων ἐστίν;

ΜΕ. Μῶν οὖν τὸν πρεσβύτερον ἐμὲ δικαιότερον εἰπεῖν πρότερον;

ΚΛ. Ἴσως.

ΜΕ. Καὶ μὴν ξυννοῶν γε, ὦ ξένε, τὴν ἐν Λακεδαίμονι πολιτείαν οὐκ ἔχω σοι φράζειν οὕτως ἥν τινα προσαγορεύειν αὐτὴν δεῖ. καὶ γὰρ τυραννίδι δοκεῖ μοι προσεοικέναι· τὸ γὰρ τῶν ἐφόρων θαυμαστὸν ὡς τυραννικὸν ἐν αὐτῇ γέγονε. καί τοι ἐνίοτέ μοι φαίνεται πασῶν τῶν πόλεων δημοκρατουμένῃ μάλιστ' ἐοι-

grediamur iam id sine mora. *Athen.* Deum inprimis ad civitatis constitutionem invocemus. qui utinam audiat, exaudiensque propitius et benignus nobis adveniat, una nobiscum civitatem et leges exornaturus! *Cli.* Veniat, opto. *Athen.* Sed qualemnam disciplinam civitati tradere volumus? *Cli.* Declara, si placet, quid dicere velis: utrum populi potestatem, vel paucorum, vel optimatum, vel regnum. neque enim tyrannidem te dicere arbitramur. *Athen.* Age iam, uter vestrum prior mihi respondere vult, quaenam ex his suae patriae res publica est? *Meg.* Num par est, quia senior sum, ut ipse prior respondeam? *Cli.* Forte. *Meg.* Cum Lacedaemonicam, hospes, rempublicam mente revolvo, non facile tibi possum dicere, quomodo sit appellanda. etenim tyrannidi similis esse videtur. nam Ephororum potestas mirum in modum ibi tyrannica. nonnunquam tamen prae ceteris civitatibus populari gubernationi apparet simillima. negare autem

κέναι. τὸ δ' αὖ μὴ φάναι ἀριστοκρατίαν αὐτὴν εἶναι παντάπασιν ἄτοπον. καὶ μὲν δὴ βασιλείαν γε διὰ βίου τ' ἐστὶν ἐν αὐτῇ καὶ ἀρχαιοτάτη πασῶν καὶ πρὸς πάντων ἀνθρώπων καὶ ἡμῶν αὐτῶν λεγομένη. ἐγὼ δὲ οὕτω νῦν ἐξαίφνης ἂν ἐρωτηθεὶς ὄντως, ὃ περ εἶπον, οὐκ ἔχω διορισάμενος εἰπεῖν τίς τούτων ἐστὶ τῶν πολιτειῶν.

ΚΛ. Ταὐτόν σοι πάθος, ὦ Μέγιλλε, καταφαίνομαι πεπονθέναι· πάνυ γὰρ ἀπορῶ τὴν ἐν Κνωσῷ πολιτείαν τούτων τινὰ διισχυριζόμενος εἰπεῖν.

ΑΘ. Οὕτως γάρ, ὦ ἄριστοι, πολιτειῶν μετέχετε· ἃς δὲ ὠνομάκαμεν νῦν, οὐκ εἰσὶ πολιτεῖαι, πόλεων δὲ οἰκήσεις δεσποζομένων τε καὶ δουλευουσῶν μέρεσιν
713 *ἑαυτῶν τισί, τὸ τοῦ δεσπότου δὲ ἑκάστη προσαγορεύεται κράτος. χρῆν δ' εἴ περ τοῦ τοιούτου τὴν πόλιν ἔδει ἐπονομάζεσθαι, τὸ τοῦ ἀληθῶς τῶν νοῦν ἐχόντων δεσπόζοντος θεοῦ ὄνομα λέγεσθαι.*

ΚΛ. Τίς δ' ὁ θεός;

ΑΘ. Ἆρ' οὖν μύθῳ σμικρά γ' ἔτι προσχρηστέον, εἰ μέλλομεν ἐμμελῶς πως δηλῶσαι τὸ νῦν ἐρωτώμενον; οὐκοῦν χρὴ ταύτῃ δρᾶν;

ΚΛ. Πάνυ μὲν οὖν.

eam esse optimatum rempublicum, omnino absurdum. regnum quoque in ea perpetuum, quod omnium antiquissimum tam a ceteris hominibus quam a nobis ipsis esse dicitur. quare ita subito interrogatus revera, ut dicebam, non possum in praesentia tibi distincte, quae illarum sit, respondere. *Cli.* Mihi quoque, Megille, perinde ac tibi contigisse videtur. nescio enim, quam illarum potissimum Gnosiam esse affirmem rempublicam. *Athen.* Verae enim, o viri optimi, reipublicae vos participes estis, quae autem modo nominatae sunt, non respublicae, sed urbium habitationes quaedam sunt: in quibus pars una servit alteri dominanti, et a partis dominantis potentia tota nomen accipit gubernatio. oportebat autem, si hoc modo nominanda sit civitas, Dei ipsius nomine nuncupari, qui illorum, qui mentis compotes sunt, verus est dominus. *Cli.* Quis autem iste Deus? *Athen.* An fabula paulisper utendum, si volumus commode, quod modo quaesitum est, declarare? an non sic faciundum? *Cli.* Sic omnino.

ΑΘ. Τῶν γὰρ δὴ πόλεων ὧν ἔμπροσθε τὰς ξυνοικήσεις διήλθομεν, ἔτι προτέρα τούτων πάμπολυ λέγεταί τις ἀρχή τε καὶ οἴκησις γεγονέναι ἐπὶ Κρόνου μάλ' εὐδαίμων, ἧς μίμημα ἔχουσά ἐστιν ἥ τις τῶν νῦν ἄρισα οἰκεῖται.

ΜΕ. Σφόδρ' ἄν, ὡς ἔοικ', εἴη περὶ αὐτῆς δέον ἀκούειν.

ΑΘ. Ἐμοὶ γοῦν φαίνεται· διὸ καὶ παρήγαγον αὐτὴν εἰς τὸ μέσον τοῖς λόγοις.

ΜΕ. Ὀρθότατά γε δρῶν· καὶ τόν γε ἑξῆς περαίνων ἂν μῦθον, ἧ περ προσῆκόν ἐστι, μάλ' ὀρθῶς ἂν ποιοίης.

ΑΘ. Δραξέον ὡς λέγετε. φήμην τοίνυν παραδεδέγμεθα τῆς τῶν τότε μακαρίας ζωῆς, ὡς ἄφθονά τε καὶ αὐτόματα πάντα εἶχεν. ἡ δὲ τούτων αἰτία λέγεται τοιάδε τις· γιγνώσκων ὁ Κρόνος ἄρα, καθά περ ἡμεῖς διεληλύθαμεν, ὡς ἀνθρωπεία φύσις οὐδεμία ἱκανὴ τὰ ἀνθρώπινα διοικοῦσα αὐτοκράτωρ πάντα μὴ οὐχ ὕβρεώς τε καὶ ἀδικίας μεσοῦσθαι, ταῦτ' οὖν διανοούμενος ἐφίσῃ βασιλέας γε καὶ ἄρχοντας ταῖς πόλεσιν ἡμῶν οὐκ ἀνθρώπους, ἀλλὰ γένους θειοτέρου τε καὶ ἀμείνονος, δαίμονας, οἷον νῦν ἡμεῖς δρῶμεν τοῖς ποιμνίοισι καὶ

Athen. Multo ante habitationes urbium, de quibus in superioribus facta nobis mentio est, principatus quidam et gubernatio sub Saturno valde felix fuisse dicitur: cuius imitationem quandam habet, quae nunc ab optimatibus gubernatur. *Cli.* Attentius ergo de ipsa, ut videtur, est audiendum. *Athen.* Mihi quidem ita videtur, propterea que in medium modo produxi. *Meg.* Recte tu quidem: ac probe facies, si sequentem fabulam, quatenus convenit, exposueris. *Athen.* Faciam, ut dicitis. fama profecto beatae illius vitae ad nos usque pervenit, copiosa ipsam omnia suaque sponte parata habuisse. cuius rei causa fuisse haec traditur. cum intelligeret Saturnus, quemadmodum ipsi narravimus, nullam hominis naturam res humanas ita gubernare posse, ut si omnibus arbitratu suo dominetur, lasciviori superbia iniustitiaque non repleatur: cum haec, inquam, non ignoraret, non homines sed divinioris praestantiorisque generis daemones civitatibus nostris reges principesque praefecit: quod nunc nos in ovium gregibus aliorumque cicurum armentis facimus. non enim bobus

ὅσων ἥμεροί εἰσιν ἀγέλαι· οὐ βοῦς βοῶν οὐδὲ αἶγας αἰγῶν ἄρχοντας ποιοῦμεν αὐτοῖσί τινας, ἀλλ' ἡμεῖς αὐτῶν δεσπόζομεν, ἄμεινον ἐκείνων γένος. ταὐτὸν δὴ καὶ ὁ θεὸς ἄρα καὶ φιλάνθρωπος ὢν τὸ γένος ἄμεινον ἡμῶν ἐφίζῃ τὸ τῶν δαιμόνων, ὃ διὰ πολλῆς μὲν αὐτοῖς ῥᾳστώνης, πολλῆς δ' ἡμῖν ἐπιμελούμενον ἡμῶν, εἰρήνην τε καὶ αἰδῶ καὶ εὐνομίαν καὶ ἀφθονίαν δίκης παρεχόμενον, ἀξασίαξα καὶ εὐδαίμονα τὰ τῶν ἀνθρώπων ἀπειργάζετο γένη. λέγει δὴ καὶ νῦν οὗτος ὁ λόγος ἀληθείᾳ χρώμενος, ὡς ὅσων ἂν πόλεων μὴ θεὸς ἀλλά τις ἄρχῃ θνητός, οὐκ ἔξι κακῶν αὐτοῖς οὐδὲ πόνων ἀνάφυξις· ἀλλὰ μιμεῖσθαι δεῖν ἡμᾶς οἴεται πάσῃ μηχανῇ τὸν ἐπὶ τοῦ Κρόνου λεγόμενον βίον, καὶ ὅσον ἐν ἡμῖν ἀθανασίας ἔνεξι, τούτῳ πειθομένους δημοσίᾳ καὶ ἰδίᾳ τάς τ' οἰκήσεις καὶ τὰς πόλεις διοικεῖν, τὴν
714 τοῦ νοῦ διανομὴν ἐπονομάζοντας νόμον. εἰ δ' ἄνθρωπος εἷς ἢ ὀλιγαρχία τις ἢ καὶ δημοκρατία ψυχὴν ἔχουσα ἡδονῶν καὶ ἐπιθυμιῶν ὀρεγομένην καὶ πληροῦσθαι τούτων δεομένην, ξέγουσαν δὲ οὐδὲν ἀλλ' ἀνηνύτῳ καὶ ἀπλήξῳ κακῷ νοσήματι ξυνεχομένην, ἄρξει δὴ πόλεως ἤ τινος ἰδιώτου καταπατήσας ὁ τοιοῦτος τοὺς νόμους, ὃ νῦν δὴ ἐλέγομεν, οὐκ ἔξι σωτηρίας μηχανή.

boves, nec capris capras praeficimus, sed nos ipsis, genus melius, dominamur. similiter Deus, homines amans, genus daemonum generi nostro praestantius nobis praefecit. quod summa tam sua quam nostra facilitate nostrarum rerum curam habebat, pacemque et pudicitiam, libertatem et iustitiae copiam praebens, procul a seditione ac felix hominum reddebat genus. hic utique sermo veritate usus asserit, civitatibus omnibus, quibus non Deus sed mortalis aliquis dominetur, nullam unquam malorum laborumque forte quietem: sed omni studio imitari nos iubet vitam, quae sub Saturno fuit, et quantum in nobis est immortalitatis, ipsi obtemperantes, privatim at publice domos civitatesque gubernare, ipsam mentis distributionem legem nuncupantes. nam si homo unus aut paucorum aut etiam populi potestas voluptati et cupiditati deditum animum habeat, hisque repleri desideret, cumque id minime assequatur, inexplebili inexstinguibilique ardore et insanabili morbo vexetur, dominetur autem civitati aut privatis nonnullis: statim spretis legibus non est, ut modo dicebamus,

σκοπεῖν δὴ δεῖ τοῦτον τὸν λόγον ἡμᾶς, ὦ Κλεινία, πότερον αὐτῷ πεισόμεθα ἢ πῶς δράσομεν.

ΚΛ. Ἀνάγκη δή που πείθεσθαι.

ΑΘ. Ἐννοεῖς οὖν ὅτι νόμων εἴδη τινὲς φασιν εἶναι τοσαῦτα ὅσα περ πολιτειῶν, πολιτειῶν δὲ ἄρτι διεληλύθαμεν ὅσα λέγουσιν οἱ πολλοί. μὴ δὴ φαύλου πέρι νομίσῃς εἶναι τὴν νῦν ἀμφισβήτησιν, περὶ δὲ τοῦ μεγίστου· τὸ γὰρ δίκαιον καὶ τὸ ἄδικον οἷ χρὴ βλέπειν, πάλιν ἡμῖν ἀμφισβητούμενον ἐλήλυθεν. οὔτε γὰρ πρὸς τὸν πόλεμον οὔτε πρὸς ἀρετὴν ὅλην βλέπειν δεῖν φασὶ τοὺς νόμους, ἀλλ' ἥ τις ἂν καθεστηκυῖα ᾖ πολιτεία, ταύτῃ δεῖν τὸ ξυμφέρον, ὅπως ἄρξει τε ἀεὶ καὶ μὴ καταλυθήσεται, καὶ τὸν φύσει ὅρον τοῦ δικαίου λέγεσθαι κάλλιστ' οὕτως.

ΚΛ. Πῶς;

ΑΘ. Ὅτι τὸ τοῦ κρείττονος συμφέρον ἐστίν.

ΚΛ. Λέγ' ἔτι σαφέστερον.

ΑΘ. Ὧδε. τίθεται δή που, φασί, τοὺς νόμους ἐν τῇ πόλει ἑκάστοτε τὸ κρατοῦν. ἦ γάρ;

ΚΛ. Ἀληθῆ λέγεις.

ΑΘ. Ἆρ' οὖν οἴει, φάσί, ποτὲ δῆμον νικήσαντα ἢ τινα πολιτείαν ἄλλην ἢ καὶ τύραννον θήσεσθαι

spes ulla salutis. Considerare decet, o Clinia, utrum huic rationi credendum sit, an aliter faciendum. *Cli.* Necesse est, ut credamus. *Athen.* Perspicis tot legum species, quot et gubernationum, a quibusdam existimari. Gubernationum vero species quot multi ponunt, paulo ante narravimus. neque de re vili nunc, sed de maxima, nobis esse quaestionem existimes. nam quo iustum et iniustum respicere debeat, rursus in ambiguitatem incidit. nec enim ad bellum, nec ad omnem virtutem referri leges debere aiunt: sed ad illud potius, quod constitutae reipublicae conferat, quaecunque illa sit, ut dominetur semper nec pereat: iustique definitionem sic natura optime se habere contendunt. *Cli.* Quo pacto? *Athen.* Quod potentiori confert. *Cli.* Apertius dicito. *Athen.* Sic accipe. leges, ut aiunt, semper in civitate ponit, quod dominatur. nonne? *Cli.* Utique. *Athen.* Nunquid existimas, inquiunt, vel populum superantem vel aliam quampiam rempu-

ἐκόντα πρὸς ἄλλο τι πρῶτον νόμους ἢ τὸ συμφέρον ἑαυτῷ τῆς ἀρχῆς τοῦ μένειν;

ΚΛ. Πῶς γὰρ ἄν;

ΑΘ. Οὐκοῦν καὶ ὃς ἂν ταῦτα τὰ τεθέντα παραβαίνῃ, κολάσει ὁ θέμενος ὡς ἀδικοῦντα, δίκαια εἶναι ταῦτ' ἐπονομάζων;

ΚΛ. Ἔοικε γοῦν.

ΑΘ. Ταῦτ' ἄρ' ἀεὶ καὶ οὕτω καὶ ταύτῃ τὸ δίκαιον ἂν ἔχοι.

ΚΛ. Φησὶ γοῦν οὗτος ὁ λόγος.

ΑΘ. Ἔξι γὰρ τοῦτο ἓν ἐκείνων τῶν ἀδικημάτων ἀρχῆς πέρι.

ΚΛ. Ποίων δή;

ΑΘ. Τῶν ἃ τότε ἐπεσκοποῦμεν, τίνας τίνων ἄρχειν δεῖ. καὶ ἐφάνη δὴ γονέας μὲν ἐκγόνων, νεωτέρων δὲ πρεσβυτέρους, γενναίους δὲ ἀγεννῶν· καὶ συχνὰ ἄττα ἦν ἄλλ', εἰ μεμνήμεθα, καὶ ἐμπόδια ἕτερα ἑτέροισι. καὶ δὴ καὶ ἓν ἦν αὐτῶν τοῦτο, καὶ ἔφαμέν που κατὰ φύσιν τὸν Πίνδαρον ἄγειν δικαιοῦντα τὸ βιαιότατον, ὡς φάναι.

ΚΛ. Ναί, ταῦτ' ἦν ἃ τότε ἐλέχθη.

ΑΘ. Σκόπει δὴ ποτέροις τισὶν ἡ πόλις ἡμῖν ἐξ

blicam vel tyrannum ad aliud prius sponte leges laturum, quam ad utilitatem suam, hoc est sui principatus stabilitatem? *Cli.* Non ad aliud. *Athen.* Si quis autem huiusmodi leges transgrediatur iam positas, ut iniquus punietur ab eo, qui has institutiones induxit iustasque appellat. *Cli.* Sic apparet. *Athen.* Sic itaque iustum se semper habebit. *Cli.* Sic sane haec asserit ratio. *Athen.* Una profecto haec inquitas ex illis est, quae de principatu sunt. *Cli.* Ex quibus? *Athen.* Ex his, inquam, quas supra narravimus, quos quibus imperare oporteat, exponentes. diximus autem parentes filiis atque nepotibus, seniores iunioribus, generosos ignobilibus dominari debere: et alia quaedam, si tenetis, quorum aliis alia impedimento sunt, ex quibus unum hoc erat. adiecimusque Pindarum existimare, secundum naturam ac iustum imperium esse, ut potentiora imbecillioribus dominentur. *Cli.* Haec certe tunc dicta fuerunt. *Athen.* Considera iam, qui-

παραδοτέα. γέγονε γὰρ δὴ μυριάκις ἤδη τὸ τοιοῦτον ἔν τισι πόλεσι.

ΚΛ. Τὸ ποῖον;

ΑΘ. Ἀρχῶν περιμαχήτων γενομένων οἱ νικήσαντες τά τε πράγματα κατὰ τὴν πόλιν οὕτως ἐσφετέρισαν σφόδρα, ὥστε ἀρχῆς μηδ' ὁτιοῦν μεταδιδόναι τοῖς ἡττηθεῖσι, μήτε αὐτοῖς μήτε ἐκγόνοις, παραφυλάττοντες δ' ἀλλήλους ζῶσιν, ὅπως μή ποτέ τις εἰς ἀρχὴν ἀφικόμενος ἐπαναξῇ μεμνημένος τῶν ἔμπροσθεν γεγονότων κακῶν. ταύτας δή πού φαμεν ἡμεῖς νῦν οὔτ' εἶναι πολιτείας, οὔτ' ὀρθοὺς νόμους ὅσοι μὴ ξυμπάσης τῆς πόλεως ἕνεκα τοῦ κοινοῦ ἐτέθησαν· οἱ δ' ἕνεκα τινῶν, σασιωτείας ἀλλ' οὐ πολιτείας τούτους φαμέν, καὶ τὰ τούτων δίκαια ἃ φασιν εἶναι, μάτην εἰρῆσθαι. λέγεται δὲ τοῦδ' ἕνεκα ταῦθ' ἡμῖν, ὡς ἡμεῖς τῇ σῇ πόλει ἀρχὰς οὔθ' ὅτι πλούσιός ἐσί τις δώσομεν, οὔθ' ὅτι τῶν τοιούτων ἄλλο οὐδὲν κεκτημένος, ἰσχὺν ἢ μέγεθος ἢ τι γένος· ὃς δ' ἂν τοῖς τεθεῖσι νόμοις εὐπειθέστατός τ' ᾖ καὶ νικᾷ ταύτην τὴν νίκην ἐν τῇ πόλει, τούτῳ φαμὲν καὶ τὴν τῶν θεῶν ὑπηρεσίαν δοτέον εἶναι τὴν μεγίστην τῷ πρώτῳ, καὶ δευτέραν τῷ τὰ δεύτερα κρατοῦντι, καὶ κατὰ λόγον οὕτω τοῖς ἐφεξῆς

bus nostra civitas committenda. millies namque in civitatibus nonnullis id contigit. *Cli.* Quidnam? *Athen.* Cum de principatu certatum esset, qui vicerunt, adeo ad se solos rem contraxerunt, ut nullum victis eorumque posteris magistratum concesserint, caventes semper, ne quis ex victis potentiam adeptus insurgat priorum memor malorum. has quidem nos negamus esse respublicas: neque censemus rectas esse eas leges, quae non sint communiter totius civitatis gratia positae. qui autem aliquarum partium gratia leges condunt, eos non cives sed seditiosos putamus, et iura sua frustra sic ab eis vocari censemus. haec autem eam ob causam dicimus: quia nos tua in civitate non ideo magistratus alicui dabimus, quod dives sit, aut huiusmodi quicquam possideat, ut robur, magnitudinem, generis claritatem. ei vero, qui positis legibus parebit maxime, et hac re ceteris in civitate praestabit, Deorum quoque cultum et ministerium dabimus; maximum quidem primo, secundum vero illi, qui secundo loco excellet. eademque ratione sequentibus singula pro dignitate distri-

τὰ μετὰ ταῦθ' ἕκαστα ἀποδοτέον εἶναι. τοὺς δ' ἄρχοντας λεγομένους νῦν ὑπηρέτας τοῖς νόμοις ἐκάλεσα οὔ τι καινοτομίας ὀνομάτων ἕνεκα, ἀλλ' ἡγοῦμαι παντὸς μᾶλλον εἶναι παρὰ τοῦτο σωτηρίαν τε πόλει καὶ τοὐναντίον. ἐν ᾗ μὲν γὰρ ἂν ἀρχόμενος ᾖ καὶ ἄκυρος νόμος, φθορὰν ὁρῶ τῇ τοιαύτῃ ἑτοίμην οὖσαν· ἐν ᾗ δὲ ἂν δεσπότης τῶν ἀρχόντων, οἱ δὲ ἄρχοντες δοῦλοι τοῦ νόμου, σωτηρίαν καὶ πάνθ' ὅσα θεοὶ πόλεσιν ἔδοσαν ἀγαθὰ γιγνόμενα καθορῶ.

ΚΛ. Ναὶ μὰ Δί', ὦ ξένε· καθ' ἡλικίαν γὰρ ὀξὺ βλέπεις.

ΑΘ. Νέος μὲν γὰρ ὢν πᾶς ἄνθρωπος τὰ τοιαῦτα ἀμβλύτατα αὐτὸς αὑτοῦ ὁρᾷ, γέρων δὲ ὀξύτατα.

ΚΛ. Ἀληθέστατα.

ΑΘ. Τί δὴ τὸ μετὰ ταῦτα; ἆρ' οὐχ ἥκοντας μὲν καὶ παρόντας θῶμεν τοὺς ἐποίκους, τὸν δ' ἑξῆς αὐτοῖς διαπεραντέον ἂν εἴη λόγον;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Ἄνδρες τοίνυν φῶμεν πρὸς αὐτούς, ὁ μὲν δὴ θεός, ὡς περ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ
716 τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων, εὐθείᾳ περαίνει κατὰ φύσιν περιπορευόμενος· τῷ δ' ἀεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμω-

huemus. Magistratus autem legum ministros appellavi, non quia innovare vocabula cupiam, sed quia putem salutem hinc maxime civitati fore, et contrarium ex contrario. interitum enim paratum illi civitati video, in qua non lex magistratibus sed legi magistratus praesunt: salutem vero illi, ubi lex servientibus magistratibus dominatur. cuncta certe bona, quae dii civitatibus praebent, huic affore cerno. *Cli.* Per Iovem, hospes, acute, ut aetas tua postulat, perspicis. iuvenis enim haec obtuse admodum, senex acutissime cernit. *Meg.* Vera loqueris. *Athen.* Quid vero deinceps? nonne venisse iam ac adesse colonos arbitrari debemus, reliquumque ad eos sermonem peragere? *Cli.* Quid prohibet? *Athen.* Sic itaque ad eos dicamus: Deus, o viri, sicut antiquus quoque sermo testatur, principium, finem et media rerum omnium continens, recta peragit secundum naturam circuens. hunc semper iudicium comitatur, eos, qui a divina lege

ρός, ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος ξυνέπεται ταπεινὸς καὶ κεκοσμημένος, ὁ δέ τις ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας ἢ χρήμασιν ἐπαιρόμενος ἢ τιμαῖς ἢ καὶ σώματος εὐμορφίᾳ, ἅμα νεότητι καὶ ἀνοίᾳ, φλέγεται τὴν ψυχὴν μεθ' ὕβρεως, ὡς οὔτ' ἄρχοντος οὔ τέ τινος ἡγεμόνος δεόμενος ἀλλὰ καὶ ἄλλοις ἱκανὸς ὢν ἡγεῖσθαι, καταλείπεται ἔρημος θεοῦ, καταλειφθεὶς δὲ καὶ ἔτι ἄλλους τοιούτους προσλαβὼν σκιρτᾷ ταράττων πάνθ' ἅμα, καὶ πολλοῖς τισὶν ἔδοξεν εἶναί τις, μετὰ δὲ χρόνον οὐ πολὺν ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ ἑαυτόν τε καὶ οἶκον καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησε. πρὸς ταῦτ' οὖν οὕτω διατεταγμένα τί χρὴ δρᾶν ἢ διανοεῖσθαι, καὶ τί μή, τὸν ἔμφρονα;

ΚΛ. Δῆλον δὴ τοῦτό γε, ὡς τῶν ξυνακολουθησόντων ἑσόμενον τῷ θεῷ δεῖ διανοηθῆναι πάντα ἄνδρα.

ΑΘ. Τίς οὖν δὴ πρᾶξις φίλη καὶ ἀκόλουθος θεῷ; μία, καὶ ἕνα λόγον ἔχουσα ἀρχαῖον, ὅτι τῷ μὲν ὁμοίῳ τὸ ὅμοιον ὄντι μετρίῳ φίλον ἂν εἴη, τὰ δ' ἄμετρα οὔτ' ἀλλήλοις οὔτε τοῖς ἐμμέτροις. ὁ δὴ θεὸς ἡμῖν πάντων χρημάτων μέτρον ἂν εἴη μάλιστα, καὶ πολὺ

desciverint, puniens. cui quidem iudicio. quicunque felix futurus est, adhaerens, humilis subsequitur atque compositus. qui autem superbia elatus est, quod pecunia vel honoribus antecellat, vel corporis forma polleat, quacum iuvenilis animus dementia simul ardeat et petulantia, quasi nec principe nec duce illo indigeat, sed aliorum ipse sufficiens ductor sit: is penitus a Deo deseritur. desertus autem et alios huiusmodi nactus exsultat, omnia perturbans, multisque videtur minime contemnendus. brevi tamen postea inculpabili Dei punitus iudicio, se ipsum, domum suam civitatemque universam simul evertit. cum haec igitur ita disposita sint, quid facere et cogitare, quidve cavere prudentem oportet? Nemini dubium, quin cogitare quisque debeat, qua ratione ex eorum numero sit, qui Deum sequantur. Quaenam igitur actio a Deo amatur, Deumque sequitur? una certe, rationem unam antiquam habens atque praecipuam, quod simile simili, quod moderatum sit, amicum est. immoderata vero neque invicem neque moderatis sunt amica. Deus profecto nobis rerum omnium maxime sit mensura, multoque magis, quam quivis,

μᾶλλον ἢ πού τις, ὥς φασιν, ἄνθρωπος. τὸν οὖν τῷ τοιούτῳ προσφιλῆ γενησόμενον εἰς δύναμιν ὅτι μάλιστα καὶ αὐτὸν τοιοῦτον ἀναγκαῖον γίγνεσθαι, καὶ κατὰ τοῦτον δὴ τὸν λόγον ὁ μὲν σώφρων ἡμῶν θεῷ φίλος, ὅμοιος γάρ, ὁ δὲ μὴ σώφρων ἀνόμοιός τε καὶ ἄδικος· καὶ τἆλλα οὕτω κατὰ τὸν αὐτὸν λόγον ἔχει. νοήσωμεν δὴ τούτοις ἑπόμενον εἶναι τὸν τοιόνδε λόγον, ἁπάντων κάλλιστον καὶ ἀληθέστατον, οἶμαι, λόγων, ὡς τῷ μὲν ἀγαθῷ θύειν καὶ προσομιλεῖν δὴ τοῖς θεοῖς εὐχαῖς καὶ ἀναθήμασι καὶ ξυμπάσῃ θεραπείᾳ θεῶν κάλλιστον καὶ ἄριστον καὶ ἀνυσιμώτατον πρὸς τὸν εὐδαίμονα βίον καὶ δὴ καὶ διαφερόντως πρέπον, τῷ δὲ κακῷ τούτων τἀναντία πέφυκεν. ἀκάθαρτος γὰρ τὴν ψυχὴν ὅ γε κακός, καθαροὺς δὲ ὁ ἐναντίος· παρὰ δὲ μιαροῦ δῶρα
γ17 οὔτ' ἄνδρ' ἀγαθὸν οὔτε θεὸν ἔξι ποτὲ τό γε ὀρθὸν δέχεσθαι· μάτην οὖν περὶ θεοὺς ὁ πολύς ἐξι πόνος τοῖς ἀνοσίοις, τοῖσι δὲ ὁσίοις ἐγκαιρότατος ἅπασι. σκοπὸς μὲν οὖν ἡμῖν οὗτος οὗ δεῖ στοχάζεσθαι· βέλη δὲ αὐτοῦ καὶ οἷον ἡ τοῖς βέλεσιν ἔφεσις, τὰ ποῖ' ἂν λεγόμενα ὀρθότατα φέροιτ' ἄν; πρῶτον μέν, φαμέν, τιμὰς τὰς μετ' Ὀλυμπίους τε καὶ τοὺς τὴν πόλιν ἔχοντας θεοὺς

ut ferunt, homo. qui igitur huic tali amicus fore studet, eum necesse est, ut quam maxime pro viribus talis efficiatur. atqui secundum hanc rationem, quisquis hominum temperatus est, Deo est amicus. similis enim. intemperatus autem dissimilis, differens et iniustus: ceteraque similiter. sed intelligamus ad haec rationem illam sequi, omnium rationum, ut arbitror, pulcherrimam atque verissimam, quod bonum virum decet sacrificare Diis et interesse divinis. nempe illos prosequi orationibus, muneribus alioque cultu divino pulcherrimum, optimum, commodissimum ad beatam vitam, idque prae ceteris est decorum. malo autem contra contingunt omnia. impurus enim mali est animus: boni autem purus. ab impuro autem capere munera, neque bonum virum neque Deum decet. frustra itaque circa Deos profani laborant: quod opportune faciunt omnes sancti. atqui signum quidem hoc est, quo aciem debemus intendere. sagittae vero ad illud quaenam? et quis proprius ipsarum impetus rectissime diceretur? principio post caelestium civitatique praesidentium Deo-

τοῖς χθονίοις ἄν τις θεοῖς ἄρτια καὶ δεύτερα καὶ ἀριστερὰ νέμων ὀρθότατα τοῦ τῆς εὐσεβείας σκοποῦ τυγχάνοι, τοῖς δὲ τούτων ἄνωθεν τὰ περιττὰ καὶ ἀντίφωνα τοῖς ἔμπροσθεν ῥηθεῖσι νῦν δή. μετὰ θεοὺς δὲ τούσδε καὶ τοῖς δαίμοσιν ὅ γ' ἔμφρων ὀργιάζοιτ' ἄν, ἥρωσι δὲ μετὰ τούτους. ἐπακολουθεῖ δ' αὐτοῖς ἱδρύματα ἴδια πατρῴων θεῶν κατὰ νόμον ὀργιαζόμενα. γονέων δὲ μετὰ ταῦτα τιμαὶ ζώντων, ὡς θέμις ὀφείλοντα ἀποτίνειν τὰ πρῶτά τε καὶ μέγιστα ὀφειλήματα, χρεῶν πάντων πρεσβύτατα· νομίζειν δέ, ἃ κέκτηται καὶ ἔχει, πάντα εἶναι τῶν γεννησάντων καὶ θρεψαμένων πρὸς τὸ παρέχειν αὐτὰ εἰς ὑπηρεσίαν ἐκείνοις κατὰ δύναμιν πᾶσαν, ἀρχόμενον ἀπὸ τῆς οὐσίας, δεύτερα τὰ τοῦ σώματος, τρίτα τὰ τῆς ψυχ[illegible]ς, ἀποτίνοντα δανείσματα ἐπιμελείας τε καὶ ὑπερπονούντων ὠδῖνας παλαιὰς ἐπὶ νέοις δανεισθείσας, ἀποδιδόντα δὲ παλαιοῖς ἐν τῷ γήρᾳ σφόδρα κεχρημένοις. παρὰ δὲ πάντα τὸν βίον ἔχειν τε καὶ ἰσχύειν χρὴ πρὸς αὐτοῦ γονέας εὐφημίαν διαφερόντως, διότι κούφων καὶ πτηνῶν λόγων βαρυτάτη ζημία· πᾶσι γὰρ ἐπίσκοπος τοῖς περὶ τὰ τοιαῦτα ἐτάχθη Δίκης Νέμεσις ἄγγελος. θυμουμέ-

num honores, si quis terrestribus Diis paria, secunda, praecipua munera tribuat, rectissime signum ipsum pietatis attinget. quae vero horum supra positorum imparia, et alterna voce respondentia supra dictis, post Deos istos daemonibus vir mentis compos sacrificabit: heroibusque post daemones. sequuntur statuae patriorum Deorum propriae, secundum legem consecratae. demum viventium cultus parentum, quibus fas est prima et maxima debita, omnium antiquissima debitorum, persolvere. putare enim quisque debet omnia, quae possidet, eorum esse qui genuerunt et educarunt, ita ut illis haec omnia pro viribus ministrare debeat, primum quidem externa bona, deinde etiam corporis: postremo quae ad animum pertinent: haec omnia videlicet mutuo data persolvens, et pro curis doloribusque priscis parentum, in senecta recentes reddens, quando maxime indigent. in verbis quin etiam per totam vitam parentes venerari maxime decet. levium enim volatiliumque verborum gravissima imminet poena. nam omnibus praeposita est Nemesis iudicii angelus: huiuscemodi om-

νοις τε οὖν ὑπείκειν δεῖ καὶ ἀποπιμπλᾶσι τὸν θυμόν, ἐάν τ' ἐν λόγοις ἐάν τ' ἐν ἔργοις δρῶσι τὸ τοιοῦτον, ξυγγιγνώσκοντα ὡς εἰκότως μάλιστα πατὴρ υἱεῖ δοξάζων ἀδικεῖσθαι θυμοῖτ' ἂν διαφερόντως. τελευτησάντων δὲ γονέων ταφὴ μὲν ἡ σωφρονεστάτη καλλίστη, μήθ' ὑπεραίροντα τῶν εἰθισμένων ὄγκων μήτ' ἐλλείποντα ὧν οἱ προπάτορες τοὺς ἑαυτῶν γεννήτας ἐτίθεσαν, τάς τε αὖ κατ' ἐνιαυτὸν τῶν ἤδη τέλος ἐχόντων ὡσαύτως ἐπιμελείας τὰς κόσμιον φερούσας ἀποδιδόναι· τῷ δὲ μὴ παραλείπειν μνήμην ἐνδελεχῆ παρεχόμενον, τούτῳ μά- 10
718 λιστ' ἀεὶ πρεσβεύειν, δαπάνης τε τῆς διδομένης ὑπὸ τύχης τὸ μέτριον τοῖς κεκμηκόσι νέμοντα. ταῦτ' ἂν ποιοῦντες καὶ κατὰ ταῦτα ζῶντες ἑκάστοτε ἕκαστοι τὴν ἀξίαν ἂν παρὰ θεῶν καὶ ὅσοι κρείττονες ἡμῶν κομιζοίμεθα, ἐν ἐλπίσιν ἀγαθαῖς διάγοντες τὸ πλεῖστον τοῦ βίου. Ἃ δὲ πρὸς ἐκγόνους καὶ ξυγγενεῖς καὶ φίλους καὶ πολίτας, ὅσα τε ξενικὰ πρὸς θεῶν θεραπεύματα καὶ ὁμιλίας ξυμπάντων τούτων ἀποτελοῦντα τὸν ἑαυτοῦ βίον φαιδρυνάμενον κατὰ νόμον κοσμεῖν δεῖ, τῶν νόμων αὐτῶν ἡ διέξοδος, τὰ μὲν πείθουσα, τὰ δὲ μὴ 20
ὑπείκοντα πειθοῖ τῶν ἠθῶν βίᾳ καὶ δίκῃ κολάζουσα,

nium consideratrix. oportet itaque iratis animumque explentibus cedere, seu verbis sive rebus id faciant, non ignorantes patrem iure admodum filio valde succensere, si quando ab eo iniuriam sibi fieri arbitretur. mortuis vero parentibus monumenta decentissima, quae temperatissime structa: neque consuetam magnitudinem oportet excedere, neque minora illis facere, quae maiores genitoribus suis struebant. annuas quoque curas defunctorum, quae ornamentum afferunt, instaurare decet, et nova quotidie repetita memoria semper parentes summopere honorare, impendio moderate pro fortuna utentes. si haec servabimus vitamque semper ita agemus singuli, digna a Diis ceterisque natura nostra superioribus omnibus praemia reportabimus, plurimum bona cum spe viventes. quae vero erga filios et nepotes, consanguineos, amicos, cives, peregrinos, Deos semper colendo, in congressum horum omnium operari quisque debeat, atque ita vitam suam secundum legem illustrare, legum ipsarum tractatio demonstrabit, partim quidem suadendo, partim vero duriores mores vi supplicioque cogendo: atque ita civitatem nostram, faventibus

τὴν πόλιν ἡμῖν ξυμβουληθέντων θεῶν μακαρίαν τε καὶ εὐδαίμονα ἀποτελεῖ. ἃ δὲ χρὴ μὲν αὖ καὶ ἀναγκαῖον εἰπεῖν νομοθέτην ὅς τις ἃ περ ἐγὼ διανοεῖται, ἐν δὲ σχήματι νόμου ἀναρμοσεῖ λεγόμενα, τούτων πέρι δοκεῖ μοι δεῖγμα προερενεγκόντα αὐτῷ τε καὶ ἐκείνοις οἷς νομοθετήσει, τὰ λοιπὰ πάντα εἰς δύναμιν διεξελθόντα, τὸ μετὰ τοῦτο ἄρχεσθαι τῆς θέσεως τῶν νόμων. ἔξι δὲ δὴ τὰ τοιαῦτα ἐν τίνι μάλιστα σχήματι κείμενα; οὐ πάνυ ῥᾴδιον ἐν ἑνὶ περιλαβόντα εἰπεῖν αὐτὰ
ο οἷόν τινι τύπῳ, ἀλλ' οὑτωσί τινα τρόπον λάβωμεν, ἄν τι δυνώμεθα περὶ αὐτῶν βεβαιώσασθαι.

ΚΛ. Λέγε τὸ ποῖον.

ΑΘ. Βουλοίμην ἂν αὐτοὺς ὡς εὐπειθεστάτους πρὸς ἀρετὴν εἶναι, καὶ δῆλον ὅτι πειράσεται τοῦτο ὁ νομοθέτης ἐν ἁπάσῃ ποιεῖν τῇ νομοθεσίᾳ.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Τὰ τοίνυν δὴ λεχθέντα ἔδοξέ τί μοι προὔργου δρᾶν εἰς τὸ περὶ ὧν ἂν παραινῇ μὴ παντάπασιν ὠμῆς ψυχῆς λαβόμενα, μᾶλλον δ' ἡμερώτερόν τε ἂν
ο ἀκούειν καὶ εὐμενέστερον, ὥστε εἰ καὶ μὴ μέγα τι, σμικρὸν δὲ τὸν ἀκούοντα, ὅ περ φησιν, εὐμενέστερον γιγνόμενον εὐμαθέστερον ἀπεργάσεται, πᾶν ἀγαπητόν.

Diis, felicem beatamque efficiet. quae vero oportet rursus et necessarium est, ut legislator, qui eadem exagitet et, quae et ego, edisserat, neque tamen sub ipsa legis forma commode dici posse videntur, horum exemplum inprimis tam ipsi legumlatori quam lege instituendis arbitror afferendum: deinde legum positionem incipiendam, reliqua omnia pro viribus discutiendo. talia vero quam maxime figuram habeant, haud sane facile una quadam formula comprehendi potest. sed ita de ipsis modum aliquam capiamus, si quid de ipsis asseverare possumus. *Cli.* Dic, age, quem modum? *Athen.* Vellem equidem eos ad virtutis officia persuasos maxime et obtemperantes esse: idque legislator facere ubique conabitur. *Cli.* Quidni? *Athen.* Quae igitur dicta sunt, nonnihil ad illud conducere mihi videntur, ut, si non crudus omnino audientis animus sit, mitior benevolentiorque in audiendis praeceptis efficiatur, benevolentior vero factus facilius perdiscat. quod si non omnino peragatur, aliquo saltem modo factum.

οὐ γὰρ πολλή τις εὐπέτεια οὐδὲ ἀφθονία τῶν προθυμουμένων ὡς ἀρίστων ὅτι μάλιστα καὶ ὡς τάχιστα γίγνεσθαι, τὸν δὲ Ἡσίοδον οἱ πολλοὶ σοφὸν ἀποφαίνουσι λέγοντα ὡς ἡ μὲν ἐπὶ τὴν κακότητα ὁδὸς λεία καὶ ἀνιδιτὶ παρέχει πορεύεσθαι, μάλα βραχεῖα οὖσα,

τῆς δ' ἀρετῆς, φησίν, ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι, μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτήν,
καὶ τραχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηαι,
ῥηϊδίη δ' ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα.

ΚΛ. Καὶ καλῶς γ' ἔοικε λέγοντι.

ΑΘ. Πάνυ μὲν οὖν. ὁ δὲ προάγων λόγος ὅ γε μοι ἀπείργασαι, βούλομαι ὑμῖν εἰς τὸ μέσον αὐτὸ θεῖναι.

ΚΛ. Τίθει δή.

ΑΘ. Λέγωμεν δὴ τῷ νομοθέτῃ διαλεγόμενοι τόδε, Εἰπὲ ἡμῖν, ὦ νομοθέτα· εἴ περ ὅ τι χρὴ πράττειν ἡμᾶς καὶ λέγειν εἰδείης, ἆρ' οὐ δῆλον ὅτι καὶ ἂν εἴποις;

ΚΛ. Ἀναγκαῖον.

ΑΘ. Σμικρῷ δὴ πρόσθεν ἆρα οὐκ ἠκούσαμέν σου λέγοντος ὡς τὸν νομοθέτην οὐ δεῖ τοῖς ποιηταῖς ἐπιτρέπειν ποιεῖν ὃ ἂν αὐτοῖς ᾖ φίλον; οὐ γὰρ ἂν εἰδεῖεν τί ποτ' ἐναντίον τοῖς νόμοις ἂν λέγοντες βλάπτοιεν τὴν πόλιν;

satis esse putandum est. non enim magna est eorum copia, qui optimi quam maxime et celerrime conentur evadere. Hesiodum vero sapientem multi praedicant, cum dicat viam ad vitia planam esse ac sine sudore peragi, cum brevissima sit. *Ante virtutem vero*, inquit, *sudorem Dii immortales posuerunt. ac via, quae ad eam ducit, longa, ardua, et aspera primum: sed postquam ad summa fastigia perventum est, quae ardua via fuerat, facilem praestat callem.* *Cli.* Bene dicere videtur. *Athen.* Ita certe est, verum quo sermonis spectabat progressio, volo in medio vobis proponere. *Cli.* Ponas. *Athen.* Orationem ad legislatorem sic vertamus: dic nobis, o legislator, si scires, quid agendum dicendumque nobis sit, nonne diceres? *Cli.* Necessario. *Athen.* An non paulo ante te dicentem audivimus, non debere legislatorem poëtis permittere, ut, quaecunque sibi placent, effingant? non enim intelligunt, quae dicta contra leges noceant

ΚΛ. Ἀληθῆ μέντοι λέγεις.

ΑΘ. Ὑπὲρ δὴ τῶν ποιητῶν εἰ τάδε λέγοιμεν πρὸς αὐτόν, ἆρ' ἂν τὰ λεχθέντα εἴη μέτρια;

ΚΛ. Ποῖα;

ΑΘ. Τάδε. Παλαιὸς μῦθος, ὦ νομοθέτα, ὑπό τε αὐτῶν ἡμῶν ἀεὶ λεγόμενός ἐστι καὶ τοῖς ἄλλοις πᾶσι ξυνδεδογμένος, ὅτι ποιητής, ὁπόταν ἐν τῷ τρίποδι τῆς Μούσης καθίζηται, τότε οὐκ ἔμφρων ἐστίν, οἷον δὲ κρήνη τις τὸ ἐπιὸν ῥεῖν ἑτοίμως ἐᾷ, καὶ τῆς τέχνης οὔσης μιμήσεως ἀναγκάζεται ἐναντίως ἀλλήλοις ἀνθρώπους ποιῶν διατιθεμένους ἐναντία λέγειν αὑτῷ πολλάκις, οἶδε δὲ οὔτ' εἰ ταῦτα οὔτ' εἰ θάτερα ἀληθῆ τῶν λεγομένων. τῷ δὲ νομοθέτῃ τοῦτο οὐκ ἔστι ποιεῖν ἐν τῷ νόμῳ, δύο περὶ ἑνός, ἀλλὰ ἕνα περὶ ἑνὸς ἀεὶ δεῖ λόγον ἀποφαίνεσθαι. σκέψαι δ' ἐξ αὐτῶν τῶν ὑπὸ σοῦ νῦν δὴ λεχθέντων. οὔσης γὰρ ταφῆς μὲν ὑπερβεβλημένης, τῆς δὲ ἐλλειπούσης, τῆς δὲ μετρίας, τὴν μίαν ἑλόμενος σύ, τὴν μέσην, ταύτην προστάττεις καὶ ἐπῄνεσας ἁπλῶς. ἐγὼ δέ, εἰ μὲν γυνή μοι διαφέρουσα εἴη πλούτῳ καὶ θάπτειν αὐτὴν διακελεύοιτο ἐν τῷ ποιήματι, τὸν ὑπερβάλλοντα ἂν τάφον ἐπαινοίην, φειδωλὸς δ' αὖ τις καὶ πένης ἀνὴρ τὸν καταδεᾶ, μέτρον δὲ

civitati. *Cli.* Vera loqueris. *Athen.* Si de poëtis haec ad eum dixerimus, eruntne nobis modeste dicta? *Cli.* Quaenam haec? *Athen.* Vetus, o legislator, fabula passim a nobis fertur, atque a ceteris omnibus confirmatur, poëtam, quando in Musae tripode sedet, non esse mentis compotem, sed quasi fontem fluere, et, quaecunque influunt, prorsus effundere. cumque ars eius imitatio quaedam sit et contrarios affectus hominum exprimat, saepe cogi poëtam sibi ipsi contraria dicere, neque scire: utrum haec an illa vera sint. legislatori autem non licet duo quaedam diversa de uno in lege loqui, sed unum debet semper enuntiare de uno. id autem ex his, quae modo dicebas, animadvertes, cum sepulcrorum alia excedant, alia deficiant, alia medium teneant, mediocria tu simpliciter laudasti fierique sola iussisti. ego autem, si uxor mihi ditissima esset, iuberetque ut eam magnifice sepelirem, in poëmate excedens sepulcrum laudarem: pauper item vir atque avarus deficiens. qui vero mediocres divitias possidet,

οὐσίας κεκτημένος καὶ μέτριος αὐτὸς ὢν τὸν αὐτὸν ἂν ἐπαινέσοι. σοὶ δ' οὐχ οὕτω ῥητέον ὡς νῦν εἶπες μέτριον εἰπών, ἀλλὰ τί τὸ μέτριον καὶ ὁπόσον ῥητέον, ἢ τὸν τοιοῦτον λόγον μή πώ σοι διανοοῦ γίγνεσθαι νόμον.

ΚΛ. Ἀληθέστατα λέγεις.

ΑΘ. Πότερον οὖν ἡμῖν ὁ τεταγμένος ἐπὶ τοῖς νόμοις μηδὲν τοιοῦτον προαγορεύῃ ἐν ἀρχῇ τῶν νόμων, ἀλλ' εὐθὺς ὃ δεῖ ποιεῖν καὶ μὴ φράζῃ τε καὶ
720 ἐπαπειλήσας τὴν ζημίαν ἐπ' ἄλλον τρέπηται νόμον, παραμυθίας δὲ καὶ πειθοῦς τοῖς νομοθετουμένοις μηδὲ ἓν προσδιδῷ; καθά περ ἰατρὸς δέ τις ὁ μὲν οὕτως, ὁ δ' ἐκείνως ἡμᾶς εἴωθεν ἑκάστοτε θεραπεύειν, — ἀναμιμνησκώμεθα δὲ τὸν τρόπον ἑκάτερον, ἵνα τοῦ νομοθέτου δεώμεθα, καθά περ ἰατροῦ δέοιντο ἂν παῖδες τὸν πρώτατον αὐτὸν θεραπεύειν τρόπον ἑαυτούς. οἷον δὴ τί λέγομεν; εἰσί πού τινες ἰατροί, φαμέν, καί τινες ὑπηρέται τῶν ἰατρῶν, ἰατροὺς δὲ καλοῦμεν δή που καὶ τούτους.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Ἐάν τέ γ' ἐλεύθεροι ὦσιν ἐάν τε δοῦλοι, κατ' ἐπίταξιν δὲ τῶν δεσποτῶν καὶ θεωρίαν καὶ κατ' ἐμπειρίαν τὴν τέχνην κτῶνται, κατὰ φύσιν δὲ μή, καθά

si ipse quoque moderatus sit, medium laudabit. sed tibi non ita dicendum, sicut dicebas modo, ut scilicet mediocre solummodo dicas, sed quid quantumque mediocreque sit, exponendum. aliter ne putes orationem huiusmodi legem esse. *Cli.* Vera loqueris. *Athen.* Utrum qui legibus condendis incumbit, nihil tale in legum exordio dicet? sed statim, quid faciundum sit et quid non, exponet, mulctaque imposita ad aliam se legem vertet, nulla ratione ad exhortandum persuadendumque allata? afferamus autem in medium modos medendi duos, quibus alii medici aliter curare consueverunt: ut quemadmodum pueri medicum orant, ut modo quodam facillime eos curet, ita et nos legumlatorem. quod ut fiat apertius, nonne dicimus quosdam medicos esse et quosdam medicorum ministros? quos etiam medicos appellamus. *Cli.* Sic omnino. *Athen.* Sive liberi sint seu servi, qui dominorum iussu, consideratione, usu et experientia artem possideant: non autem secundum naturam, sicuti liberi, qui et ipsi sic didicerant et

περ οἱ ἐλεύθεροι αὐτοί τε μεμαθήκασιν οὕτω τούς τε αὑτῶν διδάσκουσι παῖδας. Θείης ἂν ταῦτα δύο γένη τῶν καλουμένων ἰατρῶν;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Ἆρ' οὖν καὶ ξυννοεῖς ὅτι δούλων καὶ ἐλευθέρων ὄντων τῶν καμνόντων ἐν ταῖς πόλεσι τοὺς μὲν δούλους σχεδόν τι οἱ δοῦλοι τὰ πολλὰ ἰατρεύουσι περιτρέχοντες καὶ ἐν τοῖς ἰατρείοις περιμένοντες, καὶ οὔ τέ τινα λόγον ἑκάστου πέρι νοσήματος ἑκάστου τῶν οἰκετῶν οὐδεὶς τῶν τοιούτων ἰατρῶν δίδωσιν οὐδ' ἀποδέχεται, προστάξας δ' αὐτῷ τὰ δόξαντα ἐξ ἐμπειρίας ὡς ἀκριβῶς εἰδώς, καθά περ τύραννος, αὐθαδῶς οἴχεται ἀποπηδήσας πρὸς ἄλλον κάμνοντα οἰκέτην, καὶ ῥᾳθύμην οὕτω τῷ δεσπότῃ παρασκευάζει τῶν καμνόντων τῆς ἐπιμελείας; ὁ δὲ ἐλεύθερος ὡς ἐπὶ τὸ πλεῖστον τὰ τῶν ἐλευθέρων νοσήματα θεραπεύει τε καὶ ἐπισκοπεῖ, καὶ ταῦτα ἐξετάζων ἀπ' ἀρχῆς καὶ κατὰ φύσιν, τῷ κάμνοντι κοινούμενος αὐτῷ τε καὶ τοῖς φίλοις, ἅμα μὲν αὐτὸς μανθάνει τι παρὰ τῶν νοσούντων, ἅμα δέ, καθ' ὅσον οἷός τ' ἐξί, διδάσκει τὸν ἀσθενοῦντα αὐτόν, καὶ οὐ πρότερον ἐπέταξε πρὶν ἄν πῃ ξυμπείσῃ, τότε δὲ μετὰ πειθοῦς ἡμερούμενον ἀεὶ παρασκευάζων τὸν κάμνοντα, εἰς τὴν ὑγίειαν ἄγων, ἀποτελεῖν πειρᾶται. πότερον οὕτως ἢ ἐκείνως ἰατρός

suos filios instruunt? an ponis duo haec genera medicorum? *Cli.* Quid prohibet? *Athen.* Num igitur intelligis, cum servi et liberi in civitate aegrotent, servos a servis plerumque curari, qui et in medicorum officinis versantur et omnia circuunt? nec rationem ullam de singulis servorum morbis aut reddunt aut accipiunt: sed quae usu prodesse videntur, quasi exacte scientes, tyrannorum instar superbe et pertinaciter imperant, atque ita a servo ad servum medentes transvolant? in quo sane ad curandos aegrotantes domino facilitatem parant. liber autem medicus liberorum ut plurimum morbos curat atque considerat, ita ut a principio morbi naturam perquirat, communiterque cum aegrotante atque eius amicis versetur, tum discendo ab illis nonnihil, tum, quoad fieri potest, docendo: nec antea imperat quicquam quam persuaserit. atque ita persuadendo semper, mansuete ad sanitatem perducere aegrotantes conatur. uter melior est et me-

τε ἰώμενος ἀμείνων καὶ γυμναστὴς γυμνάζων; διχῇ τὴν μίαν ἀποτελῶν δύναμιν, ἢ μοναχῇ καὶ κατὰ τὸ χεῖρον τοῖν δυοῖν καὶ ἀγριώτερον ἀπεργαζόμενος;

ΚΛ. Πολύ που διαφέρον, ὦ ξένε, τὸ δισσῇ.

ΑΘ. Βούλει δὴ καὶ θεασώμεθα τὸ διπλοῦν τοῦτο καὶ ἁπλοῦν ἐν ταῖς νομοθεσίαις αὐταῖς γιγνόμενον;

ΚΛ. Πῶς γὰρ οὐ βούλομαι;

ΑΘ. Φέρε δὴ πρὸς θεῶν, τίν' ἄρα πρῶτον νόμον θεῖτ' ἂν ὁ νομοθέτης; ἆρ' οὐ κατὰ φύσιν τὴν περὶ γενέσεως ἀρχὴν πρώτην πόλεων πέρι κατακοσμήσει ταῖς τάξεσιν;

ΚΛ. Τί μήν;

721 *ΑΘ.* Ἀρχὴ δ' ἐστὶ τῶν γενέσεων πάσαις πόλεσιν ἆρ' οὐχ ἡ τῶν γάμων σύμμιξις καὶ κοινωνία;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Γαμικοὶ δὴ νόμοι πρῶτοι κινδυνεύουσί τις θέμενοι καλῶς ἂν τίθεσθαι πρὸς ὀρθότητα πάσῃ πόλει.

ΚΛ. Παντάπασι μὲν οὖν.

ΑΘ. Λέγωμεν δὴ πρῶτον τὸν ἁπλοῦν. ἔχοι δ' ἄν πως ἴσως ὧδε· γαμεῖν δέ, ἐπειδὰν ἐτῶν ᾖ τις τριάκοντα, μέχρι ἐτῶν πέντε καὶ τριάκοντα, εἰ δὲ μή, ζημιοῦσθαι χρήμασί τε καὶ ἀτιμίᾳ, χρήμασι μὲν τόσοις καὶ τόσοις, τῇ καὶ τῇ δὲ ἀτιμίᾳ. ὁ μὲν ἁπλοῦς

dicus et exercitator? qui sic, an qui modo illo medetur atque exercet? qui videlicet dupliciter vim unam perficit, an qui simpliciter? et eum, qui deterior ex duobus atque atrocior modus est, exsequitur? *Cli.* Multum praestat, hospes, qui hoc dupliciter peragit. *Athen.* Vis ergo, duplex hoc atque simplex, quomodo in legibus ferendis fiat, consideremus? *Cli.* Volo equidem. *Ath.* Dic, age, per Deos, quam legis conditor primam legem conscribet? an non secundum naturam primum generationis in civitate principium ante omnia legibus exornabit? *Cli.* Plane. *Athen.* Principium autem generationis omnibus civitatibus nuptiarum conventus atque communio. *Cli.* Utique. *Athen.* Quare si nuptiales primum leges ponantur, bene ad omnem civitatem recte constituendam positae videbuntur. *Cli.* Sic est omnino. *Athen.* Simplicem ergo primum dicamus, quae sic se forsan habebit: uxorem quisque a trigesimo anno usque ad trigesimum quintum ducat. si non duxerit, pecunia mulctetur atque dedecore, pecunia quidem tanta vel tanta, dedecore autem tali quodam vel tali.

ἔξω τις τοιοῦτος περὶ γάμων, ὁ δὲ διπλοῦς ὅδε. γαμεῖν δέ, ἐπειδὰν ἐτῶν ᾖ τις τριάκοντα, μέχρι τῶν πέντε καὶ τριάκοντα, διανοηθέντα ὡς ἔξιν ᾖ τὸ ἀνθρώπινον γένος φύσει τινὶ μετείληφεν ἀθανασίας, οὗ καὶ πέφυκεν ἐπιθυμίαν ἴσχειν πᾶς πᾶσαν· τὸ γὰρ γενέσθαι κλεινὸν καὶ μὴ ἀνώνυμον κεῖσθαι τετελευτηκότα τοῦ τοιούτου ἐστὶν ἐπιθυμία. γένος οὖν ἀνθρώπων ἐσί τι ξυμφυὲς τοῦ παντὸς χρόνου, ὃ διὰ τέλους αὐτῷ ξυνέπεται καὶ συνέψεται, τούτῳ τῷ τρόπῳ ἀθάνατον ὄν, Ⓓ τῷ παῖδας παίδων καταλειπόμενον ταὐτὸν καὶ ἓν ὂν ἀεὶ γενέσει τῆς ἀθανασίας μετειληφέναι. τούτου δὴ ἀποστερεῖν ἑκόντα ἑαυτὸν οὐδέποτε ὅσιον, ἐκ προνοίας δ' ἀποστερεῖ ὃς ἂν παίδων καὶ γυναικὸς ἀμελῇ. πειθόμενος μὲν οὖν τῷ νόμῳ ἀζήμιος ἀπαλλάττοιτο ἄν, μὴ πειθόμενος δὲ αὖ μηδὲ γαμῶν ἔτη τριάκοντα γεγονὼς καὶ πέντε ζημιούσθω μὲν κατ' ἐνιαυτὸν τόσῳ καὶ τόσῳ, ἵνα μὴ δοκῇ τὴν μοναυλίαν οἱ κέρδος καὶ ῥᾳστώνην φέρειν, μὴ μετεχέτω δὲ τιμῶν ὧν ἂν οἱ νεώτεροι ἐν τῇ πόλει τοὺς πρεσβυτέρους αὐτῶν τιμῶσιν Ⓔ ἑκάστοτε. Τοῦτον δὴ παρ' ἐκεῖνον τὸν νόμον ἀκούσαντα ἕξεσι περὶ ἑνὸς ἑκάστου διανοηθῆναι, πότερον αὐτοὺς διπλοῦς οὕτω δεῖ γίγνεσθαι τῷ μήκει τὸ σμικ-

et simplex quidem lex de nuptiis talis sit. duplex autem talis: uxorem ducere quisque debet ab anno trigesimo: ad trigesimum quintum: cogitans, quod natura quadam humanum genus quodammodo immortalitatem consequitur: cuius rei quisque natura summopere cupidus est. nemo enim est, qui non desideret perpetuum apud posteros nomen habere. genus itaque hominum immortale hoc modo in sempiternum perdurat, quod filiorum filios relinquendo unum et idem semper per generationem immortalitatem adipiscatur. nefas autem est immortalitate se ipsum sponte privare. hac vero ex animo ille se privat, qui filios et uxorem negligit. quicunque legi huic obtemperaverit, indemnis esto: qui vero non paruerit, et quinque ac triginta annos natus uxorem non duxerit, ne solitariam vitam lucro sibi et voluptati fore censeat, tanta in annos singulos mulctetur pecunia; neque eorum particeps honorum sit, quos inniores quotidie in civitate senioribus exhibent. duabus his legibus invicem comparatis, de singulis iudicare licet, utrum oporteat eas duplices longitudine

κρότατον, διὰ τὸ πείθειν τε ἅμα καὶ ἀπειλεῖν, ἢ τῷ ἀπειλεῖν μόνον χρωμένους ἁπλοῦς γίγνεσθαι τοῖς μήκεσιν.

ΜΕ. Πρὸς μὲν τοῦ Λακωνικοῦ τρόπου, ὦ ξένε, τὸ τὰ βραχύτερα ἀεὶ προτιμᾶν· τούτων μὴν τῶν γραμμάτων εἴ τις κριτὴν ἐμὲ κελεύοι γίγνεσθαι πότερα βουλοίμην ἂν ἐν τῇ πόλει μοι γεγραμμένα τεθῆναι, τὰ μακρότερ' ἂν ἑλοίμην, καὶ δὴ καὶ περὶ παντὸς νόμου κατὰ τοῦτο τὸ παράδειγμα, εἰ γίγνοιτο ἑκάτερα, ταὐτὸν τοῦτ' ἂν αἱροίμην. οὐ μὴν ἀλλά που καὶ
722 Κλεινίᾳ τῷδ' ἀρέσκειν δεῖ τὰ νῦν νομοθετούμενα· τούτου γὰρ ἡ πόλις ἡ νῦν τοῖς τοιούτοις νόμοις χρῆσθαι διανοουμένη.

ΚΛ. Καλῶς γ', ὦ Μέγιλλε, εἶπες.

ΑΘ. Τὸ μὲν οὖν περὶ πολλῶν ἢ ὀλίγων γραμμάτων ποιήσασθαι τὸν λόγον λίαν εὔηθες· τὰ γάρ, οἶμαι, βέλτιστα ἀλλ' οὐ τὰ βραχύτατα οὐδὲ τὰ μήκη τιμητέον· τὰ δ' ἐν τοῖς νῦν δὴ νόμοις ῥηθεῖσιν οὐ διπλῷ θάτερα τῶν ἑτέρων διάφορα μόνον εἰς ἀρετὴν τῆς χρείας, ἀλλ' ὃ περ ἐῤῥήθη νῦν δή, τὸ τῶν ἀστῶν ἰατρῶν γένος ὀρθότατα παρετέθη. πρὸς τούτῳ δὲ οὐδεὶς ἔοικε διανοηθῆναι πώποτε τῶν νομοθετῶν ὡς ἔξὸν δυοῖν χρῆσθαι πρὸς τὰς νομοθεσίας, πειθοῖ καὶ βίᾳ,

quam brevissima conscribere, ut persuasiones simul interponantur et minae: an minis uti solum et simplices longitudine leges condere. *Meg.* Laconici moris est, hospes, breviora semper eligere. si quis autem in his me iudicem faceret, ut eligere mihi liceret ex his utram velim legem in civitate, longiorem eligerem: in ceterisque legibus omnibus, si duo haec proponantur, ad hoc ipsum exemplar idem facerem. oportet tamen praesentes leges et Cliniae huic probari. huius enim ea civitas est, cuius usui leges istae conduntur. *Cli.* Probe tu quidem, Megille. *Athen.* De prolixitate quidem vel brevitate scribendi curare nimis ineptum est. non enim brevissima aut longissima, sed optima sunt, ut arbitror, eligenda. atque et in legibus paulo ante propositis non duplicitate solum altera magis, quam altera, ad virtutem confert: sed quod de duplici medicorum genere dictum est, rectissime est appositum. quod quidem legislatorum nullus unquam cogitasse videtur. nam cum liceat duobus quibusdam ad ferendas leges, vi persuasioneque uti: ad turbam disciplinae exper-

καθ' ὅσον οἷόν τε ἐπὶ τὸν ἄπειρον παιδείας ὄχλον τῷ ἑτέρῳ χρῶνται μόνον· οὐ γὰρ πειθοῖ κεραννύντες τὴν μάχην νομοθετοῦσιν, ἀλλ' ἀκράτῳ μόνον τῇ βίᾳ. ἐγὼ δέ, ὦ μακάριοι, καὶ τρίτον ἔτι περὶ τοὺς νόμους ὁρῶ γίγνεσθαι δέον οὐδαμῇ τὰ νῦν γιγνόμενον.

ΚΛ. Τὸ ποῖον δὴ λέγεις;

ΑΘ. Ἐξ αὐτῶν ὧν νῦν διειλέγμεθα ἡμεῖς κατὰ θεόν τινα γεγονός. σχεδὸν γὰρ ἐξ ὅσου περὶ τῶν νόμων ἤργμεθα λέγειν ἐξ ἑωθινοῦ μεσημβρία τε γέγονε καὶ ἐν ταύτῃ παγκάλῃ ἀπαπαύλῃ τινὶ γεγόναμεν, οὐδὲν ἀλλ' ἢ περὶ νόμων διαλεγόμενοι, νόμους δὲ ἄρτι μοι δοκοῦμεν λέγειν ἄρχεσθαι, τὰ δ' ἔμπροσθεν ἦν πάντα ἡμῖν προοίμια νόμων. τί δὲ ταῦτ' εἴρηκα; τόδ' εἰπεῖν βουληθείς, ὅτι λόγων πάντων καὶ ὅσων φωνῆ κεκοινώνηκε προοίμιά τ' ἔστι καὶ σχεδὸν οἷόν τινες ἀνακινήσεις, ἔχουσαί τινα ἔντεχνον ἐπιχείρησιν χρήσιμον πρὸς τὸ μέλλον περαίνεσθαι. καὶ δή που κιθαρῳδικῆς ᾠδῆς λεγομένων νόμων καὶ πάσης Μούσης προοίμια θαυμαζῶς ἐσπουδασμένα πρόκειται. τῶν δὲ ὄντως νόμων ὄντων, οὓς δὴ πολιτικοὺς εἶναί φαμεν, οὐδεὶς πώποτε οὔτ' εἶπέ τι προοίμιον οὔτε ξυνθέτης γενόμενος ἐξήνεγκεν εἰς τὸ φῶς, ὡς οὐκ ὄντος φύσει.

tem, quoad possunt, altero solum utuntur. non enim persuasione minas coniungunt, sed vim puram solummodo inferunt. Ego autem, o viri beati, tertium quiddam etiam faciundum in legibus video, quod fieri nusquam videmus. *Cli.* Quidnam? *Athen.* Quod per ea, de quibus disseruimus, nobis Deo quodam adspirante factum est. mane enim disputare de legibus coepimus, et iam meridies est, et hoc amoeno in loco commodissime requiescimus, de legibus solummodo disputantes. et nunc primum tractandarum legum principium facere mihi videmur: superiora vero cuncta exordia legum erant. quorsum haec? quia volebam dicere, quod sermonum omnium ceterorumque, quibus vocis imitatio est, exordia sunt et quasi quaedam praeludia, quae artificiosam aliquam et utilem ad rem dicendam tractationem habent. nempe illis, quae citharoedici cantus leges vocantur, et reliquae Musae, prooemia mire adinventa proponuntur. verarum autem legum, quas civiles esse dicimus, nemo unquam prooemium aliquod aut pronuntiavit aut conscriptum in lucem protulit, quasi nullum natura sit. nobis autem mora haec et dispu-

ἡμῖν δὲ ἡ νῦν διατριβὴ γεγονυῖα, ὡς ἐμοὶ δοκεῖ, σημαίνει ὡς ὄντος, οἵ τέ γε δὴ διπλοῖ ἔδοξαν νῦν δή μοι λεχθέντες νόμοι, οὐκ εἶναι ἁπλῶς οὕτω πως διπλοῖ, ἀλλὰ δύο μέν τινε, νόμος τε καὶ προοίμιον τοῦ νόμου· ὃ δὴ τυραννικὸν ἐπίταγμα ἀπεικασθὲν ἐρρήθη τοῖς ἐπιτάγμασι τοῖς τῶν ἰατρῶν οὓς εἴπομεν ἀνελευ-
723 θέρους, τοῦτ' εἶναι νόμος ἄκρατος, τὸ δὲ πρὸ τούτου ῥηθέν, πεισικὸν λεχθὲν ὑπὸ τοῦδε, ὄντως μὲν εἶναι πεισικόν, προοιμίου μὴν τοῦ περὶ λόγους δύναμιν ἔχειν. ἵνα γὰρ εὐμενῶς καὶ διὰ τὴν εὐμένειαν εὐμαθέστερον 10 τὴν ἐπίταξιν, ὃ δή ἐστιν ὁ νόμος, δέξηται ᾧ τὸν νόμον ὁ νομοθέτης λέγει, τούτου χάριν εἰρῆσθαί μοι κατεφάνη πᾶς ὁ λόγος οὗτος, ὃν πείθων εἶπεν ὁ λέγων. διὸ δὴ κατά γε τὸν ἐμὸν λόγον τοῦτ' αὐτό, προοίμιον, ἀλλ' οὐ λόγος ἂν ὀρθῶς προαγορεύοιτο εἶναι τοῦ νόμου. ταῦτ' οὖν εἰπὼν τί τὸ μετὰ τοῦτο ἄν μοι βουληθείην εἰρῆσθαι; τόδε, ὡς τὸν νομοθέτην πρὸ πάντων τε ἀεὶ τῶν νόμων χρεὼν ἐστι μὴ ἀμοίρους αὐτοὺς προοιμίων ποιεῖν καὶ καθ' ἕκαστον, ἢ διοίσουσιν ἑαυτῶν ὅσον νῦν δὴ τὼ λεχθέντε διηνεγκάτην. 20

ΚΛ. Τό γ' ἐμὸν οὐκ ἄν ἄλλως νομοθετεῖν διακελεύοιτο ἡμῖν τὸν τούτων ἐπιστήμονα.

ΑΘ. Καλῶς μὲν τοίνων, ὦ Κλεινία, δοκεῖς μοι

tatio nostra esse aliquid significare videtur. leges autem, quae modo duplices appellatae sunt, non duplices sunt simpliciter: sed duo quaedam, lex ac legis exordium. atque ea, quam tyrannico et medicorum servilium imperio comparavimus, lex mera est; quod vero ante positum fuit, dictum ab hoc persuasorium, revera ad persuadendum spectat quidem, sed vim habet exordii. nam ut benivolentius audiant legislatoris imperium, quae lex est, et propter hoc facilius suscipiant cives, iccirco tota illa oratio habita est, quae ad persuadendum est inducta. quapropter, ut mea sententia fert, non legis ratio sed prooemium totum hoc merito appellabitur. post haec autem quid insuper addi desidero? hoc sane. Oportere legislatorem exordium semper omni legi proponere, et in singulis, in quo a se ipsis differant, quatenus duo illa, quae modo relata sunt, differebant. *Cli.* Ego quidem nunquam aliter virum istarum rerum peritum leges ferre desiderarem. *Athen.* Probe mihi, Clinia, eo dixisse videris,

τό γε τοσοῦτον λέγειν, ὅτι πᾶσί γε νόμοις ἔξω προοίμια καὶ ὅτι πάσης ἀρχόμενον νομοθεσίας χρὴ προτιθέναι παντὸς τοῦ λόγου τὸ πεφυκὸς προοίμιον ἑκάστοις· οὐ γὰρ σμικρὸν τὸ μετὰ τοῦτ' ἐξῆ ῥηθησόμενον, οὐδ' ὀλίγον διαφέρον ἢ σαφῶς ἢ μὴ σαφῶς αὐτὰ μνημονεύεσθαι· τὸ μέντοι μεγάλων πέρι λεγομένων νόμων καὶ σμικρῶν εἰ ὁμοίως προοιμιάζεσθαι προστάττοιμεν, οὐκ ἂν ὀρθῶς λέγοιμεν. οὐδὲ γὰρ ᾄσματος οὐδὲ λόγου παντὸς δεῖ τὸ τοιοῦτον ὁρᾶν, καί τοι πέφυκέ γε εἶναι πᾶσιν, ἀλλ' οὐ χρηστέον ἅπασιν· αὐτῷ δὲ τῷ τε ῥήτορι καὶ τῷ μελῳδῷ καὶ τῷ νομοθέτῃ τὸ τοιοῦτον ἑκάστοτε ἐπιτρεπτέον.

Κλ. Ἀληθέστατα δοκεῖς μοι λέγειν. ἀλλὰ δὴ μηκέτ', ὦ ξένε, διατριβὴν πλείω τῆς μελλήσεως ποιώμεθα, ἐπὶ δὲ τὸν λόγον ἐπανέλθωμεν καὶ ἀπ' ἐκείνων ἀρχώμεθα, εἴ σοι φίλον, ὧν οὐχ ὡς προοιμιαζόμενος εἶπες τότε. πάλιν οὖν, οἷόν φασιν οἱ παίζοντες, ἀμιεννόνων ἐξ ἀρχῆς δευτέρων ἐπαναπολήσωμεν, ὡς προοίμιον ἀλλ' οὐ τὸν τυχόντα λόγον περαίνοντες, καθά περ ἄρτι. λάβωμεν δ' αὐτῶν ἀρχὴν ὁμολογοῦντες προοιμιάζεσθαι, καὶ τὰ μὲν περὶ θεῶν τιμῆς προγόνων τε θεραπείας, καὶ τὰ νῦν δὴ λεχθέντα ἱκανά· τὰ δ' ἑξῆς

quod omnibus legibus prooemium quoddam praeerit, et quod oportet in omnis legum conscriptionis principio omni sermoni proponere exordium legibus singulis accommodatum. non enim parvum est, quod postea dicitur: nec parum refert, clarene an obscure talia commemorentur. si autem magnarum parvarumque legum exordia similiter confici iubeamus, non recte iubebimus. non enim in cantu neque in omni sermone id faciendum. nam etsi possit in omnibus inveniri, non tamen omnibus utendum est. id autem ipsi rhetori cantorique et legum conditori semper est concedendum. *Cli.* Vera loqueris, hospes. sed ne ulterius immoremur, immo vero ad sermonem propositum iam revertamur, et ab illis incipiamus, si tibi placet, quae supra haud quasi prooemio utens dixisti. quare iterum, ut ludentes aiunt, meliora ab initio secunda resumamus, quasi certum prooemium, non contingentem sermonem ut nuper tractantes. incipiamus itaque et exordiri profiteamur. ac de honore quidem Deorum maiorumque nostrorum cura satis sit dictum: cetera trans-

E.

Ἀκούοι δὴ πᾶς ὅς περ νῦν δὴ τὰ περὶ θεῶν τε ἤκουε καὶ τῶν φίλων προπατόρων· πάντων γὰρ τῶν αὑτοῦ κτημάτων μετὰ θεοὺς ψυχὴ θειότατον, οἰκειότατον ὄν. τὰ δ' αὑτοῦ διττὰ πάντ' ἐξιπᾶσι. τὰ μὲν οὖν κρείττω καὶ ἀμείνω δεσπόζοντα, τὰ δ' ἥττω καὶ χείρω δοῦλα. τῶν οὖν αὑτοῦ τὰ δεσπόζοντα ἀεὶ προτιμητέον τῶν δουλευόντων. οὕτω δὴ τὴν αὑτοῦ ψυχὴν μετὰ θεοὺς ὄντας δεσπότας καὶ τοὺς τούτοις ἑπομένους τιμᾶν δεῖν λέγων δευτέραν ὀρθῶς παρακελεύομαι. τιμᾷ δ' ὡς ἔπος εἰπεῖν ἡμῶν οὐδεὶς ὀρθῶς, δοκεῖ δέ· θεῖον γὰρ ἀγαθόν που τιμή, τῶν δὲ κακῶν οὐδὲν τίμιον, ὁ δ' ἡγούμενος ἤ τισι

Audiat iam reliqua, quicunque paulo ante de Diis carissimisque genitoribus audiebat. cuiusque enim animus omnium suarum rerum post Deos, cum sit maxime suus, divinissimus est. quae vero sua sunt, bifariam dividuntur. et potentiora quidem ac meliora dominantur, imbecilliora vero deterioraque serviunt. Profecto quae dominantur, prae illis, quae serviunt, semper sunt honoranda. quapropter merito post dominantes Deos eosque, qui illos sequuntur, animum nostrum colendum secundoque loco habendum iubeo. nemo autem, ut breviter dicam, recte animum suum honorat, quamvis videatur. divinum enim bonum est honor: malorum autem nihil est honorandum. quisquis igitur pu-

λόγοις ἢ ᾠδαῖς αὐτὴν αὔξειν ἤ τισιν ὑπείξεσι, μηδὲν βελτίω δὲ ἐκ χείρονος αὐτὴν ἀπεργαζόμενος τιμᾷ μὲν δοκεῖ, δρᾷ δὲ τοῦτο οὐδαμῶς. αὐτίκα παῖς εὐθὺς γενόμενος ἄνθρωπος πᾶς ἡγεῖται πάντα ἱκανὸς εἶναι γιγνώσκειν, καὶ τιμᾷν οἴεται ἐπαινῶν τὴν αὑτοῦ ψυχήν, καὶ προθυμούμενος ἐπιτρέπει πράττειν ὅ τι ἂν ἐθέλῃ· τὸ δὲ νῦν λεγόμενόν ἐστιν ὡς δρῶν ταῦτα βλάπτει καὶ οὐ τιμᾷ· δεῖ δέ, ὥς φαμεν, μετά γε θεοὺς δευτέραν. οὐδέ γε ὅταν ἄνθρωπος τῶν αὑτοῦ ἑκάστοτε ἁμαρτημάτων μὴ ἑαυτὸν αἴτιον ἡγῆται, καὶ τῶν πλείστων κακῶν καὶ μεγίστων, ἀλλ' ἄλλους, ἑαυτὸν δὲ ἀεὶ ἀναίτιον ἐξαιρῇ τιμῶν τὴν αὑτοῦ ψυχήν, ὡς δὴ δοκεῖ· ὁ δὲ πολλοῦ δεῖ δρᾷν τοῦτο· βλάπτει γάρ. οὐδ' ὁπόταν ἡδοναῖς παρὰ λόγον τὸν τοῦ νομοθέτου καὶ ἔπαινον χαρίζηται, τότε οὐδαμῶς τιμᾷ, ἀτιμάζει δὲ κακῶν καὶ μεταμελείας ἐμπιπλὰς αὐτήν. οὐδέ γε ὁπόταν αὖ τἀναντία τοὺς ἐπαινουμένους πόνους καὶ φόβους καὶ ἀλγηδόνας καὶ λύπας μὴ διαπονῇ καρτερῶν ἀλλ' ὑπείκῃ. τότε οὐ τιμᾷ ὑπείκων· ἄτιμον γὰρ αὐτὴν ἀπεργάζεται δρῶν τὰ τοιαῦτα ξύμπαντα. οὐδ' ὁπόταν ἡγῆται τὸ ζῆν πάντως ἀγαθὸν εἶναι, τιμᾷ, ἀτιμάζει δ' αὐτὴν καὶ τότε· τὰ γὰρ ἐν Ἅιδου πράγματα πάντα κακὰ ἡγου-

tat vel sermonibus quibusdam vel muneribus vel obsequiis animum suum extollere si meliorem ipsum ex deteriore non reddit, quanquam honorare videtur, minime tamen id facit. nam statim a pueritia unusquisque sufficientem ad omnia cognoscenda se putat, et honorare suum animum opinatur laudando, permittendoque sibi quicquid libuerit agere. nos autem dicimus eum, qui haec agit, animum non honorare sed laedere, quem tamen secundo loco post Deos dicimus honorandum. sed neque ille eum honorat, qui peccatorum suorum plurimorumque et maximorum scelerum non se ipsum, sed alios causam ducit. qui sane, se ipsum semper excusans, honorare videtur animum: longe tamen abest, cum obsit. neque etiam, cum praeter rationem laudemque legumlatoris voluptatibus quis indulget, animum suum honorat: deiicit enim ipsum, cum malis et poenitentia repleat. Neque etiam tunc honorat: quando labores lege laudatos, metusque ac dolores ferendos non suscipit, sed cedit atque succumbit. haec enim agens omnia animum suum dedecorat. sed nec quando hanc vitam summum bonum censet: immo tunc etiam vituperat. nam animo existimanti omnia apud Manes mala esse, pro-

μένης τῆς ψυχῆς εἶναι ὑπείκει καὶ οὐκ ἀντιτείνει διδάσκων τε καὶ ἐλέγχων ὡς οὐκ οἶδεν οὐδ' εἰ τἀναντία πέφυκε μέγιστα εἶναι πάντων ἀγαθῶν ἡμῖν τὰ περὶ τοὺς θεοὺς τοὺς ἐκεῖ. οὐδὲ μὴν πρὸ ἀρετῆς ὁπόταν αὖ προτιμᾷ τις κάλλος, τοῦτ' ἔξιν οὐχ ἕτερον ἢ ἡ τῆς ψυχῆς ὄντως καὶ πάντως ἀτιμία. ψυχῆς γὰρ σῶμα ἐντιμότερον οὗτος ὁ λόγος φησὶν εἶναι ψευδόμενος· οὐδὲν γὰρ γηγενὲς Ὀλυμπίων ἐντιμότερον, ἀλλ' ὁ περὶ ψυχῆς ἄλλως δοξάζων ἀγνοεῖ ὡς θαυμαστοῦ τούτου κτήματος ἀμε-
O λεῖ. οὐδέ γε ὁπόταν χρήματά τις ἐρᾷ κτᾶσθαι μὴ καλῶς ἢ μὴ δυσχερῶς φέρῃ κτώμενος, δώροις ἄρα τιμᾷ τότε τὴν ἑαυτοῦ ψυχήν· πάντὸς μὲν οὖν λείπει· τὸ γὰρ αὖ- 728
τῆς τίμιον ἅμα καὶ καλὸν ἀποδίδοται σμικροῦ χρυσίου· πᾶς γὰς ὅ τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος. ὡς δὲ εἰπεῖν ξυλλήβδην ὃς ἃ περ ἂν νομοθέτης αἰσχρὰ εἶναι καὶ κακὰ διαριθμούμενος τάττῃ καὶ τοὐναντίον ἀγαθὰ καὶ καλά, τῶν μὲν ἀπέχεσθαι μὴ ἐθέλῃ πάσῃ μηχανῇ, τὰ δὲ ἐπιτηδεύειν ξύμπασαν κατὰ δύναμιν, οὐκ οἶδεν ἐν τούτοις πᾶσι πᾶς ἄνθρωπος ψυχὴν
O θειότατον ὂν ἀτιμότατα καὶ κακοσχημονέστατα διατιθείς. τὴν γὰρ λεγομένην δίκην τῆς κακουργίας τὴν μείζην

tinus assentitur, neque resistit, docens ipsum atque redarguens, quasi ignoret, utrum contra, quae apud Deos inferos sunt, omnium bonorum nobis maxima sint. praeterea qui virtuti formam corporis anteponit, animam vere penitusque dedecorat. nempe corpus anima venerabilius arbitratur: in quo certe vehementer errat. nihil enim terrenum rebus caelestibus venerabilius est. et qui de animo aliter sentit, quam mirabilem rem negligat, prorsus ignorat. nec rursus qui pecuniam iniuste cupit aut possidens iniuste non dolet, muneribus animum suum exornat, sed ab hoc longissime abest. quod enim venerabile pulchrumque in animo est, parvo pro auro prodit: cum totum, quod super terram quodve sub terra est aurum, virtuti compensari digne non possit. denique ut summatim dicam, quicunque illa, quae legislator turpia malaque putat esse, omni studio fugit; nec pro viribus sequitur ea, quae bona et pulchra statuit: non videt in his omnibus, quam turpiter et absurde divinissimum animum suum afficiat. maximam enim secundum iustitiam ultionem male agen-

κρότατον, διὰ τὸ πείθειν τε ἅμα καὶ ἀπειλεῖν, ἢ τῷ ἀπειλεῖν μόνον χρωμένους ἁπλοῦς γίγνεσθαι τοῖς μήκεσιν.

ΜΕ. Πρὸς μὲν τοῦ Λακωνικοῦ τρόπου, ὦ ξένε, τὸ τὰ βραχύτερα ἀεὶ προτιμᾶν· τούτων μὴν τῶν γραμμάτων εἴ τις κριτὴν ἐμὲ κελεύοι γίγνεσθαι πότερα βουλοίμην ἂν ἐν τῇ πόλει μοι γεγραμμένα τεθῆναι, τὰ μακρότερ' ἂν ἑλοίμην, καὶ δὴ καὶ περὶ παντὸς νόμου κατὰ τοῦτο τὸ παράδειγμα, εἰ γίγνοιτο ἑκάτερα, ταὐτὸν τοῦτ' ἂν αἱροίμην. οὐ μὴν ἀλλά που καὶ
722 Κλεινίᾳ τῷδ' ἀρέσκειν δεῖ τὰ νῦν νομοθετούμενα· τούτου γὰρ ἡ πόλις ἡ νῦν τοῖς τοιούτοις νόμοις χρῆσθαι διανοουμένη.

ΚΛ. Καλῶς γ', ὦ Μέγιλλε, εἶπες.

ΑΘ. Τὸ μὲν οὖν περὶ πολλῶν ἢ ὀλίγων γραμμάτων ποιήσασθαι τὸν λόγον λίαν εὔηθες· τὰ γάρ, οἶμαι, βέλτιστα ἀλλ' οὐ τὰ βραχύτατα οὐδὲ τὰ μήκη τιμητέον· τὰ δ' ἐν τοῖς νῦν δὴ νόμοις ῥηθεῖσιν οὐ διπλῷ θάτερα τῶν ἑτέρων διάφορα μόνον εἰς ἀρετὴν τῆς χρείας, ἀλλ' ὃ περ ἐῤῥήθη νῦν δή, τὸ τῶν ὀπτῶν ἰατρῶν γένος ὀρθότατα παρετέθη. πρὸς τούτῳ δὲ οὐδεὶς ἔοικε διανοηθῆναι πώποτε τῶν νομοθετῶν ὡς ἐξὸν δυοῖν χρῆσθαι πρὸς τὰς νομοθεσίας, πειθοῖ καὶ βίᾳ,

quam brevissima conscribere, ut persuasiones simul interponantur et minae: an minis uti solum et simplices longitudine leges condere. *Meg.* Laconici moris est, hospes, breviora semper eligere. si quis autem in his me iudicem faceret, ut eligere mihi liceret ex his utram velim legem in civitate, longiorem eligerem: in ceterisque legibus omnibus, si duo haec proponantur, ad hoc ipsum exemplar idem facerem. oportet tamen praesentes leges et Cliniae huic probari. huius enim ea civitas est, cuius usui leges istae conduntur. *Cli.* Probe tu quidem, Megille. *Athen.* De prolixitate quidem vel brevitate scribendi curare nimis ineptum est. non enim brevissima aut longissima, sed optima sunt, ut arbitror, eligenda. atque et in legibus paulo ante propositis non duplicitate solum altera magis, quam altera, ad virtutem confert: sed quod de duplici medicorum genere dictum est, rectissime est appositum. quod quidem legislatorum nullus unquam cogitasse videtur. nam cum liceat duobus quibusdam ad ferendas leges, vi persuasioneque uti: ad turbam disciplinae exper-

καθ' ὅσον οἷόν τε ἐπὶ τὸν ἄπειρον παιδείας ὄχλον τῷ ἑτέρῳ χρῶνται μόνον· οὐ γὰρ πειθοῖ κεραννύντες τὴν μάχην νομοθετοῦσιν, ἀλλ' ἀκράτῳ μόνον τῇ βίᾳ. ἐγὼ δέ, ὦ μακάριοι, καὶ τρίτον ἔτι περὶ τοὺς νόμους ὁρῶ γίγνεσθαι δέον οὐδαμῇ τὰ νῦν γιγνόμενον.

ΚΛ. Τὸ ποῖον δὴ λέγεις;

ΑΘ. Ἐξ αὐτῶν ὧν νῦν διειλέγμεθα ἡμεῖς κατὰ θεόν τινα γεγονός. σχεδὸν γὰρ ἐξ ὅσου περὶ τῶν νόμων ἤργμεθα λέγειν ἐξ ἐωθινοῦ μεσημβρία τε γέγονε καὶ ἐν ταύτῃ παγκάλῃ ἀπαπαύλῃ τινὶ γεγόναμεν, οὐδὲν ἀλλ' ἢ περὶ νόμων διαλεγόμενοι, νόμους δὲ ἄρτι μοι δοκοῦμεν λέγειν ἄρχεσθαι, τὰ δ' ἔμπροσθεν ἦν πάντα ἡμῖν προοίμια νόμων. τί δὲ ταῦτ' εἴρηκα; τόδ' εἰπεῖν βουληθείς, ὅτι λόγων πάντων καὶ ὅσων φωνῆ κεκοινώνηκε προοίμιά τ' ἔστι καὶ σχεδὸν οἷόν τινες ἀνακινήσεις, ἔχουσαί τινα ἔντεχνον ἐπιχείρησιν χρήσιμον πρὸς τὸ μέλλον περαίνεσθαι. καὶ δή που κιθαρῳδικῆς ᾠδῆς λεγομένων νόμων καὶ πάσης Μούσης προοίμια θαυμαζῶς ἐσπουδασμένα πρόκειται. τῶν δὲ ὄντως νόμων ὄντων, οὓς δὴ πολιτικοὺς εἶναί φαμεν, οὐδεὶς πώποτε οὔτ' εἶπέ τι προοίμιον οὔτε ξυνθέτης γενόμενος ἐξήνεγκεν εἰς τὸ φῶς, ὡς οὐκ ὄντος φύσει.

tem, quoad possunt, altero solum utuntur. non enim persuasione minas coniungunt, sed vim puram solummodo inferunt. Ego autem, o viri beati, tertium quiddam etiam faciundum in legibus video, quod fieri nusquam videmus. *Cli.* Quidnam? *Athen.* Quod per ea, de quibus disseruimus, nobis Deo quodam adspirante factum est. mane enim disputare de legibus coepimus, et iam meridies est, et hoc amoeno in loco commodissime requiescimus, de legibus solummodo disputantes. et nunc primum tractandarum legum principium facere mihi videmur: superiora vero cuncta exordia legum erant. quorsum haec? quia volebam dicere, quod sermonum omnium ceterorumque, quibus vocis imitatio est, exordia sunt et quasi quaedam praeludia, quae artificiosam aliquam et utilem ad rem dicendam tractationem habent. nempe illis, quae citharoedici cantus leges vocantur, et reliquae Musae, prooemia mire adinventa proponuntur. verarum autem legum, quas civiles esse dicimus, nemo unquam prooemium aliquod aut pronuntiavit aut conscriptum in lucem protulit, quasi nullum natura sit. nobis autem mora haec et dispu-

ἡμῖν δὲ ἡ νῦν διατριβὴ γεγονυῖα, ὡς ἐμοὶ δοκεῖ, σημαίνει ὡς ὄντος, οἵ τέ γε δὴ διπλοῖ ἔδοξαν νῦν δή μοι λεχθέντες νόμοι, οὐκ εἶναι ἁπλῶς οὕτω πως διπλοῖ, ἀλλὰ δύο μέν τινε, νόμος τε καὶ προοίμιον τοῦ νόμου· ὃ δὴ τυραννικὸν ἐπίταγμα ἀπεικασθὲν ἐρρήθη τοῖς ἐπιτάγμασι τοῖς τῶν ἰατρῶν οὓς εἴπομεν ἀνελευ-
723 θέρους, τοῦτ' εἶναι νόμος ἄκρατος, τὸ δὲ πρὸ τούτου ῥηθέν, πειστικὸν λεχθὲν ὑπὸ τοῦδε, ὄντως μὲν εἶναι πειστικόν, προοιμίου μὴν τοῦ περὶ λόγους δύναμιν ἔχειν. ἵνα γὰρ εὐμενῶς καὶ διὰ τὴν εὐμένειαν εὐμαθέστερον 10
τὴν ἐπίταξιν, ὃ δή ἐστιν ὁ νόμος, δέξηται ᾧ τὸν νόμον ὁ νομοθέτης λέγει, τούτου χάριν εἰρῆσθαί μοι κατεφάνη πᾶς ὁ λόγος οὗτος, ὃν πείθων εἶπεν ὁ λέγων. διὸ δὴ κατά γε τὸν ἐμὸν λόγον τοῦτ' αὐτό, προοίμιον, ἀλλ' οὐ λόγος ἂν ὀρθῶς προσαγορεύοιτο εἶναι τοῦ νόμου. ταῦτ' οὖν εἰπὼν τί τὸ μετὰ τοῦτο ἂν μοι βουληθείην εἰρῆσθαι; τόδε, ὡς τὸν νομοθέτην πρὸ πάντων τε ἀεὶ τῶν νόμων χρεών ἐστι μὴ ἀμοίρους αὐτοὺς προοιμίων ποιεῖν καὶ καθ' ἕκαστον, ᾗ διοίσουσιν ἑαυτῶν ὅσον νῦν δὴ τῷ λεχθέντε διηνεγκάτην. 20

ΚΛ. Τό γ' ἐμὸν οὐκ ἂν ἄλλως νομοθετεῖν διακελεύοιτο ἡμῖν τὸν τούτων ἐπιστήμονα.

ΑΘ. Καλῶς μὲν τοίνων, ὦ Κλεινία, δοκεῖς μοι

tatio nostra esse aliquid significare videtur. leges autem, quae modo duplices appellatae sunt, non duplices sunt simpliciter: sed duo quaedam, lex ac legis exordium. atque ea, quam tyrannico et medicorum servilium imperio comparavimus, lex mera est; quod vero ante positum fuit, dictum ab hoc persuasorium, revera ad persuadendum spectat quidem, sed vim habet exordii. nam ut benivolentius audiant legislatoris imperium, quae lex est, et propter hoc facilius suscipiant cives, iccirco tota illa oratio habita est, quae ad persuadendum est inducta. quapropter, ut mea sententia fert, non legis ratio sed prooemium totum hoc merito appellabitur. post haec autem quid insuper addi desidero? hoc sane. Oportere legislatorem exordium semper omni legi proponere, et in singulis, in quo a se ipsis differant, quatenus duo illa, quae modo relata sunt, differebant. *Cli.* Ego quidem nunquam aliter virum istarum rerum peritum leges ferre desiderarem. *Athen.* Probe mihi, Clinia, eo dixisse videris,

τό γε τοσοῦτον λέγειν, ὅτι πᾶσί γε νόμοις ἔστι προοίμια καὶ ὅτι πάσης ἀρχόμενον νομοθεσίας χρὴ προτιθέναι παντὸς τοῦ λόγου τὸ πεφυκὸς προοίμιον ἑκάστοις· οὐ γὰρ σμικρὸν τὸ μετὰ τοῦτ' ἐξὶ ῥηθησόμενον, οὐδ' ὀλίγον διαφέρον ἢ σαφῶς ἢ μὴ σαφῶς αὐτὰ μνημονεύεσθαι· τὸ μέντοι μεγάλων πέρι λεγομένων νόμων καὶ σμικρῶν εἰ ὁμοίως προοιμιάζεσθαι προστάττοιμεν, οὐκ ἂν ὀρθῶς λέγοιμεν. οὐδὲ γὰρ ᾄσματος οὐδὲ λόγου παντὸς δεῖ τὸ τοιοῦτον ὁρᾶν, καί τοι πέφυκέ γε εἶναι πᾶσιν, ἀλλ' οὐ χρηστέον ἅπασιν· αὐτῷ δὲ τῷ τε ῥήτορι καὶ τῷ μελῳδῷ καὶ τῷ νομοθέτῃ τὸ τοιοῦτον ἑκάστοτε ἐπιτρεπτέον.

Κλ. Ἀληθέστατα δοκεῖς μοι λέγειν. ἀλλὰ δὴ μηκέτ', ὦ ξένε, διατριβὴν πλείω τῆς μελλήσεως ποιώμεθα, ἐπὶ δὲ τὸν λόγον ἐπανέλθωμεν καὶ ἀπ' ἐκείνων ἀρχώμεθα, εἴ σοι φίλον, ὧν οὐχ ὡς προοιμιαζόμενος εἶπες τότε. πάλιν οὖν, οἷόν φασιν οἱ παίζοντες, ἀμεινόνων ἐξ ἀρχῆς δευτέρων ἐπαναπολήσωμεν, ὡς προοίμιον ἀλλ' οὐ τὸν τυχόντα λόγον περαίνοντες, καθά περ ἄρτι. λάβωμεν δ' αὐτῶν ἀρχὴν ὁμολογοῦντες προοιμιάζεσθαι. καὶ τὰ μὲν περὶ θεῶν τιμῆς προγόνων τε θεραπείας, καὶ τὰ νῦν δὴ λεχθέντα ἱκανά· τὰ δ' ἑξῆς

quod omnibus legibus prooemium quoddam praeerit, et quod oportet in omnis legum conscriptionis principio omni sermoni proponere exordium legibus singulis accommodatum. non enim parvum est, quod postea dicitur: nec parum refert, clarene an obscure talia commemorentur. si autem magnarum parvarumque legum exordia similiter confici iubeamus, non recte iubebimus. non enim in cantu neque in omni sermone id faciendum. nam etsi possit in omnibus inveniri, non tamen omnibus utendum est. id autem ipsi rhetori cantorique et legum conditori semper est concedendum. *Cli.* Vera loqueris, hospes. sed ne ulterius immoremur, immo vero ad sermonem propositum iam revertamur, et ab illis incipiamus, si tibi placet, quae supra haud quasi prooemio utens dixisti. quare iterum, ut ludentes aiunt, meliora ab initio secunda resumamus, quasi certum prooemium, non contingentem sermonem ut nuper tractantes. incipiamus itaque et exordiri profiteamur. ac de honore quidem Deorum maiorumque nostrorum cura satis sit dictum: cetera trans-

πειρώμεθα λέγειν, μέχρι περ ἄν σοι πᾶν τὸ προοίμιον ἱκανῶς εἰρῆσθαι δοκῇ. μετὰ δὲ τοῦτο ἤδη τοὺς νόμους αὐτοὺς διέξει λέγειν.

p4 ΑΘ. Οὐκοῦν περὶ θεῶν μὲν καὶ τῶν μετὰ θεοὺς καὶ γονέων ζώντων τε πέρι καὶ τελευτησάντων τότε ἱκανῶς προοιμιασάμεθα, ὡς νῦν λέγομεν· τὸ δ' ἀπολειπόμενον ἔτι τοῦ τοιούτου φαίνει μοι σὺ διακελεύεσθαι τὰ νῦν οἷον πρὸς τὸ φῶς ἐπανάγειν.

ΚΛ. Παντάπασι μὲν οὖν.

ΑΘ. Ἀλλὰ μὴν μετά γε τὰ τοιαῦτα ὡς χρὴ περὶ τὰς ἑαυτῶν ψυχὰς καὶ τὰ σώματα καὶ τὰς οὐσίας σπουδῆς τε πέρι καὶ ἀνέσεως ἴσχειν, προσῆκόν τ' ἐστὶ καὶ κοινότατον ἀναπεμπαζομένους τόν τε λέγοντα καὶ τοὺς ἀκούοντας παιδείας γίγνεσθαι κατὰ δύναμιν ἐπιβόλους. ταῦτ' οὖν ἡμῖν αὐτὰ μετ' ἐκεῖνα ὄντως ἐστὶ ῥητέα τε καὶ ἀκουστέα.

ΚΛ. Ὀρθότατα λέγεις.

igere annitamur, donec tibi videaris sufficienter totum prooemium absolvisse. denique post prooemium leges aggredieris. *Athen.* Cum de Diis Deosque sequentibus, et parentibus, sive viventibus sive defunctis, satis per exordium dixerimus, ut nunc affirmamus; quod restat, ut tu iubere videris, in lucem est educendum. *Cli.* Prorsus quidem. *Athen.* Post illa vero quae ad animos, quae ad corpora, quae ad externa pertinent, quo studio colenda sint, communiter disserendo ita determinare oportet, ut et dicentes et audientes disciplinam pro viribus consequamur. haec ergo post illa nobis revera dicenda audiendaque sunt. *Cli.* Recte admodum loqueris.

E.

Ἀκούοι δὴ πᾶς ὅς περ νῦν δὴ τὰ περὶ θεῶν τε ἤκουε 726
καὶ τῶν φίλων προπατόρων· πάντων γὰρ τῶν αὑτοῦ
κτημάτων μετὰ θεοὺς ψυχὴ θειότατον, οἰκειότατον ὄν.
τὰ δ' αὑτοῦ διττὰ πάντ' ἐξιπᾶσι. τὰ μὲν οὖν κρείττω καὶ
ἀμείνω δεσπόζοντα, τὰ δ' ἥττω καὶ χείρω δοῦλα. τῶν
οὖν αὑτοῦ τὰ δεσπόζοντα ἀεὶ προτιμητέον τῶν δουλευ-
όντων. οὕτω δὴ τὴν αὑτοῦ ψυχὴν μετὰ θεοὺς ὄντας
δεσπότας καὶ τοὺς τούτοις ἑπομένους τιμᾶν δεῖν λέγων
δευτέραν ὀρθῶς παρακελεύομαι. τιμᾷ δ' ὡς ἔπος εἰπεῖν 727
ὁ ἡμῶν οὐδεὶς ὀρθῶς, δοκεῖ δέ· θεῖον γὰρ ἀγαθόν που
τιμή, τῶν δὲ κακῶν οὐδὲν τίμιον, ὁ δ' ἡγούμενος ἤ τισι

Audiat iam reliqua, quicunque paulo ante de Diis carissimisque genitoribus audiebat. cuiusque enim animus omnium suarum rerum post Deos, cum sit maxime suus, divinissimus est. quae vero sua sunt, bifariam dividuntur. et potentiora quidem ac meliora dominantur, imbecilliora vero deterioraque serviunt. Profecto quae dominantur, prae illis, quae serviunt, semper sunt honoranda. quapropter merito post dominantes Deos eosque, qui illos sequuntur, animum nostrum colendum secundoque loco habendum iubeo. nemo autem, ut breviter dicam, recte animum suum honorat, quamvis videatur. divinum enim bonum est honor: malorum autem nihil est honorandum. quisquis igitur pu-

λόγοις ἢ ᾠδαῖς αὐτὴν αὔξειν ἤ τισιν ὑπείξεσι, μηδὲν βελτίω δὲ ἐκ χείρονος αὐτὴν ἀπεργαζόμενος τιμᾷν μὲν δοκεῖ, δρᾷ δὲ τοῦτο οὐδαμῶς. αὐτίκα παῖς εὐθὺς γενόμενος ἄνθρωπος πᾶς ἡγεῖται πάντα ἱκανὸς εἶναι γιγνώσκειν, καὶ τιμᾷν οἴεται ἐπαινῶν τὴν αὑτοῦ ψυχήν, καὶ προθυμούμενος ἐπιτρέπει πράττειν ὅ τι ἂν ἐθέλῃ· τὸ δὲ νῦν λεγόμενόν ἐστιν ὡς δρῶν ταῦτα βλάπτει καὶ οὐ τιμᾷ· δεῖ δέ, ὡς φαμεν, μετά γε θεοὺς δευτέραν. οὐδέ γε ὅταν ἄνθρωπος τῶν αὑτοῦ ἑκάστοτε ἁμαρτημάτων μὴ ἑαυτὸν αἴτιον ἡγῆται καὶ τῶν πλείσων κακῶν καὶ μεγίσων, ἀλλ' ἄλλους, ἑαυτὸν δὲ ἀεὶ ἀναίτιον ἐξαιρῇ τιμῶν τὴν αὑτοῦ ψυχήν, ὡς δὴ δοκεῖ· ὁ δὲ πολλοῦ δεῖ δρᾶν τοῦτο· βλάπτει γάρ. οὐδ' ὁπόταν ἡδοναῖς παρὰ λόγον τὸν τοῦ νομοθέτου καὶ ἔπαινον χαρίζηται, τότε οὐδαμῶς τιμᾷ, ἀτιμάζει δὲ κακῶν καὶ μεταμελείας ἐμπιπλὰς αὐτήν. οὐδέ γε ὁπόταν αὖ τἀναντία τοὺς ἐπαινουμένους πόνους καὶ φόβους καὶ ἀλγηδόνας καὶ λύπας μὴ διαπονῇ καρτερῶν ἀλλ' ὑπείκῃ. τότε οὐ τιμᾷ ὑπείκων· ἄτιμον γὰρ αὐτὴν ἀπεργάζεται δρῶν τὰ τοιαῦτα ξύμπαντα. οὐδ' ὁπόταν ἡγῆται τὸ ζῆν πάντως ἀγαθὸν εἶναι, τιμᾷ, ἀτιμάζει δ' αὐτὴν καὶ τότε· τὰ γὰρ ἐν Ἅιδου πράγματα πάντα κακὰ ἡγου-

tat vel sermonibus quibusdam vel muneribus vel obsequiis animum suum extollere si meliorem ipsum ex deteriore non reddit, quanquam honorare videtur, minime tamen id facit. nam statim a pueritia unusquisque sufficientem ad omnia cognoscenda se putat, et honorare suum animum opinatur laudando, permittendoque sibi quicqnid libuerit agere. nos autem dicimus eum, qui haec agit, animum non honorare sed laedere, quem tamen secundo loco post Deos dicimus honorandum. sed neque ille eum honorat, qui peccatorum suorum plurimorumque et maximorum scelerum non se ipsum, sed alios causam ducit. qui sane, se ipsum semper excusans, honorare videtur animum: longe tamen abest, cum obsit. neque etiam, cum praeter rationem laudemque legumlatoris voluptatibus quis indulget, animum suum honorat: deiicit enim ipsum, cum malis et poenitentia repleat. Neque etiam tunc honorat: quando labores lege laudatos, metusque ac dolores ferendos non suscipit, sed cedit atque succumbit. haec enim agens omnia animum suum dedecorat. sed nec quando hanc vitam summum bonum censet: immo tunc etiam vituperat. nam animo existimanti omnia apud Manes mala esse, pro-

μένης τῆς ψυχῆς εἶναι ὑπείκει καὶ οὐκ ἀντιτείνει διδάσκων τε καὶ ἐλέγχων ὡς οὐκ οἶδεν οὐδ' εἰ τἀναντία πέφυκε μέγιστα εἶναι πάντων ἀγαθῶν ἡμῖν τὰ περὶ τοὺς θεοὺς τοὺς ἐκεῖ. οὐδὲ μὴν πρὸ ἀρετῆς ὁπόταν αὖ προτιμᾷ τις κάλλος, τοῦτ' ἔστιν οὐχ ἕτερον ἢ ἡ τῆς ψυχῆς ὄντως καὶ πάντως ἀτιμία. ψυχῆς γὰρ σῶμα ἐντιμότερον οὗτος ὁ λόγος φησὶν εἶναι ψευδόμενος· οὐδὲν γὰρ γηγενὲς Ὀλυμπίων ἐντιμότερον, ἀλλ' ὁ περὶ ψυχῆς ἄλλως δοξάζων ἀγνοεῖ ὡς θαυμαστοῦ τούτου κτήματος ἀμε-
10 λεῖ. οὐδέ γε ὁπόταν χρήματά τις ἱερᾶ κτᾶσθαι μὴ καλῶς ἢ μὴ δυσχερῶς φέρῃ κτώμενος, δώροις ἄρα τιμᾷ τότε τὴν ἑαυτοῦ ψυχήν· πάντὸς μὲν οὖν λείπει· τὸ γὰρ αὖ- 728
τῆς τίμιον ἅμα καὶ καλὸν ἀποδίδοται σμικροῦ χρυσίου· πᾶς γὰς ὅ τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος. ὡς δὲ εἰπεῖν ξυλλήβδην ὃς ἃ περ ἂν νομοθέτης αἰσχρὰ εἶναι καὶ κακὰ διαριθμούμενος τάττῃ καὶ τοὐναντίον ἀγαθὰ καὶ καλά, τῶν μὲν ἀπέχεσθαι μὴ ἐθέλῃ πάσῃ μηχανῇ, τὰ δὲ ἐπιτηδεύειν ξύμπασαν κατὰ δύναμιν, οὐκ οἶδεν ἐν τούτοις πᾶσι πᾶς ἄνθρωπος ψυχὴν
10 θειότατον ὂν ἀτιμότατα καὶ κακοσχημονέστατα διατιθείς. τὴν γὰρ λεγομένην δίκην τῆς κακουργίας τὴν μεγίστην

tinus assentitur, neque resistit, docens ipsum atque redarguens, quasi ignoret, utrum contra, quae apud Deos inferos sunt, omnium bonorum nobis maxima sint. praeterea qui virtuti formam corporis anteponit, animam vere penitusque dedecorat. nempe corpus anima venerabilius arbitratur: in quo certe vehementer errat. nihil enim terrenum rebus caelestibus venerabilius est. et qui de animo aliter sentit, quam mirabilem rem negligat, prorsus ignorat. nec rursus qui pecuniam iniuste cupit aut possidens iniuste non dolet, muneribus animum suum exornat, sed ab hoc longissime abest. quod enim venerabile pulchrumque in animo est, parvo pro auro prodit: cum totum, quod super terram quodve sub terra est aurum, virtuti compensari digne non possit. denique ut summatim dicam, quicunque illa, quae legislator turpia malaque putat esse, omni studio fugit; nec pro viribus sequitur ea, quae bona et pulchra statuit: non videt in his omnibus, quam turpiter et absurde divinissimum animum suum afficiat. maximam enim secundum iustitiam ultionem male agen-

οὐδεὶς ὡς ἔπος εἰπεῖν λογίζεται, ἔξι δ' ἡ μεγίζη τὸ ὁμοιοῦσθαι τοῖς οὖσι κακοῖς ἀνδράσιν, ὁμοιούμενον δὲ τοὺς μὲν ἀγαθοὺς φεύγειν ἄνδρας καὶ λόγους καὶ ἀποσχίζεσθαι, τοῖς δὲ προσκολλᾶσθαι διώκοντα κατὰ τὰς ξυνουσίας· προσπεφυκότα δὲ τοῖς τοιούτοις ἀνάγκη ποιεῖν καὶ πάσχειν ἃ πεφύκασιν ἀλλήλους οἱ τοιοῦτοι ποιεῖν καὶ λέγειν. τοῦτο οὖν δὴ τὸ πάθος δίκη μὲν οὐκ ἔξι, καλὸν γὰρ τό γε δίκαιον καὶ ἡ δίκη, τιμωρία δέ, ἀδικίας ἀκόλουθος πάθη, ἧς ὅ τε τυχὼν καὶ μὴ τυγχάνων ἄθλιος, ὁ μὲν οὐκ ἰατρευόμενος, ὁ δέ, ἵνα ἕτεροι πολλοὶ σώζωνται, ἀπολλύμενος. τιμὴ δ' ἐξὶν ἡμῖν, ὡς τὸ ὅλον εἰπεῖν, τοῖς μὲν ἀμείνοσιν ἕπεσθαι, τὰ δὲ χείρονα γενέσθαι δὲ βελτίω δυνατὰ τοῦτ' αὐτὶ ὡς ἄριστα ἀποτελεῖν. ψυχῆς οὖν ἀνθρώπῳ κτῆμα οὐκ ἔξιν εὐφυέστερον εἰς τὸ φυγεῖν μὲν τὸ κακὸν, ἰχνεῦσαι δὲ καὶ ἑλεῖν τὸ πάντων ἄριστον, καὶ ἑλόντα αὖ κοινῇ ξυνοικεῖν τὸν ἐπίλοιπον βίον· διὸ δεύτερον ἐτάχθη τιμῇ. τὸ δὲ τρίτον, πᾶς ἂν τοῦτό γε νοήσειε, τὴν τοῦ σώματος εἶναι κατὰ φύσιν τιμήν. τὰς δ' αὖ τιμὰς δεῖ σκοπεῖν, καὶ τούτων τίνες ἀληθεῖς καὶ ὅσαι κίβδηλοι· τοῦτο δὲ νομοθέτου. μηνύειν δή μοι φαίνεται τάδε καὶ τοιάδε

di nemo, ut uno verbo dicam, animadvertit. maxima vero est, ut quis malis hominibus similis efficiatur, factusque similis bonos et viros, et sermones fugiat, seque ipsum ab eis seiungat, improbis autem adhaereat, et eorum consuetudinem amplectatur. Enm vero, qui se his immiscuit, necesse est eadem pati et agere, quae tales agere et loqui inter se consueverunt. ac passio quidem huiusmodi iustitia non est. iustitia enim et iustum honestum est, ultio vero passio iniustitiae sequax, in quam et qui non incidit et qui incidit, malus miserque est: ille, quoniam non sanatur; iste, quoniam, ut multi serventur, ipse perit. honor autem est, ut totum simul complectar, meliora sequi et ex peioribus, quaecunque meliora fieri possunt, ad melius quam optime reducere. homini profecto nihil animo aptius et sagacius est ad fugiendum malum, ad investigandum eligendumque quod est omnium optimum, eique per omnem vitam firmiter adhaerendum. iccirco illi secundo statutus est honor. tertium deinde honorem secundum naturam quivis intelliget corpori convenire. considerare oportet, qui veri honores sint quive adulterati: quorum differentia a legislatore declaranda mihi videtur: ut puta, honore dignum cor-

τινὰς αὐτὰς εἶναι, τίμιον εἶναι σῶμα οὐ τὸ καλὸν οὐδὲ ἰσχυρὸν οὐδὲ τάχος ἔχον οὐδὲ μέγα, οὐδέ γε τὸ ὑγιεινόν — καί τοι πολλοῖς ἂν τοῦτό γε δοκοῖ —, καὶ μὴν οὐδὲ τὰ τούτων γ' ἐναντία, τὰ δ' ἐν τῷ μέσῳ ἁπάσης ταύτης τῆς ἕξεως ἐφαπτόμενα σωφρονέστατα ἅμα τε ἀσφαλέστατα εἶναι μακρῷ· τὰ μὲν ὑπέρογκα γὰρ καύνους τὰς ψυχὰς καὶ θρασείας ποιεῖ, τὰ δὲ ταπεινὰς τε καὶ ἀνελευθέρους, ὡς δ' αὕτως ἡ τῶν χρημάτων καὶ κτημάτων κτῆσις καὶ τιμήσεως κατὰ τὸν αὐτὸν ῥυθμὸν ἔχει· τὰ μὲν γὰρ ὑπέρογκα ἑκάστων τούτων ἔχθρας καὶ στάσεις ἀπεργάζεται ταῖς πόλεσι καὶ ἰδίᾳ, τὰ δ' ἐλλείποντα δουλείας ὡς τὸ πολύ. 729
μὴ δή τις φιλοχρημονείτω παίδων γ' ἕνεκα, ἵνα ὅτι πλουσιωτάτους καταλίπῃ· οὔτε γὰρ ἐκείνοις οὔτ' αὖ τῇ πόλει ἄμεινον. ἡ γὰρ τῶν νέων ἀκολάκευτος οὐσία, τῶν δ' ἀναγκαίων μὴ ἐνδεής, αὕτη πασῶν μουσικωτάτη τε καὶ ἀρίστη· ξυμφωνοῦσα γὰρ ἡμῖν καὶ ξυναρμόττουσα εἰς ἅπαντα ἄλυπον τὸν βίον ἀπεργάζεται. παισὶ δὲ αἰδῶ χρὴ πολλήν, οὐ χρυσὸν καταλείπειν. οἰόμεθα δ' ἐπιπλήττοντες τοῖς νέοις ἀναισχυντοῦσι τοῦτο καταλείψειν· τὸ δ' ἔστιν οὐκ ἐκ τοῦ νῦν παρακελεύματος τοῖς νέοις γιγνόμενον, ὃ παρακελεύονται λέγοντες ὡς

pus esse non quod formosum aut robustum est: aut velox vel magnum vel sanum, quamvis multis id videatur, neque quod contrariis modis affectum. nempe quae medium istorum omnium habitum tangunt, ea longe moderatiora tutioraque censenda sunt. altera enim inflatos et audaces animos reddunt, altera deiectos atque illiberalas. similiter pecuniarum praediorumque et census possessio se habet. excedens enim et privatim et in civitatibus inimicitias seditionesque parit, deficiens autem ut plurimum servitutem. Nemo igitur liberorum gratia pecuniis cumulandis incumbat, ut ditissimos eos relinquat. neque enim ipsis neque civitati id conducit. sed census tum adulatione vacuus tum rerum necessariarum non indigens omnium decentissimus et optimus est. nam hic nobis ad omnia consonans accommodatusque, vitam a doloribus removet. liberis ergo non auri, sed pudoris multum oportet relinquere. putamus autem verbis impudentiam iuvenum castigantes id nos facturos: sed hoc non ex ea castigatione fit, quam iuvenibus incutiunt, dicentes quod ado-

δεῖ πάντα αἰσχύνεσθαι τὸν νέον. ὁ δὲ ἔμφρων νομοθέτης τοῖς πρεσβυτέροις ἂν μᾶλλον παρακελεύοιτο αἰσχύνεσθαι τοὺς νέους, καὶ πάντων μάλιστα εὐλαβεῖσθαι μή ποτέ τις αὐτὸν ἴδῃ τῶν νέων ἢ καὶ ἐπακούσῃ δρῶντα ἢ λέγοντά τι τῶν αἰσχρῶν, ὡς ὅπου ἀναισχυντοῦσι γέροντες, ἀνάγκη καὶ νέους ἐνταῦθα εἶναι ἀναιδεστάτους· παίδεια γὰρ νέων διαφέρουσά ἐστιν ἅμα καὶ αὐτῶν οὐ τὸ νουθετεῖν, ἀλλ' ἃ περ ἂν ἄλλον νουθετῶν εἴποι τις, φαίνεσθαι ταῦτα αὐτὸν δρῶντα διὰ βίου. ξυγγένειαν δὲ καὶ ὁμογνίων θεῶν κοινωνίαν ἅπασαν ταὐτοῦ φύσιν αἵματος ἔχουσαν τιμῶν τις καὶ σεβόμενος εὔνους ἂν γενεθλίους θεοὺς εἰς παίδων αὑτοῦ σπορὰν ἴσχοι κατὰ λόγον. καὶ μὴν τό γε φίλων καὶ ἑταίρων πρὸς τὰς ἐν βίῳ ὁμιλίας εὐμενὲς ἄν τις κτῷτο μείζους μὲν καὶ σεμνοτέρας τὰς ἐκείνων ὑπηρεσίας εἰς αὐτὸν ἡγούμενος ἢ ἐκεῖνοι, ἐλάττους δ' αὖ τὰς αὐτοῦ διανοούμενος εἰς τοὺς φίλους χάριτας αὐτῶν τῶν φίλων τε καὶ ἑταίρων. εἰς μὴν πόλιν καὶ πολίτας μακρῷ ἄριστος ὃς τις πρὸ τοῦ Ὀλυμπιάσι καὶ ἁπάντων ἀγώνων πολεμικῶν τε καὶ εἰρηνικῶν νικᾶν δέξαιτ' ἂν δόξῃ ὑπηρεσίας τῶν οἰκοι νόμων, ὡς ὑπηρετηκὼς πάντων κάλλιστ' ἀνθρώπων

lescentem oporteat in omnibus verecundum esse. sapiens itaque legumlator senioribus praecipiet potius, ut sint coram iunioribus verecundi, ac summopere caveant, ne quis iuvenum eos aut videat aut audiat agentes turpe aliquid vel loquentes. nam ubi senes minus pudici sunt, necesse est ibi iuvenes impudentissimos esse. praestans enim et iuniorum et seniorum disciplina est non verborum increpatio, sed ut, quae increpando quis diceret et monendo, eadem ipse in omni vita facere videatur. quisquis praeterea cognationem et universam sub eisdem penatibus generis communionem honorat et colit, hos Deos merito propitios in liberis procreandis habebit. amicorum quoque et sodalium in vitae consuetudine summam benivolentiam consequetur, qui illorum in se obsequia maiora praestantioraque putabit quam illi: sua vero in illos beneficia minora, quam ipsi, existimabit. atqui et erga civitatem ac cives optime ille se geret, qui omni victoriae, quae in Olympicis aliisque tam belli quam pacis certaminibus comparatur, illam gloriam anteponet, quam patriis legibus ministrando nanciscitur: atque in hoc ministerio ceteris omnibus per

αὐτοῖς ἐν τῷ βίῳ. πρὸς δ' αὖ τοὺς ξένους διανοητέον
ὡς ἁγιώτατα ξυμβόλαια ὄντα· σχεδὸν γὰρ πάντ' ἐξὶ τὰ
τῶν ξένων καὶ εἰς τοὺς ξένους ἁμαρτήματα παρὰ τὰ
τῶν πολιτῶν εἰς θεὸν ἀνηρτημένα τιμωρὸν μᾶλλον·
ἔρημος γὰρ ὢν ὁ ξένος ἑταίρων τε καὶ ξυγγενῶν ἐλεει-
νότερος ἀνθρώποις καὶ θεοῖς. ὁ δυνάμενος οὖν τιμω-
ρεῖν μᾶλλον βοηθεῖ προθυμότερον· δύναται δὲ διαφε- 730
ρόντως ὁ ξένιος ἑκάστων δαίμων καὶ θεὸς τῷ ξενίῳ ξυν-
επόμενοι Διί· πολλῆς οὖν εὐλαβείας, ᾧ καὶ σμικρὸν
προμηθείας ἔνι, μηδὲν ἁμάρτημα περὶ ξένους ἁμαρ-
τόντα ἐν τῷ βίῳ πρὸς τὸ τέλος αὐτοῦ πορευθῆναι. ξε-
νικῶν δ' αὖ καὶ ἐπιχωρίων ἁμαρτημάτων τὸ περὶ τοὺς
ἱκέτας μέγιστον γίγνεται ἁμάρτημα ἑκάστοις. μεθ' οὗ γὰρ
ἱκετεύσας μάρτυρος ὁ ἱκέτης θεοῦ ἔτυχεν ὁμολογιῶν;
φύλαξ διαφέρων οὗτος τοῦ παθόντος γίγνεται, ὥστ' οὐκ
ἄν ποτε ἀτιμώρητος πάθοι ὁ τυχὼν ὧν ἔπαθε.

Τὰ μὲν οὖν περὶ γονέας τε καὶ ἑαυτὸν καὶ τὰ
ἑαυτοῦ, περὶ πόλιν τε καὶ φίλους καὶ ξυγγένειαν ξενι-
κά τε καὶ ἐπιχώρια διεληλύθαμεν σχεδὸν ὁμιλήματα.
τὸ δὲ ποῖός τις ὢν αὐτὸς ἂν κάλλιστα διαγάγοι τὸν βί-
ον, ἑπόμενον τούτῳ διεξελθεῖν, ὅσ' ἂν μὴ νόμος ἀλ-

totam vitam praestare conabitur. Ad peregrinos vero sanctissima esse foedera quisque cogitet. ferme enim omnia peregrinorum et contra peregrinos peccata prae illis, quae inter cives committuntur, ultori Deo curae sunt. nam cum peregrinus amicis cognatisque careat, maiorem et apud Deos et apud homines meretur misericordiam. quare qui magis ulcisci potest, is ad ferendum auxilium est paratior. potest autem maxime hospitalis cuiusque Daemon ac Deus, hospitalem secuti Iovem. Diligenti igitur cautione cogitandum cuique, cui non nihil est consilii, ut innocens ab iniuria in peregrinos semper vivat. sed omnium tam in peregrinos quam in cives peccatorum maximum est, quod in supplices est commissum. deus enim, per quem supplex foedus est consecutus, diligentissimus eius est custos. quare nullus in supplices sceleratus impunis abibit. Hactenus officia cuiusque in parentes, se ipsum, sua, patriam, amicos, cognatos, peregrinos atque colonos paene omnia exposuimus. qualis vero quisque quoad se ipsum esse debeat, qui optime vivere velit, nunc iam exponamus, ut non lex, sed laus et vituperatio singulos docens refrenet ma-

λ' ἔπαινος παιδεύων καὶ ψόγος ἑκάστους εὐηνίους μᾶλλον καὶ εὐμενεῖς τοῖς τεθήσεσθαι μέλλουσι νόμοις ἀπεργάζεται· ταῦτ' ἐξῆ μετὰ τοῦτο ἡμῖν ῥητέον. Ἀλήθεια δὴ πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις· ἧς ὁ γενήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη, ἵνα ὡς πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ. πιστὸς γάρ· ὁ δὲ ἄπιστος, ᾧ φίλον ψεῦδος ἑκούσιον· ὅτῳ δὲ ἀκούσιον, ἄνους. ἆρ' οὐδέτερον ζηλωτόν· ἄφιλος γὰρ δὴ πᾶς ὅ γε ἄπιστος καὶ ἀμαθής, χρόνου δὲ προϊόντος γνωσθεὶς εἰς τὸ χαλεπὸν γῆρας ἐρημίαν αὐτῷ πᾶσαν κατεσκευάσατο ἐπὶ τέλει τοῦ βίου, ὥς τε ζώντων καὶ μὴ ἑταίρων καὶ παίδων σχεδὸν ὁμοίως ὀρφανὸν αὐτῷ γενέσθαι τὸν βίον. Τίμιος μὲν δὴ καὶ ὁ μηδὲν ἀδικῶν· ὁ δὲ μηδ' ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου· ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀντάξιος ἑτέρων μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν. ὃ δὲ καὶ ξυγκολάζων εἰς δύναμιν τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος οὗτος ἀναγορευέσθω νικηφόρος ἀρετῇ. τὸν αὐτὸν δὴ τοῦτον ἔπαινον καὶ περὶ σωφροσύνης χρὴ λέγειν καὶ περὶ φρονήσεως, καὶ ὅσα

gis, et obtemperatiores ferendis legibus faciat. atque haec nobis deinceps dicenda sunt. veritas profecto tum Diis tum hominibus dux omnium est bonorum: cuius qui felix beatusque futurus est, statim ab initio particeps esse debet, ut in veritate plurimum tempus vitam agat. fidus hic certe est: infidus autem, qui sponte mentitur; qui vero non sponte, amens. quorum neutrum optabile est. nam et infidus et amens ab amicitia admodum alienus: ac procedente tempore cognitus in tantam in odiosa senecta vitaeque termino solitudinum incidit, ut, seu vivant sive decesserint amici ac filii, paene similiter orbam vitam misere agat. honorandus certe est, qui nihil iniuriatur: qui vero nec alios id facere patitur, duplici honore, immo etiam magis est honorandus. ille enim uni, hic multis hominibus comparatur, cum principibus ceterorum iniuriam nuntiet: qui autem una etiam cum magistratibus iniuriam, quoad potest, ulciscitur, is magnus perfectusque in civitate vir praeconio praedicetur. nam virtute cunctis excellit. eadem quoque temperantiae et prudentiae laus est.

ἄλλα τις ἀγαθὰ κέκτηται δυνατὰ μὴ μόνον αὐτὸν ἔχειν ἀλλὰ καὶ ἄλλοις μεταδιδόναι, καὶ τὸν μὲν μεταδιδόντα ὡς ἀκρότατον χρὴ τιμᾶν, τὸν δ' αὖ μὴ δυνάμενον ἐθέλοντα δὲ ἐᾶν δεύτερον, τὸν δὲ φθονοῦντα καὶ ἑκόντα μηδενὶ κοινωνὸν διὰ φιλίας γιγνόμενον ἀγαθῶν τινῶν αὐτὸν μὲν ψέγειν, τὸ δὲ κτῆμα μηδὲν μᾶλλον διὰ τὸν 731
κεκτημένον ἀτιμάζειν, ἀλλὰ κτᾶσθαι κατὰ δύναμιν. φιλονεικείτω δὲ ἡμῖν πᾶς πρὸς ἀρετὴν ἀφθόνως. ὁ μὲν γὰρ τοιοῦτος τὰς πόλεις αὔξει, ἁμιλλώμενος μὲν αὐτός, τοὺς ἄλλους δὲ οὐ κολούων διαβολαῖς· ὁ δὲ φθονερὸς τῇ τῶν ἄλλων διαβολῇ δεῖν οἰόμενος ὑπερέχειν αὐτός τε ἧττον συντείνει πρὸς ἀρετὴν τὴν ἀληθῆ, τούς τε ἀνθαμιλλωμένους εἰς ἀθυμίαν καθίζησι τῷ ἀδίκως ψέγεσθαι, καὶ διὰ ταῦτα ἀγύμναστον τὴν πόλιν ὅλην εἰς ἅμιλλαν ἀρετῆς ποιῶν σμικροτέραν αὐτὴν πρὸς εὐδοξίαν τὸ ἑαυτοῦ μέρος ἀπεργάζεται. θυμοειδῆ μὲν δὴ χρὴ πάντα ἄνδρα εἶναι, πρᾷον δὲ ὡς ὅτι μάλιστα· τὰ γὰρ τῶν ἄλλων χαλεπὰ καὶ δυσίατα ἢ καὶ τὸ παράπαν ἀνίατα ἀδικήματα οὐκ ἔστιν ἄλλως ἐκφυγεῖν ἢ μαχόμενον καὶ ἀμυνόμενον νικῶντα καὶ τῷ μηδὲν ἀνιέναι κολάζοντα, τοῦτο δὲ ἄνευ θυμοῦ γενναίου ψυχῆ πᾶσα ἀδύνατος δρᾶν. τὰ δ' αὖ τῶν ὅσοι ἀδικοῦσι

Et qui aliis bonis abundat, quae in alios quoque transfundi possunt, si ceteros participes efficit, tanquam vir summus est honorandus: qui autem id facere vellet quidem, sed non potest, secundo loco habendus est, invidum vero, qui sponte nihil boni ceteris conferat, vituperare debemus: nec propter hominem, qui male possidet, rem ipsam vituperare, sed eam pro viribus adipisci. certet praeterea apud nos quisque de virtute absque invidia. qui enim sic agit, civitatem suam amplificat, cum ipse quidem contendat, et alios calumniis non detineat. invidus vero, dum ceteris derogando putat praestare, et ipse minus recte ad veram tendit virtutem: et concertatores iniusta vituperatione tardiores efficit: ideoque vehemens acquirendae virtutis studium e civitate tollens, ipsam pro virili parte gloriae amplitudine privat. oportet praeterea unumquemque animosum esse: ac maxime mitem. nam aliorum iniurias, quae vel difficile vel nullo modo sanari possunt, non possumus aliter effugere quam pugna, defensione, victoria et nullius peccati remissione: quod absque animositate facere nemo potest. in iis autem iniuriis, quae tales sunt ut sa-

δίκαια καὶ τὰ ἀγαθὰ καὶ τὰ καλὰ κακῶς κρίνει, τὸ 732a
αὐτοῦ πρὸ τοῦ ἀληθοῦς ἀεὶ τιμᾶν δεῖν ἡγούμενος.
οὔτε γὰρ ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ χρὴ τόν γε μέγαν
ἄνδρα ἐσόμενον ςέργειν, ἀλλὰ τὰ δίκαια, ἐάν τε πα-
ρ᾽ αὐτῷ ἐάν τε παρ᾽ ἄλλῳ μᾶλλον πραττόμενα τυγχάνῃ. ἐκ
ταὐτοῦ δὲ ἁμαρτήματος τούτου καὶ τὸ τὴν ἀμαθίαν τὴν
παρ᾽ αὐτῷ δοκεῖν σοφίαν εἶναι γέγονε πᾶσιν· ὅθεν οὐκ
εἰδότες ὡς ἔπος εἰπεῖν οὐδὲν οἰόμεθα τὰ πάντα εἰδέναι,
οὐκ ἐπιτρέποντες δὲ ἄλλοις ἃ μὴ ἐπιςάμεθα πράττειν,
ἀναγκαζόμεθα ἁμαρτάνειν αὐτοὶ πράττοντες. διὸ πάν-
τα ἄνθρωπον χρὴ φεύγειν τὸ σφόδρα φιλεῖν αὐτόν,
τὸν δ᾽ ἑαυτοῦ βελτίω διώκειν δεῖ, μηδεμίαν αἰσχύ-
νην ἐπὶ τῷ τοιούτῳ πρόσθεν ποιούμενον. Ἃ δὲ
σμικρότερα μὲν τούτων καὶ λεγόμενα πολλάκις ἐςί,
χρήσιμα δὲ τούτων οὐχ ἧττον, χρὴ λέγειν ἑαυτὸν
ἀναμιμνήσκοντα· ὡς περ γάρ τινος ἀπορρέοντος ἀεὶ
δεῖ τοὐναντίον ἐπιῤῥεῖν, ἀνάμνησις δ᾽ ἐςὶν ἐπιῤῥοὴ
φρονήσεως ἀπολειπούσης. διὸ δὴ γελώτων τε εἴργεσθαι
χρὴ τῶν ἐξαισίων καὶ δακρύων, παραγγέλλειν δὲ παντὶ
πάντ᾽ ἄνδρα, καὶ ὅλην περιχάρειαν πᾶσαν ἀποκρυπτό-
μενον καὶ περιωδυνίαν εὐσχημονεῖν πειρᾶσθαι, κατὰ

amatum, qui amat. quapropter qui se amat, cum se ipsum magis quam veritatem honorandum putet, quid iustum, bonum, pulchrum sit, male iudicat. decet sane eum, qui magnus vir futurus est, neque se ipsum neque sua diligere; sed iusta semper, sive a se ipso seu ab alio quovis gerantur. ex hoc ipso delicto accidit omnibus, ut, ignorantiam suam esse sapientiam opinarentur. hinc fit ut, quamvis nihil, ut ita dicam, sciamus, scire tamen omnia arbitremur. cum vero nec aliis committamus facultatem agendi, quae ipsi facere ignoramus, facientes ipsi errare compellimur. quamobrem nimium sui ipsius amorem fugere quisque debet, et meliores sequi, nullo rubore verecundiae impeditus. Sunt et alia nonnulla, quae et minora his sunt et saepe dicuntur. sed cum nihilominus utilia sint, ea quoque dicenda: nam commemoratione opus est. semper enim, quasi aliquid effluat, contra aliquid oportet influere. Recordatio vero est prudentiae deficientis influxus. profecto a risu nimio et lacrimis abstinendum, omnibusque est ab omnibus praecipiendum, ut, laetitia nimia tristitiaque compressa, honesto in habitu se contineant, sive

τε εὐπραγίας ἑσαμένου τοῦ δαίμονος ἑκάστου καὶ κατὰ τύχας οἷον πρὸς ὑψηλὰ καὶ ἀνάντη δαιμόνων ἀνθιστα-μένων τισὶ πράξεσιν, ἐλπίζειν δ' ἀεὶ τοῖς γε ἀγαθοῖσι τὸν θεὸν ἃ δωρεῖται, πόνων μὲν ἐπιπιπτόντων ἀντὶ μει-ζόνων ἐλάττους ποιήσειν τῶν τ' αὐ νῦν παρόντων ἐπὶ τὸ βέλτιον μεταβολάς, περὶ δὲ τὰ ἀγαθὰ τὰ ἐναντία τού-των ἀεὶ πάντ' αὐτοῖς παραγενήσεσθαι μετ' ἀγαθῆς τύχης. ταύταις δὴ ταῖς ἐλπίσιν ἕκαστον χρὴ ζῆν καὶ ταῖς ὑπομνήσεσι πάντων τῶν τοιούτων, μηδὲν φειδόμενον, ἀλλ' ἀεὶ κατά τε παιδιὰς καὶ σπουδὰς ἀναμιμνήσκοντα ἕτερόν τε καὶ ἑαυτὸν, σαφῶς.

Νῦν οὖν δὴ περὶ μὲν ἐπιτηδευμάτων, οἷα χρὴ ἐπιτηδεύειν, καὶ περὶ αὐτοῦ ἑκάστου, ποῖόν τινα χρεὼν εἶναι, λέλεκται σχεδὸν ὅσα θεῖά ἐστι· τὰ δ' ἀνθρώπινα νῦν ἡμῖν οὐκ εἴρηται. δεῖ δέ· ἀνθρώποις γὰρ διαλεγό-μεθα, ἀλλ' οὐ θεοῖς. ἔστι δὴ φύσει ἀνθρώπειον μάλιστα ἡδοναὶ καὶ λῦπαι καὶ ἐπιθυμίαι, ἐξ ὧν ἀνάγκη τὸ θνη-τὸν πᾶν ζῷον ἀτεχνῶς οἷον ἐξηρτῆσθαί τε καὶ ἐκκρε-μάμενον εἶναι σπουδαῖς ταῖς μεγίσαις. δεῖ δὴ τὸν κάλ-λιστον βίον ἐπαινεῖν μὴ μόνον ὅτι τῷ σχήματι κρατεῖ πρὸς εὐδοξίαν, ἀλλὰ καὶ ὡς, ἄν τις ἐθέλῃ γεύεσθαι. καὶ μὴ νέος ὢν φυγὰς ἀπ' αὐτοῦ γένηται, κρατεῖ καὶ

in felicitate quemquam daemon cuiusque sistat, seu per fortunae casus, tanquam ad ardua difficiliaque tendentibus, operationibus quibusdam daemones aversantes insurgant. sperare semper boni viri debent, munera, quae talibus viris dare Deus solet, sibi non defutura: ac si qui graves labores inciderint, Deum leniores eos facturum et praesentia in melius commutaturum, bona vero contra omnia una cum bona fortuna sibi affore. Hac spe singuli vivant, et tam ioco quam serio et se et ceteros ad frequentem horum commemorationem sedulo adhortentur. Sed iam, quae facere unusquisque debeat, et qualis esse, quo ad divina spectat officia, dictum est: humana vero nondum explanavimus. dicenda autem sunt. hominibus enim, non Diis, praecipimus. sunt porro natura maxime humana, voluptates, dolores cupiditatesque. ex quibus necesse est mortale omne animal quasi pendere, et maximo quidem cum studio. laudanda certe honestissima vita est, non solum quia gloriae habitum superat, verum etiam quia, si quis velit gustare, nec inde statim a iuventu-

τούτῳ ὃ πάντες ζητοῦμεν, τῷ χαίρειν πλείω, ἐλάττω δὲ λυπεῖσθαι παρὰ τὸν βίον ἅπαντα. ὡς δὲ ἔξαι τοῦτο σαφές, ἂν γεύηταί τις ὀρθῶς, ἑτοίμως καὶ σφόδρα φανήσεται. ἡ δὲ ὀρθότης τίς; τοῦτο ἤδη παρὰ τοῦ λόγου χρὴ λαμβάνοντα σκοπεῖν εἴτε οὕτως ἡμῖν κατὰ φύσιν πέφυκεν εἴτε ἄλλως παρὰ φύσιν. βίον δὲ χρὴ παρὰ βίον ἡδίω καὶ λυπηρότερον ὧδε σκοπεῖν. ἡδονὴν βουλόμεθα ἡμῖν εἶναι, λύπην δὲ οὔθ' αἱρούμεθα οὔτε βουλόμεθα, τὸ δὲ μηδέτερον ἀντὶ μὲν ἡδονῆς οὐ βουλόμεθα, λύπης δὲ ἀλλάττεσθαι βουλόμεθα· λύπην δὲ ἐλάττω μετὰ μείζονος ἡδονῆς βουλόμεθα, ἡδονὴν δὲ ἐλάττω μετὰ μείζονος λύπης οὐ βουλόμεθα, ἴσα δ' ἀντὶ ἴσων ἑκάτερα τούτων οὐχ ὡς βουλόμεθα ἔχοιμεν ἂν διασαφεῖν. ταῦτα δὲ πάντα ἐξὶ πλήθει καὶ μεγέθει καὶ σφοδρότησιν ἰσότησί τε καὶ ὅσα ἐναντία ἐξὶ πᾶσι τοῖς τοιούτοις, πρὸς βούλησιν διαφέροντά τε καὶ μηδὲν διαφέροντα πρὸς αἵρεσιν ἑκάσων. οὕτω δὴ τούτων ἐξ ἀνάγκης διακεκοσμημένων, ἐν ᾧ μὲν βίῳ ἔνεσι πολλὰ ἑκάτερα καὶ μεγάλα καὶ σφοδρά, ὑπερβάλλει δὲ τὰ τῶν ἡδονῶν, βουλόμεθα, ἐν ᾧ δὲ τὰ ἐναντία, οὐ βουλόμεθα· καὶ αὖ ἐν ᾧ ὀλίγα ἑκάτερα καὶ σμικρὰ καὶ ἠρεμαῖα, ὑπερβάλλει δὲ

te fugere, eo quoque superat quod omnes expetimus, ut per totam vitam laetemur magis quam doleamus. quod vero erit ita, si quis recte gustet, facile valdeque patebit. quo autem pacto recte id fiat, ratione iam considerandum est, sive ita nobis secundum naturam insit, sive aliter praeter naturam. vitam itaque ad vitam incundiorem et molestiorem ita conferre oportet. voluptatem adesse nobis volumus, dolorem vero nec eligimus neque volumus. medium autem statum pro voluptate nequaquam volumus, doloris tamen loco accipimus. dolorem etiam minorem maiore cum voluptate volumus: voluptatem minorem cum maiore dolore nequaquam. Pari autem modo utrumque horum habere nos nolle, possumus declarare. haec omnia multitudine, magnitudine, intensione, aequalitate, horumque contrariis, ad electionem singulorum voluntatemque et differunt et non differunt. cum haec necessario sic se habeant, eam quidem vitam, in qua cum utraque multa magna intensaque fiunt, voluptates tamen excedunt, volumus: eam autem, in qua contraria, nolumus. Atque eam rursus, in qua, licet utraque parva et remissa

τὰ λυπηρά, οὐ βουλόμεθα, ἐν ᾧ δὲ τἀναντία, βουλόμεθα· ἐν ᾧ δ' αὖ βίῳ ἰσορρόπει, καθά περ ἐν τοῖς πρόσθεν, δεῖ διανοεῖσθαι τὸν ἰσόρροπον βίον, ὡς τῶν μὲν ὑπερβαλλόντων τῷ φίλῳ ἡμῖν βουλόμεθα, τῶν δ' αὖ τοῖς ἐχθροῖς οὐ βουλόμεθα. πάντας δὴ δεῖ διανοεῖσθαι τοὺς βίους ἡμῶν ὡς ἐν τούτοις ἐνδεδεμένοι πεφύκασι, καὶ δεῖ διανοεῖσθαι ποίους φύσει βουλόμεθα· εἰ δέ τι παρὰ ταῦτα ἄρα φαμὲν βούλεσθαι, διά τινα ἄγνοιαν καὶ ἀπειρίαν τῶν ὄντων βίων αὐτὰ λέγομεν. τίνες δὴ καὶ πόσοι εἰσὶ βίοι, ὧν πέρι δεῖ προελόμενον τὸ βουλητόν τε καὶ ἑκούσιον ἀβουλήτου τε καὶ ἀκουσίου ἰδόντα, εἰς νόμον ἑαυτῷ ταξάμενον, τὸ φίλον ἅμα καὶ ἡδὺ καὶ ἄριστόν τε καὶ κάλλιστον ἑλόμενον ζῆν ὡς οἷόν τ' ἐστὶν ἄνθρωπον μακαριώτατα; λέγωμεν δὴ σώφρονα βίον ἕνα εἶναι καὶ φρόνιμον ἕνα καὶ ἕνα τὸν ἀνδρεῖον, καὶ τὸν ὑγιεινὸν βίον ἕνα ταξώμεθα· καὶ τούτοις οὖσι τέτταρσιν ἐναντίους ἄλλους τέτταρας, ἄφρονα, δειλόν, ἀκόλαστον, νοσώδη. σώφρονα μὲν οὖν βίον ὁ γιγνώσκων θήσει πρᾶον ἐπὶ πάντα καὶ ἠρεμαίας μὲν λύπας, ἠρεμαίας δὲ ἡδονάς, μαλακὰς δὲ ἐπιθυμίας καὶ ἔρωτας οὐκ ἐμμανεῖς παρεχόμενον· ἀκόλα-

sint, molesta tamen superant, nolumus: sed eam, in qua contraria, volumus. si autem aequalia sunt, de aequali vita, ut diximus, cogitandum. volumus enim, quae illo excedunt, quod nos diligimus: et nolumus, quae contrario superant. considerare oportet, quemadmodum omnes vitae nostrae in his connexae naturaliter sunt, et quas natura velimus. si quid autem praeter haec velle nos dicimus, ignorantia quadam imperitiaque vitarum id dicimus. quaenam igitur et quot vitae sunt, in quibus nosse oportet, quod volendum et quod nolendum, quod sponte fieri solet et quod contra: hisque cognitis legem sibi ipsi praescribere: atque inde quod sibi amicum est simul et iucundum et optimum pulcherrimumque eligere, ut quis, quoad homini licet, beatissime vivat? temperatam vitam unam esse dicamus, prudentem alteram, tertiam fortem, sanam denique quartam. et quatuor his alias contrarias quatuor statuamus, imprudentem, ignavam, intemperatam, aegrotantem. quisquis vitam noverit temperatam, mitem in omnibus et moderatam ponet: quae dolores quietos, voluptates remissas, molles cupiditates, amores minime furiosos

ξον δὲ ὀξὺν ἐπὶ πάντα καὶ σφοδρὰς μὲν λύπας, σφοδρὰς δὲ ἡδονάς, συντόνους δὲ καὶ οἰστρώδεις ἐπιθυμίας τε καὶ ἔρωτας ὡς οἷόν τ' ἐμμανεστάτους παρεχόμενον· ὑπερβαλλούσας δὲ ἐν μὲν τῷ σώφρονι βίῳ τὰς ἡδονὰς τῶν ἀχθηδόνων, ἐν δὲ τῷ ἀκολάστῳ τὰς λύπας τῶν ἡδονῶν μεγέθει καὶ πλήθει καὶ πυκνότησιν. ὅθεν ὁ μὲν ἡδίων ἡμῖν τῶν βίων, ὁ δὲ λυπηρότερος ἐξ ἀνάγκης συμβαίνει κατὰ φύσιν γίγνεσθαι, καὶ τόν γε βουλόμενον ἡδέως ζῆν οὐκέτι παρείκει ἑκόντα γε ἀκολάστως ζῆν, ἀλλ' ἤδη δῆλον ὡς εἰ τὸ νῦν λεγόμενον ὀρθόν, πᾶς ἐξ ἀνάγκης ἄκων ἐστὶν ἀκόλαστος· ἢ γὰρ δι' ἀμαθίαν ἢ δι' ἀκράτειαν ἢ δι' ἀμφότερα τοῦ σωφρονεῖν ἐνδεὴς ὢν ζῇ ὁ πᾶς ἀνθρώπινος ὄχλος. ταὐτὰ δὲ περὶ νοσώδους τε καὶ ὑγιεινοῦ βίου διανοητέον, ὡς ἔχουσι μὲν ἡδονὰς καὶ λύπας, ὑπερβάλλουσι δὲ ἡδοναὶ μὲν λύπας ἐν ὑγιείᾳ, λῦπαι δὲ ἡδονὰς ἐν νόσοις. ἡμῖν δὲ ἡ βούλησις τῆς αἱρέσεως τῶν βίων οὐχ ἵνα τὸ λυπηρὸν ὑπερβάλλῃ· ὅπου δ' ὑπερβάλλεται, τοῦτον τὸν βίον ἡδίω κεκρίκαμεν. ὁ δὴ σώφρων τοῦ ἀκολάστου καὶ ὁ φρόνιμος τοῦ ἄφρονος, φαῖμεν ἄν, καὶ ὁ τῆς ἀνδρίας τοῦ τῆς δειλίας ἐλάττονα καὶ σμικρότερα καὶ μανότερα

habeat. Intemperatam vero in omnibus acrem, quae doloribus vehementibus et vehementibus voluptatibus, cupiditatibus ardentibus furiosisque et insanis mirum in modum amoribus agitetur. Sed superant in vita quidem temperata voluptates, dolores autem superantur: in vita intemperata contra voluptates a doloribus superantur magnitudine, multitudine, atque frequentia. Quo fit, ut necessario altera nobis secundum naturam vita iucundior sit, altera tristior, et volentem iucunde vivere, sponte intemperanterque vivere non permittat. constat enim, si, quod nunc dictum est, recte est dictum, quod necesse sit intemperatum omnem praeter sententiam esse talem, quippe vel per ignorantiam vel incontinentiam vel utramque omnis humana turba expers temperantiae vivit. Similiter de sana et aegrotante vita est cogitandum, quod et dolores et voluptates habeat: sed in sanitate voluptates excedant, in aegrotatione dolores. Nostra vero voluntas in deligendo genere vitae non est, ut dolor superet, ubi autem superatur, eam vitam iucundiorem iudicavimus. Temperatus igitur intemperato, prudens imprudente, fortis ignavo, utraque pauciora, minora, rarioraque habet; et alter voluptatibus, al-

ἔχων ἀμφότερα, τῇ τῶν ἡδονῶν ἑκάτερος ἑκάτερον ὑπερβάλλων, τῇ τῆς λύπης ἐκείνων ὑπερβαλλόντων αὐτούς, ὁ μὲν ἀνδρεῖος τὸν δειλόν, ὁ δὲ φρόνιμος τὸν ἄφρονα, νικῶσιν, ὥς τε ἡδίους εἶναι τοὺς βίους τῶν βίων, σώφρονα καὶ ἀνδρεῖον καὶ φρόνιμον καὶ ὑγιεινὸν δειλοῦ καὶ ἄφρονος καὶ ἀκολάζου καὶ νοσώδους, καὶ ξυλλήβδην τὸν ἀρετῆς ἐχόμενον κατὰ σῶμα ἢ καὶ κατὰ ψυχὴν τοῦ τῆς μοχθηρίας ἐχομένου βίου ἡδίω τε εἶναι καὶ τοῖς ἄλλοις ὑπερέχειν ἐκ περιττοῦ κάλλει καὶ ὀρθότητι καὶ ἀρετῇ καὶ εὐδοξίᾳ, ὥς τε τὸν ἔχοντα αὐτὸν ζῆν εὐδαιμονέστερον ἀπεργάζεσθαι τοῦ ἐναντίου τῷ παντὶ καὶ ὅλῳ.

Καὶ τὸ μὲν προοίμιον τῶν νόμων ἐνταυθοῖ λεχθὲν τῶν λόγων τέλος ἐχέτω, μετὰ δὲ τὸ προοίμιον ἀναγκαῖόν που νόμον ἕπεσθαι, μᾶλλον δὲ τό γε ἀληθὲς νόμους πολιτείας ὑπογράφειν. καθά περ οὖν δή τινα ξυνυφὴν ἢ καὶ πλέγμ᾽ ἄλλ᾽ ὁτιοῦν, οὐκ ἐκ τῶν αὐτῶν οἷόν τ᾽ ἐξὶ τήν τε ἐφυφὴν καὶ τὸν ϛήμονα ἀπεργάζεσθαι, διαφέρειν δ᾽ ἀναγκαῖον τὸ τῶν ϛημόνων πρὸς ἀρετὴν γένος· ἰσχυρόν τε γὰρ καί τινα βεβαιότητα ἐν τοῖς τρόποις εἰληφός, τὸ δὲ μαλακώτερον καὶ ἐπιεικείᾳ τινὶ δικαίᾳ χρώμενον. ὅθεν δὴ τοὺς μεγάλας ἀρχὰς ἐν ταῖς πόλεσιν ἄρξοντας δεῖ διακρίνεσθαί τινα τρόπον ταύτῃ καὶ τοὺς σμικρᾷ παιδείᾳ βασανισθέντας ἑκάστοτε

ter doloribus superat: ita ut fortis ignavum, prudens amentem, temperatus petulantem, sanus aegrotantem voluptate superet. utque in summam redigantur, quae vita virtutis corpore aut animo particeps est, ea est iucundior altera: et pulchritudine, rectitudine, potentia et gloria praestat: ita ut qui in ea constitutus est, felicius contrario in omnibus vivat. Verum exordium legum iam finem accipiat. Post exordium legem sequi necesse est: immo vero leges deinceps reipublicae revera conscribendae sunt. Quemadmodum igitur quaecunque texuntur, non ex similibus omnino trama stamineque texuntur, sed staminis genus robustius atque firmius est, tramae mollius, ut facilius cedat: ita homines, qui magistratus gesturi in civitate sunt, eodem modo discerni semper oportet, et eos, qui in leviori eruditione comprobantur.

κατὰ λόγον· ἐξὸν γὰρ δὴ δύο πολιτείας εἶδη, τὸ μὲν ἀρχῶν καταστάσεις ἑκάστοις, τὸ δὲ νόμοι ταῖς ἀρχαῖς ἀποδοθέντες.

Τὸ δὲ πρὸ τούτων ἁπάντων δεῖ διανοεῖσθαι τὰ τοιάδε. πᾶσαν ἀγέλην ποιμὴν καὶ βουκόλος τροφεύς τε ἵππων, καὶ ὅσα ἄλλα τοιαῦτα, παραλαβὼν οὐκ ἄλλως μή ποτε ἐπιχειρήσῃ θεραπεύειν, ἢ πρῶτον μὲν τὸν ἑκάστῃ προσήκοντα καθαρμὸν καθάρῃ τῇ ξυνοικήσει, διαλέξας δὲ τά τε ὑγιῆ καὶ τὰ μὴ καὶ τὰ γενναῖα καὶ ἀγεννῆ τὰ μὲν ἀποπέμψῃ πρὸς ἄλλας τινὰς ἀγέλας, τὰ δὲ θεραπεύσῃ, διανοούμενος ὡς μάταιος ἂν ὁ πόνος εἴη καὶ ἀνήνυτος περί τε σῶμα καὶ ψυχάς, ἃς φύσις καὶ πονηρὰ τροφὴ διεφθαρκυῖα προσαπόλλυσι τὸ τῶν ὑγιῶν καὶ ἀκηράτων ἠθῶν τε καὶ σωμάτων γένος ἐν ἑκάστοις τῶν κτημάτων, ἄν τις τὰ ὑπάρχοντα μὴ διακαθαίρηται. τὰ μὲν δὴ τῶν ἄλλων ζώων ἐλάττων τε σπουδὴ καὶ παραδείγματος ἕνεκα μόνον ἄξια παραθέσθαι τῷ λόγῳ, τὰ δὲ τῶν ἀνθρώπων σπουδῆς τῆς μεγίστης τῷ τε νομοθέτῃ διερευνᾶσθαι καὶ φράζειν τὸ προσῆκον ἑκάστοις καθαρμοῦ τε πέρι καὶ ξυμπασῶν τῶν ἄλλων πράξεων. αὐτίκα γὰρ τὸ περὶ καθαρμοὺς πόλεως ὧδ' ἔχον ἂν εἴη. πολλῶν οὐσῶν τῶν διακαθάρσεων αἱ μὲν ῥᾴους εἰσίν, αἱ δὲ

. . .

Duae vero sunt in republica species: altera magistratuum, altera legum constitutio. Ante vero haec omnia ita cogitandum est: Cum pastor atque bubulcus equorumque curator ceterique huiusmodi greges et armenta susceperint, non antea curant, quam singulis convenientem purgationem adhibeant. porro sanis ab aegrotantibus generosisque ab ignavis segregatis, altera in greges alios mittent, altera vero curabunt, non ignorantes aliter frustra se tam pro corpore quam pro anima laboraturos. nempe naturae et educationis pravitas ita corrumpit, ut nisi quis segreget sanorum integrorumque morum ac corporum genus, in singulis contagione interimant. sed de ceteris quidem animalibus minor cura, et exempli causa solum eorum mentio facienda. de hominibus vero maximum studium legislator habebit, ac diligenter rimabitur omnia, ut singulis consentanea scribere queat, tum de lustratione tum de ceteris omnibus actionibus. sic igitur civitatis lustrationes se habent. multae enim sunt: et aliae leviores, gra-

χαλεπώτεραι, καὶ τὰς μὲν τύραννος μὲν ὢν καὶ νομοθέτης ὁ αὐτός, ὅσαι χαλεπαί τ' εἰσὶ καὶ ἄριστα, δύναιτ' ἂν καθῆραι· νομοθέτης δὲ ἄνευ τυραννίδος καθιστὰς πολιτείαν καινὴν καὶ νόμους, εἰ καὶ τὸν πρᾴστατον τῶν καθαρμῶν καθήρειεν, ἀγαπητῶς ἂν καὶ τὸ τοιοῦτον δράσειεν. ἔστι δ' ὁ μὲν ἄριστος ἀλγεινός, καθάπερ ὅσα τῶν φαρμάκων τοιουτότροπα, ὁ τῇ δίκῃ μετὰ τιμωρίας εἰς τὸ κολάζειν ἄγων, θάνατον ἢ φυγὴν τῇ τιμωρίᾳ τὸ τέλος ἐπιτιθείς· τοὺς γὰρ μέγιστα ἐξημαρτηκότας, ἀνιάτους δὲ ὄντας, μεγίστην δὲ οὖσαν βλάβην πόλεως, ἀπαλλάττειν εἴωθεν· ὁ δὲ πρᾴτερός ἐστι τῶν καθαρμῶν ὁ τοιόσδε ἡμῖν· ὅσοι διὰ τὴν τῆς τροφῆς ἀπορίαν τοῖς ἡγεμόσιν ἐπὶ τὰ τῶν ἐχόντων μὴ ἔχοντες ἑτοίμους αὑτοὺς ἐνδείκνυνται παρεσκευακότες ἕπεσθαι, τούτοις ὡς νοσήματι πόλεως ἐμπεφυκότι δι' εὐφημίας ἀπαλλαγὴν ὄνομα ἀποικίαν τιθέμενος, εὐμενῶς ὅτι μάλιστα ἐξεπέμψατο. παντὶ μὲν οὖν νομοθετοῦντι τοῦτο ἁμῶς γέ πως κατ' ἀρχὰς δρασέον, ἡμῖν μὴν ἔτι τούτων ἀτοπώτερα τὰ περὶ ταῦτ' ἐστὶ συμβεβηκότα νῦν· οὔτε γὰρ ἀποικίαν οὔτ' ἐκλογήν τινα καθάρσεως δεῖ μηχανᾶσθαι πρὸς τὸ παρόν, οἷον δέ τινων ξυῤῥεόντων ἐκ πολλῶν τὰ μὲν πηγῶν τὰ δὲ χειμάῤῥων εἰς μίαν

viores aliae. ac si quis tyrannus simul legisque lator sit, difficilibus et optimis lustrationibus uti poterit. legis autem latori absque tyrannide, qui leges novas atque rempublicam fundet, satis erit factum, si purgationem mitissimam adhibuerit. nam exactissima purificatio, quemadmodum medicina quae validior corporibus adhibetur, doloris plena est et cum ultione iusta poenam infert, morte peccantem aut exsilio damnans. eos enim, qui maxima peccata patrarunt, si insanabiles sint, quoniam civitati maxime noceant, removere omnino solet. mitior vero purgatio huiusmodi nobis est: qui enim ob inopiam victus duces quaerunt, hisque sponte se offerunt, secuturi ex egestate adversus eos qui non egent, hos, tanquam morbum civitatem labefactantem, honesto coloniae nomine benigne expellit. haec omni legumlatori quodammodo a principio, ut diximus, facienda. nobis autem difficiliora quaedam in praesentia evenerunt. nam neque coloniam neque delectum aliquem purgandi gratia ad praesens excogitare oportet; sed, quasi ex multis fontibus torrentibusque aqua ad lacunas easdem con-

λίμνην ἀναγκαῖον προσέχοντας τὸν νοῦν φυλάττειν ὅπως ὅτι καθαρώτατον ἔξει τὸ συῤῥέον ὕδωρ, τὰ μὲν ἐξαντλοῦντας, τὰ δ' ἀποχετεύοντας καὶ παρατρέποντας. πόνος δ', ὡς ἔοικε, καὶ κίνδυνός ἐστιν ἐν πάσῃ κατασκευῇ πολιτικῇ. ἀλλ' ἐπεί περ λόγῳ γ' ἐστὶ τὰ νῦν ἀλλ' οὐκ ἔργῳ πραττόμενα, πεπεράνθω τε ἡμῖν ἡ ξυλλογὴ καὶ κατὰ νοῦν ἡ καθαρότης αὐτῆς ἔσῳ ξυμβεβηκυῖα· τοὺς γὰρ κακοὺς τῶν ἐπιχειρούντων εἰς τὴν νῦν πόλιν ὡς πολιτευσομένους ξυνιέναι, πειθοῖ πάσῃ καὶ ἱκανῷ χρόνῳ διαβασανίσαντες, διακωλύσωμεν ἀφικνεῖσθαι, τοὺς δ' ἀγαθοὺς εἰς δύναμιν εὐμενεῖς ἵλεώς τε προσαγώμεθα.

Τόδε δὲ μὴ λανθανέτω γιγνόμενον ἡμᾶς εὐτύχημα, ὅτι καθά περ εἴπομεν τὴν τῶν Ἡρακλειδῶν ἀποικίαν εὐτυχεῖν, ὡς γῆς καὶ χρεῶν ἀποκοπῆς καὶ νομῆς πέρι δεινὴν καὶ ἐπικίνδυνον ἔριν ἐξέφυγεν, ἣν νομοθετεῖσθαι ἀναγκασθείσῃ πόλει τῶν ἀρχαίων οὔτε ἐᾷν οἷόν τε ἀκίνητον οὐδὲν οὔτ' αὖ κινεῖν δυνατόν ἐστί τινα τρόπον, εὐχὴ δὲ μόνον ὡς ἔπος εἰπεῖν λείπεται καὶ σμικρὰ μετάβασις εὐλαβὴς ἐν πολλῷ χρόνῳ σμικρὸν μεταβιβάζουσιν, ἥδε, τῶν κινούντων ἀεὶ κεκτη-

fluat, necesse est observare, ut, qui undique confluit humor, partim exhauriendo, effundendoque, partim derivando atque divertendo quam mundissimus sit. labor autem, ut videtur, et periculum est in omni constitutione civili. quoniam vero non re nunc, sed verbis agitur, perfectus iam nobis sit delectus, sitque, ut desideramus, facta purgatio. nam malos, qui hanc civitatem adire gubernaturi contendent, cum satis longo tempore examinaverimus, omni persuasione accedere prohibemus: probos autem pro viribus benevolos propitiosque facientes alliciemus. sed neque latere nos debet, quam feliciter nobiscum actum sit. quippe quemadmodum Herculidarum coloniam felicem fuisse diximus, quoniam dividendorum agrorum innovandarumque tabularum gravem et periculosam contentionem effugit, quam quidem rem veterum civitas leges ferre coacta, neque praetermittere potest omnino neque movere quodammodo: ita ferme et nobis accidisse videtur. solum ergo, ut ita dicam, restat votum, parvaque mutatio cauta, parum longo in tempore transmutantibus. est autem haec, ut in his mutationibus faciendis una cum debitoribus mul-

μένων μὲν αὐτῶν γῆν ἄφθονον ὑπάρχειν, κεκτημένων δὲ καὶ ὀφειλέτας αὐτοῖς πολλούς, ἐθελόντων τε τούτων πη τοῖς ἀπορουμένοις δι' ἐπιείκειαν κοινωνεῖν τὰ μὲν ἀφιέντας, τὰ δὲ νεμομένους, ἅμῃ γέ πη τῆς μετριότητος ἐχομένους καὶ πενίαν ἡγουμένους εἶναι μὴ τὸ τὴν οὐσίαν ἐλάττω ποιεῖν ἀλλὰ τὸ τὴν ἀπλησίαν πλείω. σωτηρίας τε γὰρ ἀρχὴ μεγίστη πόλεως αὕτη γίγνεται, καὶ ἐπὶ ταύτης οἷον κρηπῖδος μονίμου ἐποικοδομεῖν δυνατὸν ὅν τινα ἂν ὕστερον ἐποικοδομῇ τις κόσμον πολιτικὸν προσήκοντα τῇ τοιαύτῃ καταξάσει· ταύτης δὲ σαθρᾶς οὔσης τῆς μεταβάσεως οὐκ εὔπορος
737 ἡ μετὰ τοῦτα πολιτικὴ πρᾶξις οὐδεμία γίγνοιτ' ἂν πόλει. ἣν ἡμεῖς μέν, ὡς φαμέν, ἐκφεύγομεν· ὅμως δὲ εἰρῆσθαί γε ὀρθότερον, εἰ καὶ μὴ ἐξεφεύγομεν, ὅπῃ ποτ' ἂν ἐποιούμεθα αὐτῆς τὴν φυγήν. εἰρήσθω δὴ νῦν ὅτι διὰ τοῦ μὴ φιλοχρηματεῖν μετὰ δίκης, ἄλλη δ' οὐκ ἔξιν οὔτ' εὐρεῖα οὔτε ξενὴ τῆς τοιαύτης μηχανῆς διαφυγή. καὶ τοῦτο μὲν οἷον ἔρμα πόλεως ἡμῖν κείσθω τὰ νῦν· ἀνεγκλήτους γὰρ δεῖ τὰς οὐσίας πρὸς ἀλλήλους κατασκευάζεσθαι ἁμῶς γέ πως, ἢ μὴ προϊέναι πρότερον εἰς τοὔμπροσθεν ἑκόντα εἶναι τῆς ἄλλης κατασκευῆς, οἷς ἦ παλαιὰ ἐγκλήματα πρὸς ἀλλήλους καὶ ὅσοις νοῦ

tis multos quoque agros cives possideant, velintque humaniter cum egenis communicare, partim mittendo, partim accipiendo, colentes mediocritatem, existimantesque paupertatem non in diminutione pecuniarum sed in acquirendi insatiabili cupiditate consistere. hoc enim civitati maximum est salutis initium, super quo, quasi stabili fundamento, aedificare postea, quicquid civitati decorum et huic constitutioni congruum sit, facile quisque poterit. sed si fundamentum hoc debile ruinosumque fuerit, nulla civilis opera prospere deinde succedet. itaque nos, id fugientes, immo vero verbis, quo pacto fugiendum sit, ostendentes, dicimus nullam esse aliam aut latam aut angustam fugiendi viam, nisi ut colamus iustitiam neque acquirendi cupiditatem sequamur. atque hoc iam nobis quasi quoddam civitatis sustentaculum et praesidium sit fundatum. census enim, quos sibi cives paraverint, careant quodammodo crimine oportet, vel ulterius in acquirendo progredi ultro desistant, quibus invicem vetera crimina habentur, quique vel paulum mentis compotes sint. illi autem,

καὶ σμικρὸν μετῇ. οἷς δὲ, ὡς ἡμῖν, νῦν θεὸς ἔδωκε καινήν τε πόλιν οἰκίζειν καὶ μή τινας ἔχθρας εἶναί πω πρὸς ἀλλήλους, τούτους ἔχθρας αὐτοῖς αἰτίους γενέσθαι διὰ τὴν διανομὴν τῆς γῆς τε καὶ οἰκήσεων οὐκ ἀνθρώπινος ἂν εἴη μετὰ κάκης πάσης ἀμαθία.

Τίς οὖν δὴ τρόπος ἂν εἴη τῆς ὀρθῆς διανομῆς; πρῶτον μὲν τὸν αὐτῶν ὄγκον τοῦ ἀριθμοῦ δεῖ τάξασθαι, πόσον εἶναι χρεών. μετὰ δὲ τοῦτο τὴν διανομὴν τῶν πολιτῶν, καθ' ὁπόσα μέρη πλήθει καὶ ὁπηλίκα
o διαιρετέον αὐτοῖς, ἀνομολογητέον· ἐπὶ δὲ ταῦτα τήν τε γῆν καὶ τὰς οἰκήσεις ὅτι μάλιστα ἴσας ἐπινεμητέον. ὅσος δὴ πλήθους ἱκανὸς οὐκ ἄλλως ὀρθῶς γίγνοιτ' ἂν λεχθεὶς ἢ πρὸς τὴν γῆν καὶ τὰς τῶν πλησιοχώρων πόλεις, γῆς μέν, ὁπόση πόσους σώφρονας ὄντας ἱκανὴ τρέφειν, πλείονος δ' οὐδὲν προσδεῖ, πλήθους δέ, ὁπόσοι τοὺς προσχώρους ἀδικοῦντάς τε αὐτοὺς ἀμύνασθαι δυνατοὶ καὶ γείτοσιν ἑαυτῶν ἀδικουμένοις βοηθῆσαι μὴ παντάπασιν ἀπόρως δύναιντ' ἄν. ταῦτα δ' ἰδόντες τὴν χώραν καὶ τοὺς γείτονας ὁριούμεθα ἔργῳ καὶ λό-
o γοις· νῦν δὲ σχήματος ἕνεκα καὶ ὑπογραφῆς, ἵνα περαίνηται, πρὸς τὴν νομοθεσίαν ὁ λόγος ἴτω. πεντάκις μὲν χίλιοι ἕξωσαν καὶ τετταράκοντα, ἀριθμοῦ τινὸς

quibus Deus dedit, quemadmodum et nobis, novae civitatis constitutionem, in qua nullae inimicitiae sunt, si propter habitationum agrorumque distributionem inimicitiarum sibi causas dederint, non humanae cuiusdam sed pessimae ignorantiae crimine notabuntur. Quis erit igitur rectae distributionis modus? primum quidem, quantum esse oporteat, numerum constituendum censeo: deinde asseverandum, per quod qualesque partes distributio sit civibus facienda: postremo agros habitationesque ipsas aequaliter quam maxime dividendum. quanta autem multitudo sufficiens sit, non aliter recte dicitur, quam agrorum vicinarumque civitatum collatione. Ager quidem tantus sit, ut tot moderatis hominibus sufficiat, neque maiori opus. tot vero esse debent, ut iniuriantes vicinos possint depellere, et iniuriam patientibus auxiliari. his inspectis, et agrum et vicinos opere verbisque definiemus. nunc vero exempli descriptionisque causa, ut res ipsa perficiatur, ad ferendam legem sermo descendat. quinquis mille et quadraginta sint convenientis cuiusdam numeri gratia agrorum

ἕνεκα προσήκοντος, γεωμόροι τε καὶ ἀμυνοῦντες τῇ νομῇ· γῇ δὲ καὶ οἰκήσεις ὡσαύτως τὰ αὐτὰ μέρη διανεμηθήτω, γενόμενα ἀνὴρ καὶ κλῆρος ξυννομή. δύο μὲν δὴ μέρη τοῦ παντὸς ἀριθμοῦ τὸ πρῶτον νεμηθήτω, μετὰ δὲ ταῦτα τρία τὸν αὐτόν· πέφυκε γὰρ καὶ τέτταρα καὶ πέντε καὶ μέχρι τῶν δέκα ἐφεξῆς. δεῖ δὴ περὶ ἀριθμῶν τό γε τοσοῦτον πάντα ἄνδρα νομοθετοῦντα νενοηκέναι, τίς ἀριθμὸς καὶ ποῖος πάσαις πό-
739 λεσι χρησιμώτατος ἂν εἴη. λέγωμεν δὴ τὸν πλείσας καὶ ἐφεξῆς μάλιστα διανομὰς ἐν αὑτῷ κεκτημένον. ὁ μὲν δὴ πᾶς εἰς πάντα πάσας τομὰς εἴληχεν· ὁ δὲ τῶν τετταράκοντα καὶ πεντακισχιλίων εἴς τε πόλεμον καὶ ὅσα πρὸς εἰρήνην πρὸς ἅπαντα τὰ ξυμβόλαια καὶ κοινωνήματα, εἰσφορῶν τε πέρι καὶ διανομῶν, οὐ πλείους μιᾶς θεουσῶν ἑξήκοντα δύναιτ' ἂν τέμνεσθαι τομῶν, ξυνεχεῖς δὲ ἀπὸ μιᾶς μέχρι τῶν δέκα. ταῦτα μὲν οὖν δὴ καὶ κατὰ σχολὴν δεῖ βεβαίως λαβεῖν, οἷς ἂν ὁ νό-
e μος προστάττῃ λαμβάνειν· ἔχει γὰρ οὖν οὐκ ἄλλως ἢ ταύτῃ, δεῖ δὲ αὐτὰ ῥηθῆναι τῶνδ' ἕνεκα κατοικίζοντι πόλιν. οὔτ' ἂν καινὴν ἐξ ἀρχῆς τις ποιῇ οὔτ' ἂν πα- 9
λαιὰν διεφθαρμένην ἐπισκευάζηται, περὶ θεῶν γε καὶ

participes distributionisque defensores. ager autem et habitationes similiter easdem in partes distribuantur, ut vir et portio cum distributione conveniant. et inprimis duas in partes totius numeri partitio fiat, deinde in tres: licet et in quarta et in quinta, et usque ad decem deinceps. oportet certe omnem legislatorem tantum de numeris intelligere, ut quis qualisque numerus singulis civitatibus commodissimus sit, non ignoret. dicamus autem eum numerum, qui plurimas et praesertim deinceps ordine dispositas in se ipso distributiones recipit. porro universus numerus omnes in omnia partitiones habet. sed quinquies millium et quadraginta numerus et ad bellum et ad pacem, ad contraria omnia, societates, tributa, distributiones, non in plures, quam unam de sexaginta partes incidi potest: (Aliter legitur. in sexaginta partes una dumtaxat indigentes incidi potest.) ab una autem ad decem usque continuas. verum in otio haec illis firmiter capienda, quibus lege res ista commissa sit. atque haec non aliter quam ita se habent. dicenda haec sunt huius rei gratia illi, qui civitatem condit, nempe sive ab initio novam fundet seu veterem dissipatamque restituat, circa Deos et sacra, quae singulis

ἱερῶν, ἅττα τε ἐν τῇ πόλει ἑκάστοις ἱδρύσθαι δεῖ καὶ ὧν τινῶν ἐπονομάζεσθαι θεῶν ἢ δαιμόνων, οὐδεὶς ἐπιχειρήσει κινεῖν νοῦν ἔχων ὅσα ἐκ Δελφῶν ἢ Δωδώνης ἢ παρ' Ἄμμωνος ἤ τινες ἔπεισαν παλαιοὶ λόγοι ὁπῃδή τινας πείσαντες, φασμάτων γενομένων ἢ ἐπιπνοίας λεχθείσης θεῶν, πείσαντες δὲ θυσίας τελεταῖς συμμίκτους κατεχήσαντο εἴτε αὐτόθεν ἐπιχωρίους εἴτ' οὖν Τυρρηνικὰς εἴτε Κυπρίας εἴτ' ἄλλοθεν ὁθενοῦν, καθιέρωσαν τοῖς τοιούτοις λόγοις φήμας τε καὶ ἀγάλματα
O καὶ βωμοὺς καὶ ναούς, τεμένη τε τούτων ἑκάστοις ἐτεμένισαν· τούτων νομοθέτῃ τὸ σμικρότατον ἁπάντων οὐδὲν κινητέον, τοῖς δὲ μέρεσιν ἑκάστοις θεὸν ἢ καί τινα ἥρωα ἀποδοτέον, ἐν δὲ τῇ τῆς γῆς διανομῇ πρώτοις ἐξαίρετα τεμένη τε καὶ πάντα τὰ προσήκοντα ἀποδοτέον, ὅπως ἂν ξύλλογοι ἑκάστων τῶν μερῶν κατὰ χρόνους γιγνόμενοι τοὺς προσταχθέντας εἴς τε τὰς χρείας ἑκάστας εὐμάρειαν παρασκευάζωσι καὶ φιλοφρονῶνταί τε ἀλλήλους μετὰ θυσιῶν καὶ οἰκειῶνται καὶ γνωρίζωσιν,
οὗ μεῖζον οὐδὲν πόλει ἀγαθόν, ἢ γνωρίμους αὐτοὺς
10 αὑτοῖς εἶναι· ὅπου γὰρ μὴ φῶς ἀλλήλοις ἐστὶν ἀλλήλων ἐν τοῖς τρόποις ἀλλὰ σκότος, οὔτ' ἂν τιμῆς τῆς ἀξίας

statim in civitate deceat, et a quibuscunque Diis vel daemonibus nominari, nemo mentis compos innovare illa conabitur, quae ex Delphis aut Dodone aut Hammone accepta sunt, vel prisca quadam oratione per visiones inspirationesque Deorum sunt asserta: quibus approbatis veteres sacra solennitatibus mixta constituerint, sive ab indigenis orta sive Tyrrena dicantur sive Cypria sive undecunque volueris. et his sermonibus famam traditam simulacraque consecrarint, aras quoque et templa sacrosque horum singulis agros statuerint. in his omnibus nec minimum quid legum conditor innovabit. sed Deum partibus singulis vel daemonem vel heroëm aliquem tribuet. et in agrorum distributione primis lucos agrosque eximios et consentanea omnia dedicabit, ut singularum partium coetus, statutis facti temporibus, et facultatem sui facilius ad quoslibet usus exhibeant, et sacrificando alter alterum benigne accipiant: unde et domestici fiant invicem seque cognoscant. quo quidem nihil civitati melius, quam videlicet ut cives invicem seque cognoscant. ubi enim non lux inter cives est in eorum moribus, sed tenebrae, ibi nec honores pro

οὔτ' ἀρχῶν οὔτε δίκης ποτέ τις ἂν τῆς προσηκούσης ὀρθῶς τυγχάνοι. δεῖ δὴ πάντα ἄνδρα ἓν πρὸς ἓν τοῦτο σπεύδειν ἐν πάσαις πόλεσιν, ὅπως μήτε αὐτὸς κίβδηλός ποτε φανεῖται ὁτῳοῦν, ἁπλοῦς δὲ καὶ ἀληθὴς ἀεί, μήτε ἄλλος τοιοῦτος ὢν αὐτὸν διαπατήσει.

739 Ἡ δὴ μετὰ τοῦτο φορά, καθά περ πεττῶν ἀφ' ἱεροῦ, τῆς τῶν νόμων κατασκευῆς ἀήθης οὖσα τάχ' ἂν θαυμάσαι τὸν ἀκούοντα τὸ πρῶτον ποιήσειεν· οὐ μὴν ἀλλ' ἀναλογιζομένῳ καὶ πειρωμένῳ φανεῖται δευτέρως ἂν πόλις οἰκεῖσθαι πρὸς τὸ βέλτιστον. τάχα δ' οὐκ ἄν τις προσδέξαιτο αὐτὴν διὰ τὸ μὴ σύνηθες νομοθέτῃ μὴ τυραννοῦντι· τὸ δ' ἔστιν ὀρθότατα, εἰπεῖν μὲν τὴν ἀρίστην πολιτείαν καὶ δευτέραν καὶ τρίτην, δοῦναι δὲ εἰπόντα αἵρεσιν ἑκάστῳ τῷ τῆς συνοικήσεως κυρίῳ. ποιῶμεν δὴ κατὰ τοῦτον τὸν λόγον καὶ τὰ νῦν ἡμεῖς, εἰπόντες ἀρετῇ πρώτην πολιτείαν καὶ δευτέραν καὶ τρίτην· τὴν δὲ αἵρεσιν Κλεινίᾳ τε ἀποδιδῶμεν τὰ νῦν καὶ εἴ τις ἄλλος ἂν δή ποτε ἐθελήσειεν ἐπὶ τὴν τῶν τοιούτων ἐκλογὴν ἐλθὼν κατὰ τὸν ἑαυτοῦ τρόπον ἀπονείμασθαι τὸ φίλον αὑτῷ τῆς αὑτοῦ πατρίδος. Πρώτη μὲν τοίνυν πόλις τέ ἐστι καὶ πολιτεία καὶ νόμοι ἄριστοι,

dignitate neque magistratus recte dabuntur, neque ius suum cuique tribui poterit. nihil est autem, si unum uni conferas, in quo maius studium in omnibus civitatibus ponere quisque debeat, quam in hoc: ut nec ipse adulterinus esse unquam videatur, simplex semper ac verus: nec alius ipsum talis fraudetur. Verum iactus, qui modo sequitur in ipsa legum positione, sicut in tessaris, ut proverbium habet, a sacro cum insolitus sit, forte primum mirari auditorem faciet. cogitanti tamen atque experto videbitur, secundo loco quoad optimum statum civitas sic institui. fortasse quispiam ipsam non suscipiet, quia consuetus non fuerit cum legumlatore more tyrannico in ferendis legibus non utenti. recte sane agetur, si optima respublica et secunda et tertia proponatur, deturque optio cuique, arbitratu suo quamlibet electuro. id nunc similiter nos agamus. et cum primam virtute rempublicam secundamque et tertiam exposuerimus, Cliniae optionem demus, et cuique volenti, haec suo more deligere, partique suae, quod sibi placet, tribuere. prima igitur civitas est et respublica legesque optimae, ubi quam maxime per universam civitatem

ὅπου τὸ πάλαι λεγόμενον ἂν γίγνηται κατὰ πᾶσαν τὴν πόλιν ὅτι μάλιστα· λέγεται δὲ ὡς ὄντως ἐστὶ κοινὰ τὰ φίλων. τοῦτ' οὖν εἴ τέ που νῦν ἔστιν εἴτ' ἔσται ποτέ, κοινὰς μὲν γυναῖκας, κοινοὺς δὲ εἶναι παῖδας, κοινὰ δὲ χρήματα ξύμπαντα, καὶ πάσῃ μηχανῇ τὸ λεγόμενον ἴδιον πανταχόθεν ἐκ τοῦ βίου ἅπαν ἐξῄρηται, μεμηχάνηται δ' εἰς τὸ δυνατὸν καὶ τὰ φύσει ἴδια κοινὰ ἁμῇ γέ πῃ γεγονέναι, οἷον ὄμματα καὶ ὦτα καὶ χεῖρας κοινὰ μὲν ὁρᾶν δοκεῖν καὶ ἀκούειν καὶ πράττειν, ἐπαινεῖν τε αὖ καὶ ψέγειν καθ' ἓν ὅτι μάλιστα ξύμπαντας ἐπὶ τοῖς αὐτοῖς χαίροντας καὶ λυπουμένους, καὶ κατὰ δύναμιν οἵ τινες νόμοι μίαν ὅτι μάλιστα πόλιν ἀπεργάζονται, τούτων ὑπερβολὴ πρὸς ἀρετὴν οὐδεὶς ποτε ὅρον ἄλλον θέμενος ὀρθότερον οὐδὲ βελτίω θήσεται. ἡ μὲν δὴ τοιαύτη πόλις, εἴ τέ που θεοὶ ἢ παῖδες θεῶν αὐτὴν οἰκοῦσι πλείους ἑνός, οὕτω διαζῶντες εὐφραινόμενοι κατοικοῦσι· διὸ δὴ παράδειγμά γε πολιτείας οὐκ ἄλλῃ χρὴ σκοπεῖν, ἀλλ' ἐχομένους ταύτης τὴν ὅτι μάλιστα τοιαύτην ζητεῖν κατὰ δύναμιν. ἣν δὲ νῦν ἡμεῖς ἐπικεχειρήκαμεν, εἴη τε ἂν γενομένη πως ἀθανασίας ἐγγύτατα καὶ ἡ μία δευτέρως· τρίτην δὲ

priscum illud proverbium locum habet, quo fertur vere amicorum omnia esse communia. certe in hoc praecipue virtutis erit terminus, quo nullus poni rectior poterit, si alicubi videlicet aut fit istud aut unquam fiet, ut communes mulieres sint, communes et liberi: communis quoque omnis pecunia; omnique studio, quod proprium dicitur, undique e vita remotum sit: usque adeo, ut ea etiam, quae propria singulis natura sunt, communia quoddammodo fiant: ut et oculi et aures et manus communem in usum cernere, audire, agere videantur: laudentque et vituperent eadem similiter omnes, eisdem rebus gaudentes eisdemque dolentes: ac denique pro viribus sub his legibus vivant, quae unam quam maxime civitatem efficiunt. talem utique civitatem sive Dii alicubi sive Deorum filii uno plures habitent, ita viventes eamque servantes omni certe referti gaudio vivunt. quapropter rei publicae exemplar non alibi considerare oportet, sed hac inspecta talem maxime pro viribus quaerere. ea vero, quam hic nos aggressi sumus, si fiat, proxime quodammodo ad immortalitatem accedet: ac si non primo, sal-

μετὰ ταῦτα, ἐὰν θεὸς ἐθέλῃ, διαπερανούμεθα. νῦν δ' οὖν ταύτην τίνα λέγομεν καὶ πῶς γενομένην ἂν τοιαύτην;

Νειμάσθων μὲν δὴ πρῶτον γῆν τε καὶ οἰκίας, καὶ μὴ κοινῇ γεωργούντων, ἐπειδὴ τὸ τοιοῦτον μεῖζον ἢ κατὰ τὴν νῦν γένεσιν καὶ τροφὴν καὶ παίδευσιν εἴρηται· νεμέσθων δ' οὖν τοιῷδε διανοίᾳ πως, ὡς ἄρα δεῖ τὸν λαχόντα τὴν λῆξιν ταύτην νομίζειν μὲν κοινὴν αὐτὴν τῆς πόλεως ξυμπάσης, πατρίδος δὲ οὔσης τῆς χώρας θεραπεύειν αὐτὴν δεῖ μειζόνως ἢ μητέρα παῖδας, τῷ καὶ δέσποιναν θεὸν αὐτὴν οὖσαν θνητῶν ὄντων γεγονέναι· ταὐτὰ δ' ἔχειν διανοήματα καὶ περὶ τοὺς ἐγχωρίους θεούς τε ἅμα καὶ δαίμονας. ὅπως δ' ἂν ταῦτα εἰς τὸν ἀεὶ χρόνον οὕτως ἔχοντα ὑπάρχῃ, τάδε προσδιανοητέον, ὅσαι εἰσὶ τὰ νῦν ἡμῖν ἐξίαι διανεμηθεῖσαι τὸν ἀριθμόν, ταύτας δεῖν ἀεὶ τοσαύτας εἶναι καὶ μή τέ τι πλείους γίγνεσθαι μή τέ τί ποτε ἐλάττους. ὧδ' οὖν τὸ τοιοῦτον βεβαίως γίγνοιτο περὶ πᾶσαν πόλιν, ὁ λαχὼν τὸν κλῆρον καταλειπέτω ἀεὶ ταύτης τῆς οἰκήσεως ἕνα μόνον κληρονόμον τῶν ἑαυτοῦ παίδων, ὃν ἂν αὐτῷ μάλιστα ἢ φίλον, διάδοχον καὶ θεραπευτὴν θεῶν καὶ γένους καὶ πόλεως, τῶν τε ζώντων καὶ ὅσους ἂν ἤδη τέλος εἰς τὸν τότε χρόνον ἔχῃ.

tem secundo loco erit una. sed de tertia postea, si voluerit Deus, determinabimus. nunc vero, quaenam haec sit et quo pacto talis fiat, consideremus. primum igitur domos agrosque sortiantur, nec agros communiter colant. nam maius hoc est quam haec generatio nutritioque et educatio ferre possit. sed hac mente ita distribuant, ut putent singuli, sortem suam toti civitati esse communem. quippe cum ea regio patria sit, magis eam colere debent quam filii matrem. haec enim, cum Dea sit, domina mortalium est. idem quoque de indigenis tam Diis quam daemonibus est censendum: sed ut ista sic omne per tempus durent, danda opera est; ut, quot nunc foci numero distributi sunt, totidem semper futuri sint, neque plures unquam neque pauciores. quod ita firmiter in omni civitate fiet, si sortem nactus quisque semper unum de filiis suis tantum, quem malit, domus ipsius heredem relinquat et successorem, cultoremque Deorum et civitatis et generis tam viventium quam defunctorum. ex reliquis autem filiis, si plures uno sibi nati sunt, feminas quidem secun-

τοὺς δὲ ἄλλους παῖδας, οἷς ἂν πλείους ἐνῇς γίγνωνται, θηλείας τε ἐκδόσθαι κατὰ νόμον τὸν ἐπιταχθησόμενον, ἄῤῥενάς τε, οἷς ἂν τῆς γενέσεως ἐλλείπῃ τῶν πολιτῶν, τούτοις υἱεῖς διανέμειν, κατὰ χάριν μὲν μάλιστα· ἐὰν δέ τισιν ἐλλείπωσι χάριτες, ἢ πλείους ἐπίγονοι γίγνωνται θήλεις ἢ τινες ἄῤῥενες ἑκάστων, ἢ καὶ τοὐναντίον ὅταν ἐλάττους ὦσι παίδων ἀφορίας γενομένης, πάντων τούτων ἀρχὴν ἣν ἂν θώμεθα μεγίστην καὶ τιμιωτάτην, αὕτη σκεψαμένη τί χρὴ χρῆσθαι τοῖς περιγενομένοις ἢ τοῖς ἐλλείπουσι, ποριζέτω μηχανὴν ὅτι μάλιστα ὅπως αἱ πεντακισχίλιαι καὶ τετταράκοντα οἰκήσεις ἀεὶ μόνον ἔσονται. μηχαναὶ δ' εἰσὶ πολλαί· καὶ γὰρ ἐπισχέσεις γενέσεως οἷς ἂν εὔρους ᾖ γένεσις, καὶ τοὐναντίον ἐπιμέλειαι καὶ σπουδαὶ πλήθους γεννημάτων εἰσὶ τιμαῖς τε καὶ ἀτιμίαις καὶ νουθετήσεσι πρεσβυτῶν περὶ νέους διὰ λόγων νουθετητικῶν ἁπαντῶσαι, δύνανται ποιεῖν ὃ λέγομεν. καὶ δὴ καὶ τό γε τέλος, ἂν πᾶσα ἀπορίᾳ περὶ τὴν ἀνίσωσιν τῶν πεντακισχιλίων καὶ τετταράκοντα οἴκων γίγνηται, ἐπίχυσις δ' ὑπερβάλλουσα ἡμῖν πολιτῶν διὰ φιλοφροσύνην τὴν τῶν ξυνοικούντων ἀλλήλοις ξυμβαίνῃ καὶ ἀπορῶμεν, τὸ παλαιὸν που ὑπάρχει μηχάνημα, ὃ πολλάκις εἴπομεν, ἐκπομπὴ ἀποικιῶν φίλη

dum legem, quae sancietur, collocet: mares autem civibus illis, quibus filii non sunt, adoptione committat, maxime quidem per gratiam. si vero gratiae quosdam deficiant, aut si plures vel mares vel feminae singulis nascantur, aut contra si pauciores, cum mulieres forte foecundae non fuerint, de omnibus istis maximus praestantissimusque magistratus, quid fieri oporteat, diligenter consideret: viamque omnino inveniat, sive abundet filiorum foetura sive deficiat, ut quinquies mille et quadraginta habitationes solummodo semper maneant. multae autem sunt viae. nam et prohiberi genere, cum nimis affluit, potest: et contra, cum opus est, ut augeatur, curari: ac vel honore vel dedecore monitionibusque senum ad iuvenes licet ad eam homines adhortari. denique hinc omnis defectus oritur et inopia, cum quinquies millium et quadraginta domorum numerus non servatur. quod si ob nimium in procreandis liberis studium sic aucta sit civitas, ut numeri modum excedat atque ita inopia rerum prematur, vetus illud repetatur consilium, quod saepe iam dictum est, ut colonia mittatur

ποιησομένων ἐπὶ τοῖς πρώτοις θύμασι καὶ δευτέροις καὶ μέχρι τριῶν, τὸν πριάμενον ἢ ἀποδόμενον ὧν ἔλαχεν οἰκοπέδων ἢ γηπέδων τὰ ἐπὶ τούτοις πρέποντα πάσχειν πάθη. γράψαντες δ' ἐν τοῖς ἱεροῖς θήσουσι κυπαριττίνας μνήμας εἰς τὸν ἔπειτα χρόνον καταγεγραμμένας· πρὸς τούτοις δ' ἔτι φυλακτήρια τούτων, ὅπως ἂν γίγνηται, κατιδήσουσιν ἐν ταύτῃ τῶν ἀρχῶν ἥ τις ἂν ὀξύτατον ὁρᾶν δοκῇ, αἱ παρὰ ταῦτα ἑκάστοτε παραγωγαὶ γιγνόμεναι μὴ λανθάνωσιν αὐτούς, ἀλλὰ κολάζωσι τὸν ἀπειθοῦντα ἅμα νόμῳ καὶ τῷ θεῷ. ὅσον γὰρ δὴ τὸ νῦν ἐπιταττόμενον ἀγαθὸν ὂν τυγχάνει πάσαις ταῖς πειθομέναις πόλεσι τὴν ἑπομένην κατασκευὴν προσλαβόν, κατὰ τὴν παλαιὰν παροιμίαν οὐδεὶς εἴσεται ποτε κακὸς ὢν ἀλλ' ἔμπειρός τε καὶ ἐπιεικὴς ἕθεσι γενόμενος· χρηματισμὸς γὰρ οὔτ' ἔνεστι σφόδρα ἐν τῇ τοιαύτῃ κατασκευῇ, ξυνέπεταί τε αὐτῇ μηδὲ δεῖν μηδ' ἐξεῖναι χρηματίζεσθαι τῶν ἀνελευθέρων χρηματισμῶν μηδενὶ μηδένα, καθ' ὅσον ἐπονείδιστος λεγομένη βαναυσία ἦθος ἀποτρέπει ἐλεύθερον, μηδὲ τὸ παράπαν ἀξιοῦν ἐκ τῶν τοιούτων ξυλλέγειν χρήματα. Πρὸς τούτοις δ' ἔτι νόμος ἕπεται πᾶσι τούτοις, μηδ' ἐξεῖναι 742
χρυσὸν μηδὲ ἄργυρον κεκτῆσθαι μηδένα μηδενὶ ἰδι-

precaturi sint primis in sacris secundisque et tertiis, ut et emptor et venditor domiciliorum et praediorum, quae sortiti sunt, quae in his perpeti convenit, patiantur. scribent autem in sacris ad posteritatis institutionem cupressea monimenta praeterea, ut ista serventur, eorum custodiam magistratui illi committent, qui acutissime videtur inspicere: ne lateat eos, si qua forte praeter rationem hanc commercia fiant, sed quicunque legi ac Deo non obtemperat, puniatur. atqui quantum bonum sit quod modo praecipitur, suo ordine praeparatum, quantumque prosit obsequentibus civitatibus, secundum antiquum proverbium, nullus unquam pravus intelliget, sed expertus duntaxat et aequis in moribus educatus. quaestus in hac civitate non multus. neque enim oportet in ea neque licet illiberali quaestui quemquam incumbere, neque mechanicum illud et infame quaerere lucrum, quod mores generosos inquinat: neque existimare ullo pacto vilibus ex rebus et turpibus pecunias cumulandas. accedit ad haec et alia lex, quae iubet, ne quis privatus vel aurum habeat vel argentum. sed quia

ὠτῃ, νόμισμα δ' ἕνεκα ἀλλαγῆς τῆς καθ' ἡμέραν, ἣν δημιουργοῖς τε ἀλλάττεσθαι σχεδὸν ἀναγκαῖον, καὶ πᾶσιν ὀλιγωρεῖα τῶν τοιούτων μισθοὺς μισθωτοῖς, δούλοις καὶ ἐποίκοις, ἀποτίνειν. ὧν ἕνεκά φαμεν τὸ νόμισμα κτητέον αὐτοῖς μὲν ἔντιμον, τοῖς δὲ ἄλλοις ἀνθρώποις ἀδόκιμον. κοινὸν δ' Ἑλληνικὸν νόμισμα ἕνεκά τε στρατειῶν καὶ ἀποδημιῶν εἰς τοὺς ἄλλους ἀνθρώπους, οἷον πρεσβειῶν ἢ καί τινος ἀναγκαίας ἄλλης τῇ πόλει κηρυκείας, ἐκπέμπειν τινὰ ἂν δέῃ, τούτων χάριν ἀνάγκη ἑκάστοτε κεκτῆσθαι τῇ πόλει νόμισμα Ἑλληνικόν. ἰδιώτῃ δ' ἂν ἄρα ποτὲ ἀνάγκη τις γίγνηται ἀποδημεῖν, παρέμενος μὲν τοὺς ἄρχοντας ἀποδημείτω, νόμισμα δὲ ἄν ποθεν ἔχων ξενικὸν οἴκαδε ἀφίκηται περιγενόμενον, τῇ πόλει αὐτὸ καταβαλλέτω πρὸς λόγον ἀπολαμβάνων τὸ ἐπιχώριον· ἰδιούμενος δ' ἄν τις φαίνηται, δημόσιόν τε γιγνέσθω καὶ ὁ ξυνειδὼς καὶ μὴ φράζων ἀρᾷ καὶ ὀνείδει μετὰ τοῦ ἀγαγόντος ἔνοχος ἔστω, καὶ ζημίᾳ πρὸς τούτοις μὴ ἐλάττονι τοῦ ξενικοῦ νομισθέντος νομίσματος. γαμοῦντα δὲ καὶ ἐκδιδόντα μήτ' οὖν διδόναι μήτε δέχεσθαι προῖκα τὸ παράπαν μηδ' ἡντινοῦν, μηδὲ νόμισμα παρακατατίθε-

nummis opus est quotidianae commutationis gratia, quae inter artifices et huiusmodi ferme est necessaria, cum mercenariis et servis et colonis merces aliqua debeatur: iccirco nummos habere concedimus tales, ut apud eos quidem habeantur in pretio, a ceteris vero gentibus contemnantur. at vero cum et bella saepe gerenda sint et peregre proficiscendum, quando ad externas gentes legati nuntiique mittuntur, necesse est ut civitas semper communem Graeciae monetam possideat. si qua vero necessitas privatum peregre proficisci coëgerit, magistratuum venia proficiscatur. reversus autem, si peregrinis nummis abundat, cum civitatis nummis eos commutet civitatique restituat. quod si quis occultare eos et in privatum usum convertere deprehensus fuerit, publicum fiat, quod occultabat. conscii autem, qui non accusaverunt, maledictis atque opprobriis una cum illo subiiciantur: atque etiam non minore mulcta puniantur, quam allatus peregre nummus fuerit. nemini praeterea aut dare dotes aut accipere liceat: neque pecuniam deponere apud eum, cui non adhibes fidem

σθαι ὅτῳ μή τις πιϛεύει, μηδὲ δανείζειν ἐπὶ τόκῳ, ὡς ἐξὸν μὴ ἀποδιδόναι τὸ παράπαν τῷ δανεισαμένῳ μήτε τόκον μήτε κεφάλαιον. ταῦτα δ' ὅτι βέλτιϛά ἐϛι πόλει ἐπιτηδεύματα ἐπιτηδεύειν, ὧδε ἄν τις σκοπῶν ὀρθῶς ἂν αὐτὰ διακρίνοι, ἐπαναφέρων εἰς τὴν ἀρχὴν ἀεὶ καὶ τὴν βούλησιν. ἔϛι δὴ τοῦ νοῦν ἔχοντος πολιτικοῦ βούλησις, φαμέν, οὐχ ἥν περ ἂν οἱ πολλοὶ φαῖεν, δεῖν βούλεσθαι τὸν ἀγαθὸν νομοθέτην ὡς μεγίϛην τε εἶναι τὴν πόλιν ἢ νοῶν εὖ νομοθετοῖ καὶ ὅτι μάλιϛα πλουσίαν, κεκτημένην ὃ δ' αὖ χρυσία καὶ ἀργύρια καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἄρχουσαν ὅτι πλείϛων· προσθεῖεν δ' ἂν καὶ ὡς ἀρίϛην δεῖν βούλεσθαι τὴν πόλιν εἶναι καὶ ὡς εὐδαιμονεϛάτην τόν γε ὀρθῶς νομοθετοῦντα. τούτων δὲ τὰ μὲν δυνατά ἐϛι γίγνεσθαι, τὰ δὲ οὐ δυνατά· τὰ μὲν οὖν δυνατὰ βούλοιτ' ἂν ὁ διακοσμῶν, τὰ δὲ μὴ δυνατὰ οὔτ' ἂν βούλοιτο ματαίας βουλήσεις οὔτ' ἂν ἐπιχειροῖ. σχεδὸν μὲν γὰρ εὐδαίμονας ἅμα καὶ ἀγαθοὺς ἀνάγκη γίγνεσθαι· τοῦτο μὲν οὖν βούλοιτ' ἄν. πλουσίους δ' αὖ σφόδρα καὶ ἀγαθοὺς ἀδύνατον, οὓς γε δὴ πλουσίους οἱ πολλοὶ καταλέγουσι· λέγουσι δὲ τοὺς κεκτημένους ἐν ὀλίγοις τῶν ἀνθρώπων πλείϛου νομίσματος ἄξια κτήματα, ἃ καὶ κακός τις κεκτῆτ' ἄν. εἰ δ' ἔϛι 743

neque foenerare: liceatque, si quis in foenus acceperit, nec usuram nec sortem reddere. haec autem civitati optima esse, sic recte quispiam iudicabit, si ad praecipuam ipsam recti legumlatoris semper referat voluntatem. nam viri civilis mentem habentis non ea voluntas est, ut nos asserimus, quam in legumlatore optimo esse debere multi affirmant, ut quam maximam et ditissimam esse velit civitatem, auro et argento refertam, ac terra marique plurimis dominantem. quibus addunt, ut quam optimam etiam ac felicissimam esse velit, si recte leges laturus est. sed horum quidem alia fieri possunt, alia minime: possibilia igitur volet fundator legum, impossibilia nec volet. nam vana esset cupiditas, neque aggreditur. felices ergo et probos esse, quae simul necessario ferme fieri solent, volet quidem. divites autem valde simulque probos esse impossibile. dico autem divites, ut multi existimant, asserentes eos esse divites, qui pauci e multis pecunias plurimas possident, quas etiam posset malus quilibet possidere. quod si ita est, nunquam ego his concedam divitem re-

τοῦτο οὕτως ἔχον, οὐκ ἂν ἔγωγε αὐτοῖς ποτὲ συγχωροίην τὸν πλούσιον εὐδαίμονα τῇ ἀληθείᾳ γίγνεσθαι μὴ καὶ ἀγαθὸν ὄντα. ἀγαθὸν δὲ ὄντα διαφερόντως καὶ πλούσιον εἶναι διαφερόντως ἀδύνατον. τί δή; φαίη τις ἂν ἴσως. ὅτι, φαῖμεν ἄν, ἥ τε ἐκ δικαίου καὶ ἀδίκου κτῆσις πλέον ἢ διπλασία ἐξὶ τῆς ἐκ τοῦ δικαίου μόνον, τά τε ἀναλώματα μήτε καλῶς μήτε αἰσχρῶς ἐθέλοντα ἀναλίσκεσθαι τῶν καλῶν καὶ εἰς καλὰ ἐθελόντων δαπανᾶσθαι διπλασίῳ ἐλάττονα. οὔκουν ποτὲ ἂν τῶν ἐκ διπλασίων μὲν κτημάτων, ἡμίσεων δὲ ἀναλωμάτων ὁ τὰ ἐναντία τούτων πράττων γένοιτ' ἂν πλουσιώτερος. ἔξι δὲ ὁ μὲν ἀγαθὸς τούτων, ὁ δὲ οὐ κακός, ὅταν ᾖ φειδωλός· τότε δέ ποτε καὶ πάγκακος· ἀγαθὸς δέ, ὃ περ εἴρηται τὰ νῦν, οὐδέποτε. ὁ μὲν γὰρ δικαίως καὶ ἀδίκως λαμβάνων καὶ μήτε δικαίως μήτε ἀδίκως ἀναλίσκων πλούσιος, ὅταν καὶ φειδωλὸς ᾖ· ὁ δὲ πάγκακος ὡς τὰ πολλὰ ὢν ἄσωτος μάλα πένης· ὁ δὲ ἀναλίσκων τε εἰς τὰ καλὰ καὶ κτώμενος ἐκ τῶν δικαίων μόνον οὔτ' ἂν διαφέρων πλούτῳ ῥᾳδίως ἄν ποτε γένοιτο οὐδ' αὖ σφόδρα πένης. ὥς τε ὁ λόγος ἡμῖν ὀρθός, ὡς οὐκ εἰσὶν οἱ παμπλούσιοι ἀγαθοί· εἰ δὲ μὴ ἀγαθοί, οὐδὲ εὐδαίμονες. ἡμῖν δὲ ἡ τῶν νόμων ὑπόθεσις ἐνταῦθα

vera esse felicem, nisi etiam bonus sit. fieri vero non potest, ut divitiis aliquis simul praestet et probitate. cur ita? forte quispiam dixerit. quia, dicemus, acquisitio tam iniuste quam iuste facta plus quam duplo eam superat, quae solummodo iuste fit; et impendia, quae nec honeste nec turpiter impenduntur, duplo minora sunt illis, quae honesta sunt honesteque impenduntur. nunquam igitur illo, qui duplo plus acquirit et dimidio minus erogat, ditior is erit, qui contra facit. est autem alter istorum probus, alter non malus quidem, quando dumtaxat parcus est, nonnunquam vero malus omnino, bonus autem, ut modo diximus, nunquam. nam qui et iuste pariter et iniuste pecunias cumulat, neque iuste impendit neque iniuste, dives fit, quando est parcus. sed qui omnino malus, quoniam ut plurimum nepos et prodigus est, valde pauper fit. an qui honeste expendit et iuste solum acquirit, neque facile divitiis excellet unquam neque premetur inopia. recte itaque sermo noster asserit, valde divites bonos viros non esse. quod si boni non sunt, felices quoque non erunt. nobis autem legum huc sanctio respicit, ut felicissimi ci-

ἔβλεπεν, ὅπως ὡς εὐδαιμονέστατοι ἔσονται καὶ ὅτι μάλιστα ἀλλήλοις φίλοι· εἶεν δὲ οὐκ ἄν ποτε πολῖται φίλοι, ὅπου πολλαὶ μὲν δίκαι ἐν ἀλλήλοις εἶεν, πολλαὶ δὲ ἀδικίαι, ἀλλ' ὅπου ὡς ὅτι σμικρότατα καὶ ὀλίγιστα. λέγομεν δὴ μήτε χρυσὸν εἶναι δεῖν μήτε ἄργυρον ἐν τῇ πόλει, μήτ' αὖ χρηματισμὸν πολὺν διὰ βαναυσίας καὶ τόκων μηδὲ βοσκημάτων αἰσχρῶν, ἀλλ' ὅσα γεωργία δίδωσι καὶ φέρει, καὶ τούτων ὁπόσα μὴ χρηματιζόμενον ἀναγκάσει ἀμελεῖν ὧν ἕνεκα πέφυκε τὰ χρήματα· ταῦτα δ' ἐστὶ ψυχὴ καὶ σῶμα, ἃ χωρὶς γυμναστικῆς καὶ τῆς ἄλλης παιδείας οὐκ ἄν ποτε γένοιτο ἄξια λόγου. διὸ δὴ χρημάτων ἐπιμέλειαν οὐχ ἅπαξ εἰρήκαμεν ὡς χρὴ τελευταῖον τιμᾶν· ὄντων γὰρ τριῶν τῶν ἁπάντων περὶ ἃ πᾶς ἄνθρωπος σπουδάζει, τελευταῖον καὶ τρίτον ἐστὶν ἡ τῶν χρημάτων ὀρθῶς σπουδαζομένη σπουδή, σώματος δὲ πέρι μέση, πρώτη δὲ ἡ τῆς ψυχῆς. καὶ δὴ καὶ νῦν ἣν διεξερχόμεθα πολιτείαν, εἰ μὲν τὰς τιμὰς οὕτω τάττεται, ὀρθῶς νενομοθέτηται· εἰ δέ τις τῶν προστεταγμένων αὐτόθι νόμων σωφροσύνης ἔμπροσθεν ὑγίειαν ἐν τῇ πόλει φανεῖται ποιῶν τιμίαν ἢ πλοῦτον ὑγιείας καὶ τοῦ σωφρονεῖν, οὐκ ὀρθῶς ἀναφανεῖται

ves sint ac maxime inter se amici. qui sane amici nunquam erunt, si mutuis iniuriis vexati plurimis litigando uti cogantur iudiciis: sed si quam minima haec sint atque paucissima. quapropter oportere dicimus nec aurum nec argentum esse in civitate. neque quaestum insuper multum in mechanicis operibus cauponationibusque et foenore, nec ex pecoribus turpiter: sed ab his, quae agricultura offert ac praebet: atque hoc ita, ut quaestus non cogat ea negligere, quorum causa quaeruntur pecuniae. haec vero anima et corpus sunt: quae absque gymnastica et alia disciplina nullius pretii unquam erunt. quare pecuniarum cura, ut saepius iam dictum est, ultimum honoris teneat locum, quippe cum tria sint omnia, in quibus homines studium ponunt, ultimum ac tertium est, si recte habeatur, pecuniae studium: medium corporis: animi primum. atqui haec ipsa, quam nunc condimus, respublica, si honores ita distribuit, recte disponitur. Si qua autem lex aut temperantiae sanitatem corporis aut sanitati et temperantiae divitias anteponit, non rectè posita esse vi-

τιθέμενος. τοῦτ' οὖν δὴ πολλάκις ἐπισημαίνεσθαι χρὴ τὸν νομοθέτην, τί τε βούλομαι, καὶ, εἴ μοι ξυμβαίνει τοῦτο ἢ καὶ ἀποτυγχάνω τοῦ σκοποῦ· καὶ οὕτω τάχ' ἂν ἴσως ἐκ τῆς νομοθεσίας αὐτός τε ἐκβαίνοι καὶ τοὺς ἄλλους ἀπαλλάττοι, κατ' ἄλλον δὲ τρόπον οὐδ' ἂν ἕνα ποτέ.

Ὁ δὴ λαχὼν κεκτήσθω, φαμέν, τὸν κλῆρον ἐπὶ τούτοις οἷς εἰρήκαμεν. ἦν μὲν δὴ καλὸν καὶ τἆλλα ἴσα πάντ' ἔχοντα ἕνα ἕκαστον ἐλθεῖν εἰς τὴν ἀποικίαν· ἐπειδὴ δὲ οὐ δυνατόν, ἀλλ' ὁ μέν τις πλείω κεκτημένος ἀφί- 10
ξεται χρήματα, ὁ δ' ἐλάττονα, δεῖ δὴ πολλῶν ἕνεκα ἰῶν τε κατὰ πόλιν καιρῶν ἰσότητος ἕνεκα τιμήματα ἄνισα γενέσθαι, ἵν' ἀρχαί τε καὶ εἰσφοραὶ καὶ διανομαὶ τὴν τῆς ἀξίας ἑκάστοις τιμὴν μὴ κατ' ἀρετὴν μόνον τήν τε προγόνων καὶ τὴν αὐτοῦ μηδὲ κατὰ σωμάτων ἰσχὺς καὶ εὐμορφίας, ἀλλὰ καὶ κατὰ πλούτου χρῆσιν καὶ πενίας τὰς τιμάς τε καὶ ἀρχὰς ὡς ἰσαίτατα τῷ ἀνίσῳ ξυμμέτρῳ δὲ ἀπολαμβάνοντες μὴ διαφέρωνται. τούτων χάριν τέτταρα μεγέθει τῆς οὐσίας τιμήματα ποιεῖσθαι χρεών, πρώτους καὶ δευτέρους καὶ 20
τρίτους καὶ τετάρτους, ἢ τισιν ἄλλοις προαγορευομέ-

datur. saepius itaque legislator protestari debet, quid ipse velit, quid, si contigerit, bene succedet. sin minus, instituti sui spes eum frustrabitur. atque ita forsan et ipse a ferendis legibus sese ac ceteros vindicabit: aliter nullo modo. Qui ergo partem suam sortitus est, eam, qua diximus conditione, possideat. probe autem fieret, si cetera omnia, quae veniunt in coloniam, aequaliter possiderent. cum autem fieri id non possit, sed alius veniens plus habebit pecuniae, alius minus; multorum et aequalitatis in civitate temporum opportunitatumque causa opus est, ut inaequales in ea census constituantur: ut magistratus, vectigalia, distributionesque secundum dignitatem singuli, non solum suae maiorumque virtutis, aut formae aut virium corporis, verum etiam secundum divitiarum et paupertatis usum, quoad fieri potest, aequaliter, videlicet inaequali quidem portione, sed facile coaequabili, accipientes nequaquam contendant. horum causa quatuor magnitudine differentes honorum census fieri oportet: Primos, Secundos, Tertios et Quartos, aut quibusvis aliis nominibus appellatos: ut alii eodem in censu permaneant, alii di-

νους ὀνόμασιν, ὅταν τε μένωσιν ἐν τῷ αὐτῷ τιμήματι καὶ ὅταν πλουσιώτεροι ἐκ πενήτων καὶ ἐκ πλουσίων πένητες γιγνόμενοι μεταβαίνωσιν εἰς τὸ προσῆκον ἕκαστοι ἑαυτοῖσι τίμημα. τόδε δ' ἐπὶ τούτοις αὖ νόμου σχῆμα ἔγωγ' ἂν τιθείην ὡς ἑπόμενον. δεῖ γὰρ ἐν πόλει που, φαμέν, τῇ τοῦ μεγίστου νοσήματος οὐ μεθεξούσῃ, ὃ διάφασιν ἢ φάσιν ὀρθότερον ἂν εἴη κεκλῆσθαι, μήτε πενίαν τὴν χαλεπὴν ἐνεῖναι παρά τισι τῶν πολιτῶν μήτ' αὖ πλοῦτον, ὡς ἀμφότερα τικτόν-
των ταῦτα ἀμφότερα· νῦν οὖν ὅρον δεῖ τούτων ἑκατέρου τὸν νομοθέτην φράζειν. ἔχω δὴ πενίας μὲν ὅρος ἡ τοῦ κλήρου τιμή, ὃν δεῖ μένειν καὶ ὃν ἄρχων οὐδεὶς οὐδενί ποτε περιόψεται ἐλάττω γιγνόμενον, τῶν τε ἄλλων κατὰ ταὐτὰ οὐδεὶς ὅς τις φιλότιμος ἐπ' ἀρετῇ. μέτρον δὲ αὐτὸν θέμενος ὁ νομοθέτης διπλάσιον ἐάσει τούτου κτᾶσθαι καὶ τριπλάσιον καὶ μέχρι τετραπλασίου· πλείονα δ' ἄν τις κτᾶται τούτων εὑρὼν ἢ δοθέντων ποθὲν ἢ χρηματισάμενος ἤ τινι τύχῃ τοιαύτῃ κτησάμενος ἄλλῃ τὰ περιγιγνόμενα τοῦ μέτρου, τῇ πόλει 745
ἂν αὐτὰ καὶ τοῖς τὴν πόλιν ἔχουσι θεοῖς ἀπονέμων εὐδόκιμός τε καὶ ἀζήμιος ἂν εἴη· ἐὰν δέ τις ἀπειθῇ τούτῳ τῷ νόμῳ, φανεῖ μὲν ὁ βουλόμενος ἐπὶ τοῖς ἡμίσεσιν, ὁ δὲ ὄφλων ἄλλο τοσοῦτον μέρος ἀποτίσει τῆς

tiores pauperesve facti, in censum sibi convenientem pertranseant. ad haec legis figuram, quae sequitur, ego ponam. nempe oportere dicimus, ut in civitate, quae summi morbi expers futura sit, quod discidium aut seditionem rectius appellarim, nec extrema in aliquibus civium inopia sit: nec ingentes divitiae. nam utraque illa ab utrisque his pariuntur. quare oportet, ut a legislatore utrisque terminus statuatur. sit itaque paupertatis terminus census sortis, quam stabilem esse oportet, quamve minorem alicui esse nec magistratus ullus patietur nec alius quisquam, cui curae sit virtus. cum legislator his mensuram suam praescripserit, duplum ad hanc et triplum et quadruplum haberi permittet. plura vero si quis habeat sive reperta seu donata quaestu parta seu quavis alia fortuna huiusmodi comparata: si omne, quod superest, civitati et Diis civitatis tutoribus dederit, indemnis et laudabilis sit. sin autem legi non obtemperaverit, quisquis hoc detulerit, dimidium consequatur: dimidium diis consecretur: ille autem aequali suorum

αὐτοῦ κτήσεως, τὰ δ' ἡμίσεα τῶν θεῶν. ἡ δὲ κτῆσις χωρὶς τοῦ κλήρου πάντων πᾶσα ἐν τῷ φανερῷ γεγράφθω παρὰ φύλαξιν ἄρχουσιν, οἷς ἂν ὁ νόμος προστάξῃ, ὅπως ἂν αἱ δίκαι περὶ πάντων, ὅσαι εἰς χρήματα, ῥᾴδιαί τε ὦσι καὶ σφόδρα σαφεῖς.

Τὸ δὴ μετὰ τοῦτο πρῶτον μὲν τὴν πόλιν ἱδρύσθαι δεῖ τῆς χώρας ὅτι μάλιστα ἐν μέσῳ, καὶ τἆλλα ὅσα πρόσφορα πόλει τῶν ὑπαρχόντων ἔχοντα τόπον ἐκλεξάμενον, ἃ νοῆσαί τε καὶ εἰπεῖν οὐδὲν χαλεπόν· μετὰ δὲ ταῦτα μέρη δώδεκα διελέσθαι, θέμενον Ἑστίας πρῶτον καὶ Διὸς καὶ Ἀθηνᾶς ἱερόν, ἀκρόπολιν ὀνομάζοντα, κύκλον περιβάλλοντα, ἀφ' οὗ τὰ δώδεκα μέρη τέμνειν τήν τε πόλιν αὐτὴν καὶ πᾶσαν τὴν χώραν. ἴσα δὲ δεῖ γίγνεσθαι τὰ δώδεκα μέρη τῷ τὰ μὲν ἀγαθῆς γῆς εἶναι σμικρά, τὰ δὲ χείρονος μείζω. κλήρους δὲ διελεῖν τετταράκοντα καὶ πεντακισχιλίους, τούτων τε αὖ δίχα τεμεῖν ἕκαστον καὶ ξυγκληρῶσαι δύο τμήματα, τοῦ τ' ἐγγὺς καὶ τοῦ πόρρω μετέχοντα ἑκάτερον· τὸ πρὸς τῇ πόλει μέρος τῷ πρὸς τοῖς ἐσχάτοις εἰς κλῆρος καὶ τὸ δεύτερον ἀπὸ πόλεως τῷ ἀπ' ἐσχάτων δευτέρῳ, καὶ τἆλλα οὕτω πάντα. μηχανᾶσθαι δὲ καὶ ἐν τοῖς δίχα τμήμασι τὸ νῦν δὴ λεγόμενον φαυλότητός

bonorum parte mulctetur. Quaecunque vero possident ultra sortem, apud magistratum, horum custodem a lege constitutum, aperte scribantur, ut omnia de pecuniis iudicia facilia sint et valde clara. Post haec urbs primum in medio regionis, quoad fieri potest, condatur, in loco, qui cetera quoque civitatis habeat commoda; quae nec intellectu nec dictu difficilia sunt. deinde in partes duodecim partitio fiat, et Vestae prima Iovique et Palladi consecretur, eaque arx circulo circumducto: a quo et regionem et urbem partes duodecim partiantur, quae quidem ita aequales fiant, ut agri foecundi minores sint, infoecundi maiores. sortes vero quinquies mille et quadraginta scindantur, quarum bipartito quaelibet dividatur, consortiri quoque oportet portiones duas, quarum utraque remotioris et propinquioris sit particeps: ita ut para urbi proxima cum remotissima parte sors una fiat: secunda quoque ab urbe, cum secunda a remotissima; ceteraque omnia eodem pacto, danda etiam opera est, ut in geminis his partitionibus, quod modo de foecunditate regionis et infoecundi-

τε καὶ ἀρετῆς χώρας, ἐπανισουμένους τῷ πλήθει τε καὶ ὀλιγότητι τῆς διανομῆς. νείμασθαι δὲ δὴ καὶ τοὺς ἄνδρας δώδεκα μέρη, τὴν τῆς ἄλλης οὐσίας εἰς ἴσα ὅτι μάλιςα τὰ δώδεκα μέρη συνταξάμενον, ἀπογραφῆς πάντων γενομένης. καὶ δὴ τὸ μετὰ τοῦτο δώδεκα θεοῖς δώδεκα κλήρους θέντας ἐπονομάσαι καὶ καθιερῶσαι τὸ λαχὸν μέρος ἑκάςῳ τῷ θεῷ, καὶ φυλὴν αὐτὴν ἐπονομάσαι. τέμνειν δὲ αὖ καὶ τὰ δώδεκα τῆς πόλεως τμήματα τὸν αὐτὸν τρόπον ὅν περ καὶ τὴν ἄλλην χώραν διένεμον· καὶ δύο νέμεσθαι ἕκαςον οἰκήσεις, τήν τε ἐγγὺς τοῦ μέσου καὶ τὴν τῶν ἐσχάτων· καὶ τὴν μὲν κατοίκισιν οὕτω τέλος ἔχειν.

Ἐννοεῖν δὲ ἡμᾶς τὸ τοιόνδ' ἐςὶ χρεὼν ἐκ παντὸς τρόπου, ὡς τὰ νῦν εἰρημένα πάντα οὐκ ἄν ποτε εἰς τοιούτους καιροὺς συμπέσοι, ὥςτε ξυμβῆναι κατὰ λόγον οὕτω ξύμπαντα γενόμενα ἄνδρας τε οἳ μὴ δυςχερανοῦσι τὴν τοιαύτην ξυνοικίαν, ἀλλ' ὑπομενοῦσι χρήματά τε ἔχοντες τακτὰ καὶ μέτρια διὰ βίου παντὸς καὶ παίδων γενέσεις ἃς εἰρήκαμεν ἑκάςοις, καὶ χρυσοῦ ςερόμενοι καὶ ἑτέρων ὧν δῆλος ὁ νομοθέτης προςτάξων ἐςὶν ἐκ τούτων τῶν νῦν εἰρημένων, ἔτι δὲ χώρας τε καὶ ἄςεος, ὡς εἴρηκε, μεσότητάς τε καὶ ἐν κύκλῳ

746

tate diximus, peragatur: ut videlicet in eis multitudine et paucitate distributionis aequatio fiat. quin etiam dividere in partes duodecim viros oportet, quemadmodum et cetera bona, omnium prorsus aequalitate servata, omniaque describere. deinde duodecim sortes Diis duodecim attribuere: et partem quamlibet sortis participem suo consecrare Deo, tribumque ipsam vocare. sed et duodecim urbis membra, sicut in reliqua regione factum est, sigillatim in habitationes duas dividenda sunt: unam quidem circa medium, circa extremum alteram. et habitationis quidem ordo hunc habeat finem. illud autem cogitare omnino debemus, quod ea, quae diximus, nunquam talem opportunitatem nacta omnia ita concurrent, ut quemadmodum descripta sunt, fiant, et viri habitationem huiusmodi non ferant moleste, sed aequo animo patiantur: pecuniasque habere velint per totam vitam, ut statuimus, mediocres. filiorum praeterea generationes ita singulis sint, ut diximus: ac auro et argento careant et ceteris omnibus, quae legislator ex supra dictis dicturus esse videtur: ad haec regionis et urbis in medio et in extremis sicut ordinavimus ubi-

[illegible] ἐσεσθαι ἀκαιότατο[illegible]

[illegible] ἀκρύντα,

[illegible] ἀπολ[illegible]

[illegible] ἀδύνατ[illegible]

[illegible] ἐκκ[illegible]

[illegible] ἐγγ[illegible]

[illegible]

[illegible] ἐκείνου [illegible]

[illegible] καὶ [illegible]

[illegible] ὁμολογούμενον

[illegible] ἀπεργάζεσθαι καὶ τὸν τοῦ

[illegible] ὁμένον λόγου.

[illegible] ἐδεῖν μετὰ

[illegible] quae quidem omnia, quasi somnia qua[illegible]
[illegible] per haec et civitas quasi ex cera form[illegible]
[illegible] modo quodam non male opponuntur: sed ea q[illegible]
[illegible] legislator adversus diceret, ne fugere me [illegible]
[illegible] quod modo dictum est, vere quodammodo [illegible]
[illegible] arbitror, in singulis, ut is, qui exemplar p[illegible]
[illegible] similitudinem opus fieri debeat, nihil omnino [illegible]
[illegible] verissimam eius conveniat pulchritudinem [illegible]
[illegible] ex his nonnulla imitando assequi nequit, quae [illegible]
[illegible] praetermittat: quod et his proximum est, eoru[illegible]

δόξαν τῆς τῶν δώδεκα μερῶν διανομῆς, τὸ τίνα τρόπον δῆλον δὴ τὰ δώδεκα μέρη τῶν ἐντὸς αὐτοῦ πλείσας ἔχοντα διανομὰς, καὶ τὰ τούτοις ξυνεπόμενα καὶ ἐκ τούτων γεννώμενα, μέχρι τῶν τετταράκοντά τε καὶ πεντακισχιλίων· ὅθεν φρατρίας καὶ δήμους καὶ κώμας, καὶ πρός γε τὰς πολεμικὰς τάξεις τε καὶ ἀγωγάς, καὶ ἔτι νομίσματα καὶ μέτρα ξηρά τε καὶ ὑγρὰ καὶ ζαθμά, πάντα ταῦτα ἔμμετρά τε καὶ ἀλλήλοις σύμφωνα δεῖ τόν γε νόμον διατάττειν. πρὸς δὲ τούτοις οὐδ' ἐκεῖνα φοβητέα, δείσαντα τὴν δόξασαν ἂν γίγνεσθαι σμικρολογίαν, ἄν τις προστάττῃ πάντα ὁπόσ' ἂν σκεύη κτῶνται, μηδὲν ἄμετρον αὐτῶν ἐᾶν εἶναι, καὶ κοινῷ λόγῳ νομίσαντα πρὸς πάντα εἶναι χρησίμους τὰς τῶν ἀρι- 747
θμῶν διανομὰς καὶ ποικίλσεις, ὅσα τε αὐτοὶ ἐν ἑαυτοῖς ποικίλλονται καὶ ὅσα ἐν μήκεσι καὶ ἐν βάθεσι ποιήλματα, καὶ δὴ καὶ ἐν φθόγγοις καὶ κινήσεσι ταῖς τε κατὰ τὴν εὐθυπορίαν τῆς ἄνω καὶ κάτω φορᾶς καὶ τῆς κύκλῳ περιφορᾶς· πρὸς γὰρ ταῦτα πάντα δεῖ βλέψαντα τόν γε νομοθέτην προστάττειν τοῖς πολίταις πᾶσιν εἰς δύναμιν τούτων μὴ ἀπολείπεσθαι τῆς συντάξεως. πρός τε γὰρ οἰκονομίαν καὶ πρὸς πολιτείαν καὶ πρὸς τὰς τέχνας πάσας ἓν οὐδὲν οὕτω

cim partes istae plurimas in se portiones portionibusque connexa et orientia ex connexis habeant, usque ad quinque millia et quadraginta. unde et tribus et gentes et vicos habent, et ad rem bellicam ordines atque ductus, nummos praeterea et mensuras siccorum atque humidorum, et pondera similiter, haec omnia commensurata et consona inter se a legislatore ordinari debent. praeterea timendum non est pusillanimitatis opinio, quasi parva nimium considerentur, si quis iubeat, ut vasa et supellectilia civium omnia mensuram habeant suam, nullumque sine certa mensura possideatur: et communi ratione censeat ad omnia perutiles esse numerorum partitiones varietatesque, secundum quas et ipsi inter se ipsos varii sunt, et in longitudine et profunditate ac vocibus varietatem accipiunt, in motibus quoque, tam recto motu ascendendo vel descendendo, quam circuitu. ad haec omnia ita respicere debet legislator, ut civibus omnibus praecipiat, ne ab huiusmodi numerorum ordine, quoad possunt, discedant. nulla enim alia una pueritiae disciplina, ad rei familiaris gubernationem, ad rempublicam, ad artes denique universas tantam

δύναμιν ἔχει παίδειον μάθημα μεγάλην, ὡς ἡ περὶ τοὺς ἀριθμοὺς διατριβή· τὸ δὲ μέγιστον, ὅτι τὸν νυζάζοντα καὶ ἀμαθῆ φύσει ἐγείρει καὶ εὐμαθῆ καὶ μνήμονα καὶ ἀγχίνουν ἀπεργάζεται, παρὰ τὴν αὑτοῦ φύσιν ἐπιδιδόντα θείᾳ τέχνῃ. ταῦτα δὴ πάντα, ἐὰν μὲν ἄλλοις νόμοις τε καὶ ἐπιτηδεύμασιν ἀφαιρῆταί τις τὴν ἀνελευθερίαν καὶ φιλοχρηματίαν ἐκ τῶν ψυχῶν τῶν μελλόντων αὐτὰ ἱκανῶς τε καὶ ὀνησίμως κτήσεσθαι, καλὰ τὰ παιδεύματα καὶ προσήκοντα γίγνοιτ' ἄν· εἰ δὲ μή, τὴν καλουμένην ἄν τις πανουργίαν ἀντὶ σοφίας ἀπεργασάμενος λάθοι, καθά περ Αἰγυπτίους καὶ Φοίνικας καὶ πολλὰ ἕτερα ἀπειργασμένα γένη νῦν ἔξιν ἰδεῖν ὑπὸ τῆς τῶν ἄλλων ἐπιτηδευμάτων καὶ κτημάτων ἀνελευθερίας εἴ τέ τις νομοθέτης αὐτοῖς φαῦλος ἂν γενόμενος ἐξειργάσατο τὰ τοιαῦτα εἴτε χαλεπὴ τύχη προσπεσοῦσα εἴτε καὶ φύσις ἄλλη τις τοιαύτη. καὶ γάρ, ὦ Μέγιλλέ τε καὶ Κλεινία, μηδὲ τοῦθ' ἡμᾶς λανθανέτω περὶ τόπων, ὡς οὐκ εἰσὶν ἄλλοι τινὲς διαφέροντες ἄλλων τόπων πρὸς τὸ γεννᾶν ἀνθρώπους ἀμείνους καὶ χείρους· οἷς οὐκ ἐναντία νομοθετητέον. οἱ μέν γέ που, διὰ πνεύματα παντοῖα καὶ δι' εἰλήσεις ἀλλόκοτοί τ' εἰσὶ καὶ ἐναίσιοι αὐτῶν, οἱ δὲ δι' ὕδατα, οἱ δὲ καὶ διὰ ταύτην τὴν ἐκ τῆς γῆς τροφήν, ἀναδιδοῦσαν οὐ μό-

habet vim, quantam huiusmodi numerorum cognitio. quodque maximum est, somnolentos etiam et natura rudes exsuscitat, et dociles, memores, sollertesque facit, praeter naturam suam divina arte proficientes. Quae quidem omnia, si modo legibus aliis atque officiis illiberalitas et avaritia ex eorum animis exstirpata sit, qui ea sufficienter et utiliter suscepturi sint, bona rudimenta et commoda sunt. sin minus, malitia hinc potius quam sapientia clam originem trahet: quod Aegyptiis et Phoenicibus multisque aliis gentibus nunc videmus contingere propter ceterarum artium facultatumque illiberalitatem: sive quis rudis legumlator id fecerit, sive fortuna infensa, sive alia huiusmodi quaedam natura. nec enim illud, o Clinia et Megille, nos fugiat, magnam esse locorum ad ferendos meliores peioresque homines differentiam: quibus diversa, prout expedit, legibus sancienda sunt. quippe alii varietate ventorum et urbine difficiles et protervi sunt: alii propter aquas: alii propter cibos, qui ex terra non solum cor-

νον τοῖς σώμασιν ἀμείνω καὶ χείρω, ταῖς δὲ ψυχαῖς οὐχ ἧττον δυναμένην πάντα τὰ τοιαῦτα ἐμποιεῖν, τούτων δ' αὖ πάντων μέγιστον διαφέροιεν ἂν τόποι χώρας, ἐν οἷς θεία τις ἐπίπνοια καὶ δαιμόνων λήξεις εἶεν, τοὺς ἀεὶ κατοικιζομένους ἵλεῳ δεχόμενοι καὶ τοὐναντίον. οἷς ὅ γε νοῦν ἔχων νομοθέτης ἐπισκεψάμενος, ὡς ἄνθρωπον οἷόν τ' ἐξὶ σκοπεῖν τὰ τοιαῦτα, οὕτω πειρῷτ' ἂν τιθέναι τοὺς νόμους. ὃ δὴ καὶ σοὶ ποιητέον, ὦ Κλεινία· πρῶτον τρεπτέον ἐπὶ τὰ τοιαῦτα μέλλοντί γε κατοικίζειν χώραν.

ΚΛ. Ἀλλ', ὦ ξένε Ἀθηναῖε, λέγεις τε παγκάλως ἐμοί τε οὕτω ποιητέον.

poribus commodi aut incommodi oriuntur, verum animis quoque non minus. maxime autem loca regionis differunt, in quibus inspiratio quaedam divina est, et quae daemones sortiti sunt, qui habitantes propitii vel contra suscipiunt. quibus pro humano ingenio consideratis, mentis compos legum conditor, se ad leges ferendas convertet. quod et tibi est, o Clinia, faciendum. prius enim haec tibi animadvertenda sunt, quam habitari facias regionem. *Cli.* Egregie, o Atheniensis hospes, haec abs te dicta sunt. quare et mihi ita est faciendum.

ς.

[illegible] μετά γε πάντα τὰ νῦν εἰρημένα σχεδὸν [illegible] σοι καταστάσεις τῇ πόλει.

[illegible] οὕτως.

[illegible] περὶ πολιτείας κόσμον γι[illegible] πρῶτον μὲν καταστάσεις ἀρχῶν τε [illegible] ὅρας τε αὐτὰς εἶναι δεῖ καὶ τρόπον ὅν [illegible] ἔπειτα οὕτω δὴ τοὺς νόμους ταῖς [illegible] ἀποδοτέον, οὓς τινάς τε αὖ καὶ ὅσους [illegible] προσήκον ἂν ἑκάστοις εἴη. σμικρὸν δὲ ἐπισχόν[illegible] εἴπωμεν προσήκοντά τινα λόγον [illegible] ῥηθῆναι.

[illegible] Τίνα δὴ τοῦτον;

[illegible] Τόνδε. παντί που δῆλον τὸ τοιοῦτον, ὅτι

[illegible] quae hactenus diximus, ferme iam magistratus in [illegible]ndi videntur. *Cli.* Ita certe. *Athen.* Duae pro[illegible] in ornatu reipublicae sunt. prima magistratuum [illegible] esse oporteat et quo pacto constitui. altera le[illegible]ibus: quae, quot qualesque sint singulis [illegible]per, antequam magistratus eligamus, [illegible]ipsorum electionem pertinentia declare[illegible]? *Athen.* Audi iam. nemini dubium

μεγάλου τῆς νομοθεσίας ὄντος ἔργου, τοῦ πόλιν εὖ παρεσκευασμένην ἀρχὰς ἀνεπιτηδείους ἐπιζῆσαι τοῖς εὖ κειμένοις νόμοις, οὐ μόνον οὐδὲν πλέον εὖ τεθέντων, οὐδ' ὅτι γέλως ἂν πάμπολυς ξυμβαίνοι, σχεδὸν δὲ βλάβαι καὶ λῶβαι πολὺ μέγιζαι ταῖς πόλεσι γίγνοιντ' ἂν ἐξ αὐτῶν.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Τοῦτο τοίνυν νοήσωμέν σοι περὶ τῆς νῦν, ὦ φίλε, πολιτείας τε καὶ πόλεως ξυμβαῖνον. ὁρᾷς γὰρ ὅτι πρῶτον μὲν δεῖ τοὺς ὀρθῶς ἰόντας ἐπὶ τὰς τῶν ἀρχῶν δυνάμεις βάσανον ἱκανὴν αὐτούς τε καὶ γένος ἑκάζων ἐκ παίδων μέχρι τῆς αἱρέσεως εἶναι δεδωκότας, ἔπειτα αὖ τοὺς μέλλοντας αἱρήσεσθαι τεθράφθαι τε ἐν ἤθεσι νόμων εὖ πεπαιδευμένους πρὸς τὸ δυσχεραίνοντά τε καὶ ἀποδεχομένους ὀρθῶς κρίνειν καὶ ἀποκρίνειν δυνατοὺς γίγνεσθαι τοὺς ἀξίους ἑκατέρων. ταῦτα δὲ οἱ νεωζὶ ξυνελήλυθότες ὄντες τε ἀλλήλων ἀγνῶτες, ἔτι δ' ἀπαίδευτοι, πῶς ἄν ποτε δύναιντο ἀμέμπτως τὰς ἀρχὰς αἱρεῖσθαι;

ΚΛ. Σχεδὸν οὐκ ἄν ποτε.

ΑΘ. Ἀλλὰ γὰρ ἀγῶνα προφάσεις οὐ πάνυ δέχεσθαι. καὶ δὴ καὶ σοὶ τοῦτο νῦν καὶ ἐμοὶ ποιητέον, ἐπεί περ σὺ μὲν δὴ τὴν πόλιν ὑπέζης τῷ Κρητῶν

est, quod, cum magna res legumlatio sit, si quis civitati per leges bene paratae non idoneos magistratus constituat, quamvis leges bene positae sint, tamen non modo id nihil proderit risumque movebit, verum etiam calamitates maximas civitatibus pariet. *Cli.* Plane. *Athen.* Hoc itaque considerandum, amice, quemadmodum in hac tua civitate republicaque contingit. vides enim eos, qui recte magistratus accepturi sint, oportere primo satis ab adolescentia probatos fuisse, tam ipsos quam suos, usque ad ipsam electionem: deinde eos etiam, qui suffragia ferunt, legitimis esse moribus educatos: ut facile queant admittendos et repellendos cognoscere, et erga utrosque pro dignitate se gerere. at vero qui nuper convenerunt, cum nec se invicem satis cognoscant, neque adhuc eruditi sint, quomodo recte unquam magistratus eligere poterunt? *Cli.* Nullo ferme unquam pacto. *Athen.* Sed enim certamen excusationes non facile suscipit. hoc autem et mihi nunc et tibi faciendum est: postquam et tu civi-

ἐθνει προθύμως κατοικιεῖν δέκατος αὐτός, ὡς φῄς, τὲ
52 νῦν, ἐγὼ δ' αὖ σοὶ ξυλλήψεσθαι κατὰ τὴν παροῦσαν
ἡμῖν τὰ νῦν μυθολογίαν. οὔκουν δή που λέγων γε ἂν
μῦθον ἀκέφαλον ἐκὼν καταλίποιμι· πλανώμενος γὰρ
ἂν ἁπάντῃ τοιοῦτος ὢν ἄμορφος φαίνοιτο.

Κλ. Ἄριστ' εἴρηκας, ὦ ξένε.

Αθ. Οὐ μόνον γε, ἀλλὰ καὶ δράσω κατὰ δύναμιν
οὕτως.

Κλ. Πάνυ μὲν οὖν ποιῶμεν ἥ περ καὶ λέγομεν.

Αθ. Ἕξαι ταῦτ', ἂν θεὸς ἐθέλῃ καὶ γήρως ἐπι- 10
πρασῶμεν τό γε τοσοῦτον.

Κλ. Ἀλλ' εἰκὸς ἐθέλειν.

Αθ. Εἰκὸς γὰρ οὖν. ἑπόμενοι δὲ αὐτῷ λάβωμεν
καὶ τόδε.

Κλ. Τὸ ποῖον;

Αθ. Ὡς ἀνδρείως καὶ παρακεκινδυνευμένως ἐν
τῷ νῦν ἡ πόλις ἡμῖν ἔξαι κατῳκισμένη.

Κλ. Περὶ τί βλέπων καὶ ποῖ μάλιστα αὐτὸ εἴρη-
κας τὰ νῦν;

Αθ. Ὡς εὐκόλως καὶ ἀφόβως ἀπείροις ἀνδράσι 20
νομοθετοῦμεν, ὅπως δέξονταί ποτε τοὺς νῦν τεθέντας
νόμους. δῆλον δὲ τό γε τοσοῦτον, ὦ Κλεινία, παντὶ
σχεδὸν καὶ τῷ μὴ πάνυ σοφῷ, τὸ μὴ ῥᾳδίως γε αὐ-
τοὺς μηδένας προσδέξασθαι κατ' ἀρχάς, εἰ δὲ μείναι-

tatis Cretensibus instituendae officium libenti animo suscepisti, ac decimus es in hoc opere, ut ipse dicis: et ego tibi auxilium praesenti confabulatione afferre promisi. quare sermonem hunc nostrum sine capite restare non patiar. nam si ita vagaretur, deformis omnibus appareret. *Cli.* Optime dixisti, hospes. *Athen.* Imo etiam sic pro viribus faciam. *Cli.* Faciamus sic prorsus, ut dicimus. *Athen.* Faciemus utique, si Deus voluerit, sic, ut etiam senectam in hac parte superemus. *Cli.* At Deum velle credendum est. *Athen.* Credendum profecto. quare ipsum sequentes hoc etiam dicamus. *Cli.* Quidnam? *Athen.* Quam auctam simul atque periculose modo civitatis habitatio nobis constituitur. *Cli.* Quorsum haec? *Athen.* Quia facile et intrepide rudibus hominibus leges damus, utque ipsas suscipiant, iubemus: omnibus ferme, o Clinia, etiam non multum sapientibus, notum sit, neminem leges novas facile suscepturum. si ve-

μιὲν πως τοσοῦτον χρόνον, ἕως οἱ γευσάμενοι παῖδες τῶν νόμιων καὶ ξυντραφέντες ἱκανῶς ξυνήθεις τε αὐτοῖς γενόμενοι τῶν ἀρχαιρεσιῶν τῇ πόλει πάσῃ κοινωνήσειαν· γενομένου γε μὴν οὗ λέγομεν, εἴ πέρ τινι τρόπῳ καὶ μηχανῇ γίγνοιτο ὀρθῶς, πολλὴν ἔγωγε ἀσφάλειαν ἡγοῦμαι καὶ μετὰ τὸν τότε παρόντα χρόνον ἂν γενέσθαι τοῦ μεῖναι τὴν παιδαγωγηθεῖσαν οὕτω πόλιν.

ΚΛ. Ἔχει γοῦν λόγον.

ΑΘ. Ἴδωμεν τοίνυν πρὸς τοῦτο εἴ πῃ τινα πόρον ἱκανὸν πορίζοιμεν ἂν κατὰ τάδε. φημὶ γάρ, ὦ Κλεινία, Κνωσίους χρῆναι τῶν ἄλλων διαφερόντως Κρητῶν μὴ μόνον ἀφοσιώσασθαι περὶ τῆς χώρας ἣ νῦν κατοικίζεται, συντόνως δ' ἐπιμεληθῆναι τὰς πρώτας ἀρχὰς εἰς δύναμιν, ὅπως ἂν ὡς ἀσφαλέστατα καὶ ἄριστα. τὰς μὲν οὖν ἄλλας καὶ βραχύτερον ἔργον, νομοφύλακας δ' ἂν ἡμῖν πρώτους αἱρεῖσθαι ἀναγκαιότατον ἁπάσῃ σπουδῇ.

ΚΛ. Τίνα οὖν ἐπὶ τούτῳ πόρον καὶ λόγον ἀνευρίσκομεν;

ΑΘ. Τόνδε. φημί, ὦ παῖδες Κρητῶν, χρῆναι Κνωσίους διὰ τὸ πρεσβεύειν τῶν πολλῶν πόλεων κοινῇ μετὰ τῶν ἀφικομένων εἰς τὴν ξυνοίκησιν ταύτην ἐξ αὐτῶν τε καὶ ἐκείνων αἱρεῖσθαι τριάκοντα μὲν καὶ ἑπτὰ

ro tamdiu exspectaremus, donec legibus instituti pueri, unaque et diu sub eisdem legibus conversati, suffragia universae civitati ferre possint, atque id pro viribus recte fieret, certe et tunc et in posterum procul ab errore sic instructa civitas permaneret. *Cli.* Sic ratio monet. *Athen.* Perspiciamus ergo, si modum quendam ad haec commodum ita ferre possimus. Gnosios oportet, o Clinia, prae ceteris Cretensibus non solum quasi libando inchoare, quam nunc rempublicam conditis: sed omni studio providere, ut quam tutissime atque optime primi magistratus constituantur. In aliis quidem constituendis opera brevior: legum autem custodes ante alios creare summa diligentia necessarium est. *Cli.* Qua via istud rationeque faciemus? *Athen.* Hac, o Cretenses, inquam. Oportet Gnosios, quando multarum ipsi civitatum primi sunt, communiter cum his, qui in eandem convenere coloniam, a se ipsis et ab illis septem et triginta viros

τοὺς πάντας, ἐννέα δὲ καὶ δέκα ἐκ τῶν ἐποικησάντων, τοὺς δὲ ἄλλους ἐξ αὐτῆς Κνωσοῦ. τούτους δ' οἱ Κνώσιοι τῇ πόλει σοι δόντων, καὶ αὐτὸν σέ, πολίτην εἶναι ταύτης τῆς ἀποικίας καὶ ἕνα τῶν ὀκτωκαίδεκα, πείσαντες ἢ τῇ μετρίᾳ δυνάμει βιασάμενοι.

ΚΛ. Τί δῆτα οὐ καὶ σύ τε καὶ ὁ Μέγιλλος, ὦ ξένε, ἐκοινωνησάτην ἡμῖν τῆς πολιτείας;

ΑΘ. Μέγα μέν, ὦ Κλεινία, φρονοῦσιν αἱ Ἀθῆναι, μέγα δὲ καὶ ἡ Σπάρτη, καὶ μακρὰν ἀποικοῦσιν ἑκάτεραι· σοὶ δὲ κατὰ πάντα ἐμμελῶς ἔχει καὶ τοῖς ἄλλοις οἰκιςαῖς κατὰ ταὐτά, ὥς περ τὰ περὶ σοῦ νῦν λεγόμενα. ὡς μὲν οὖν γένοιτ' ἂν ἐπιεικέςατα ἐκ τῶν ὑπαρχόντων ἡμῖν τὰ νῦν, εἰρήσθω· προελθόντος δὲ χρόνου καὶ μεινάσης τῆς πολιτείας αἵρεσις αὐτῶν ἔςω τοιάδε τις. πάντες μὲν κοινωνούντων τῆς τῶν ἀρχόντων αἱρέσεως ὁπόσοι περ ἂν ὅπλα ἱππικὰ ἢ πεζικὰ τιθῶνται καὶ πολέμου κεκοινωνήκωσιν ἐν ταῖς σφετέραις αὐτῶν τῆς ἡλικίας δυνάμεσι· ποιεῖσθαι δὲ τὴν αἵρεσιν ἐν ἱερῷ ὅ'περ ἂν ἡ πόλις ἡγῆται τιμιώτατον, φέρειν δ' ἐπὶ τὸν τοῦ θεοῦ βωμὸν ἕκαςον εἰς πινάκιον γράψαντα τοὔνομα πατρόθεν καὶ φυλῆς καὶ δήμου ὁπόθεν ἂν δημοτεύηται, παρεγγράφειν δὲ καὶ τὸ αὑτοῦ κατὰ ταὐ-

eligere: novem quidem decemque ex eorum numero, qui coloniam habitabunt, ex Gnoso ipsa reliquos. hos utique Gnosii tuae dent civitati, te quoque ipsum, ut huius coloniae civem et unum de octo decemque viris. haec aut persuadendo aut vi mediocriter cogendo faciant. *Cli.* Quid vero? nonne et tu, hospes, et Megillus iste reipublicae huius nobiscum participes? *Athen.* Magni, o Clinia, Athenienses, magni quoque Lacedaemonii se faciunt: et longe utrique incolunt. tibi autem omnia commode se habent: et habitatoribus aliis similiter, secundum ea, quae de te modo dicta sunt: et quae tibi atque illis hac tempestate convenientissime fieri possunt, exposita. progressu autem temporis, et republica permanente, huiusmodi magistratuum designatio fiat. quicunque arma sive equites sive pedites ferre possunt, bellisque in aetatis suae ordine interfuerunt, suffragium ineant: comitiaque in templo habeantur, quod praestantissimum civitas ducat. unusquisque autem in ara Dei nomen suum et patris et tribus et gentis in tabula scriptum deponat: liceatque cuique, si velit,

τὰ οὕτως ὄνομα. τῷ βουλομένῳ δ' ἐξέσω τῶν πινακίων ὅ τί περ ἂν φαίνηται μὴ κατὰ νοῦν αὐτῷ γεγραμμένον, ἀνελόντα εἰς ἀγορὰν θεῖναι μὴ ἔλαττον τριάκοντα ἡμερῶν. τὰ δὲ τῶν πινακίων κριθέντα ἐν πρώτοις μέχρι τριακοσίων δεῖξαι τοὺς ἄρχοντας ἰδεῖν πάσῃ τῇ πόλει, τὴν δὲ πόλιν ὡσαύτως ἐκ τούτων φέρειν πάλιν ὃν ἂν ἕκαστος βούληται, τοὺς δὲ τὸ δεύτερον ἐξ αὐτῶν προκριθέντας ἑκατὸν δεῖξαι πάλιν ἅπασι. τὸ δὲ τρίτον φερέτω μὲν ἐκ τῶν ἑκατὸν ὁ βουληθεὶς ὃν ἂν βούληται, διὰ τομίων πορευόμενος· ἑπτὰ δὲ καὶ τριάκοντα, οἷς ἂν πλεῖσαι γένωνται ψῆφοι, κρίναντες ἀποφηνάντων ἄρχοντας. Τίνες οὖν, ὦ Κλεινία καὶ Μέγιλλε, πάντα ἡμῖν ταῦτ' ἐν τῇ πόλει καταστήσουσι ἀρχῶν τε πέρι καὶ τῶν δοκιμασιῶν αὐτῶν; ἆρα ἐννοοῦμεν ὡς ταῖς πρῶτον οὕτω καταζευγνυμέναις πόλεσιν ἀνάγκη μὲν εἶναί τινας, οἵ τινες δὲ εἶεν ἂν πρὸς πασῶν τῶν ἀρχῶν γεγονότες οὐκ ἔστι; δεῖ μὴν ἁμῶς γέ πως, καὶ ταῦτα οὐ φαύλους ἀλλ' ὅτι μάλιστα ἄκρους. ἀρχὴ γὰρ λέγεται μὲν ἥμισυ παντὸς ἐν ταῖς παροιμίαις ἔργου, καὶ τό γε καλῶς ἄρξασθαι πάντες ἐγκωμιάζομεν ἑκάστοτε· τὸ δ' ἔστι τε, ὡς ἐμοὶ φαίνεται, πλέον ἢ τὸ ἥμισυ καὶ οὐδεὶς αὐτὸ καλῶς γενόμενον ἐγκεκωμίακεν ἱκανῶς. 754

quamcunque tabulam non recte scriptam suspicabitur, in loco publico ponere, ubi non minus quam triginta dies permaneat. trecentasque tabulas sic approbatas universae civitati magistratus ostendant: quae, quos velit de istis, iterum et accipiat et reiiciat. centumque ita secundo delecti rursus omnibus ostendantur: tertio vero nominet de centum viris quilibet, quemcunque voluerit. septem autem trigintaque viri eos, qui pluribus delecti suffragiis sunt, magistratus declarent. quinam igitur, o Clinia Megilleque, haec omnia de magistratibus eorumque probatione in civitate constituent? num intelligimus, in civitatibus sic ab initio conciliatis praeesse aliquos oportere? qui vero ex omnibus magistratibus deligantur, in eis nequaquam reperiuntur. cum tamen eos esse oporteat non viles quosdam, sed summos viros atque praestantes. principium enim dimidium totius operis esse proverbio dicitur: atque eum, qui bene coepit, omnes laudamus. mihi autem hoc plus quam dimidium esse videtur, rectumque principium nunquam satis ab aliquo laudatum fuisse. *Cli.* Recte loqueris.

τοὺς πάντας, ἐννέα δὲ καὶ δέκα ἐκ τῶν ἐποικησάντων, τοὺς δὲ ἄλλους ἐξ αὐτῆς Κνωσοῦ. τούτους δ' οἱ Κνώσιοι τῇ πόλει σοι δόντων, καὶ αὐτὸν σέ, πολίτην εἶναι ταύτης τῆς ἀποικίας καὶ ἕνα τῶν ὀκτωκαίδεκα, πείσαντες ἢ τῇ μετρίᾳ δυνάμει βιασάμενοι.

ΚΛ. Τί δῆτα οὐ καὶ σύ τε καὶ ὁ Μέγιλλος, ὦ ξένε, ἐκοινωνησάτην ἡμῖν τῆς πολιτείας;

ΑΘ. Μέγα μέν, ὦ Κλεινία, φρονοῦσιν αἱ Ἀθῆναι, μέγα δὲ καὶ ἡ Σπάρτη, καὶ μακρὰν ἀποικοῦσιν ἑκάτεραι· σοὶ δὲ κατὰ πάντα ἐμμελῶς ἔχει καὶ τοῖς ἄλλοις οἰκιςαῖς κατὰ ταὐτά, ὥς περ τὰ περὶ σοῦ νῦν λεγόμενα. ὡς μὲν οὖν γένοιτ' ἂν ἐπιεικέςατα ἐκ τῶν ὑπαρχόντων ἡμῖν τὰ νῦν, εἰρήσθω· προελθόντος δὲ χρόνου καὶ μεινάσης τῆς πολιτείας αἵρεσις αὐτῶν ἔςω τοιάδε τις. πάντες μὲν κοινωνούντων τῆς τῶν ἀρχόντων αἱρέσεως ὁπόσοι περ ἂν ὅπλα ἱππικὰ ἢ πεζικὰ τιθῶνται καὶ πολέμου κεκοινωνήκωσιν ἐν ταῖς σφετέραις αὐτῶν τῆς ἡλικίας δυνάμεσι· ποιεῖσθαι δὲ τὴν αἵρεσιν ἐν ἱερῷ ὅ'περ ἂν ἡ πόλις ἡγῆται τιμιώτατον, φέρειν δ' ἐπὶ τὸν τοῦ θεοῦ βωμὸν ἕκαςον εἰς πινάκιον γράψαντα τοὔνομα πατρόθεν καὶ φυλῆς καὶ δήμου ὁπόθεν ἂν δημοτεύηται, παρεγγράφειν δὲ καὶ τὸ αὑτοῦ κατὰ ταὐ-

eligere: novem quidem decemque ex eorum numero, qui coloniam habitabunt, ex Gnoso ipsa reliquos. hos utique Gnosii tuae dent civitati, te quoque ipsum, ut huius coloniae civem et unum de octo decemque viris. haec aut persuadendo aut vi mediocriter cogendo faciant. *Cli.* Quid vero? nonne et tu, hospes, et Megillus iste reipublicae huius nobiscum participes? *Athen.* Magni, o Clinia, Athenienses, magni quoque Lacedaemonii se faciunt: et longe utrique incolunt. tibi autem omnia commode se habent: et habitatoribus aliis similiter, secundum ea, quae de te modo dicta sunt: et quae tibi atque illis hac tempestate convenientissime fieri possunt, exposita. progressu autem temporis, et republica permanente, huiusmodi magistratuum designatio fiat. quicunque arma sive equites sive pedites ferre possunt, bellisque in aetatis suae ordine interfuerunt, suffragium ineant: comitiaque in templo habeantur, quod praestantissimum civitas ducat. unusquisque autem in ara Dei nomen suum et patris et tribus et gentis in tabula scriptum deponat: liceatque cuique, si velit,

τὰ οὕτως ὄνομα. τῷ βουλομένῳ δ' ἐξέσω τῶν πινακίων ὅ τί περ ἂν φαίνηται μὴ κατὰ νοῦν αὐτῷ γεγραμμένον, ἀνελόντα εἰς ἀγορὰν θεῖναι μὴ ἔλαττον τριάκοντα ἡμερῶν. τὰ δὲ τῶν πινακίων κριθέντα ἐν πρώτοις μέχρι τριακοσίων δεῖξαι τοὺς ἄρχοντας ἰδεῖν πάσῃ τῇ πόλει, τὴν δὲ πόλιν ὡσαύτως ἐκ τούτων φέρειν πάλιν ὃν ἂν ἕκαστος βούληται, τοὺς δὲ τὸ δεύτερον ἐξ αὐτῶν προκριθέντας ἑκατὸν δεῖξαι πάλιν ἅπασι. τὸ δὲ τρίτον φερέτω μὲν ἐκ τῶν ἑκατὸν ὁ βουληθεὶς ὃν ἂν βούληται, διὰ τομίων πορευόμενος· ἑπτὰ δὲ καὶ τριάκοντα, οἷς ἂν πλεῖσαι γένωνται ψῆφοι, κρίναντες ἀποφηνάντων ἄρχοντας. Τίνες οὖν, ὦ Κλεινία καὶ Μέγιλλε, πάντα ἡμῖν ταῦτ' ἐν τῇ πόλει καταχήσουσι ἀρχῶν τε πέρι καὶ τῶν δοκιμασιῶν αὐτῶν; ἆρα ἐννοοῦμεν ὡς ταῖς πρῶτον οὕτω καταζευγνυμέναις πόλεσιν ἀνάγκη μὲν εἶναί τινας, οἵ τινες δὲ εἶεν ἂν πρὸς πασῶν τῶν ἀρχῶν γεγονότες οὐκ ἔχει; δεῖ μὴν ἁμῶς γέ πως, καὶ ταῦτα οὐ φαύλους ἀλλ' ὅτι μάλιστα ἄκρους. ἀρχὴ γὰρ λέγεται μὲν ἥμισυ παντὸς ἐν ταῖς παροιμίαις ἔργου, καὶ τό γε καλῶς ἄρξασθαι πάντες ἐγκωμιάζομεν ἑκάστοτε· τὸ δ' ἔχει τε, ὡς ἐμοὶ φαίνεται, πλέον ἢ τὸ ἥμισυ καὶ οὐδεὶς αὐτὸ καλῶς γενόμενον ἐγκεκωμίακεν ἱκανῶς. 754

quamcunque tabulam non recte scriptam suspicabitur, in loco publico ponere, ubi non minus quam triginta dies permaneat. trecentasque tabulas sic approbatas universae civitati magistratus ostendant: quae, quos velit de istis, iterum et accipiat et reiiciat. centumque ita secundo delecti rursus omnibus ostendantur: tertio vero nominet de centum viris quilibet. quemcunque voluerit. septem autem trigintaque viri eos, qui pluribus delecti suffragiis sunt, magistratus declarent. quinam igitur, o Clinia Megilleque, haec omnia de magistratibus eorumque probatione in civitate constituent? num intelligimus, in civitatibus sic ab initio conciliatis praeesse aliquos oportere? qui vero ex omnibus magistratibus deligantur, in eis nequaquam reperiuntur. cum tamen eos esse oporteat non viles quosdam, sed summos viros atque praestantes. principium enim dimidium totius operis esse proverbio dicitur: atque eum, qui bene coepit, omnes laudamus. mihi autem hoc plus quam dimidium esse videtur, rectumque principium nunquam satis ab aliquo laudatum fuisse. *Cli.* Recte loqueris.

Cl. Ὀρθότατα λέγεις.

Ath. Μὴ τοίνυν γιγνώσκοντές γε παρῶμεν αὐτὸ ἄρρητον, μηδὲν διασαφήσαντες ἡμῖν αὐτοῖς τίνα ἔχει τρόπον. ἐγὼ μὲν οὖν οὐδαμῶς εὐπορῶ πλήν γε ἑνὸς εἰπεῖν πρὸς τὸ παρὸν ἀναγκαίου καὶ ξυμφέροντος λόγου.

Cl. Τίνος δή;

Ath. Φημὶ ταύτῃ τῇ πόλει, ἣν οἰκίζειν μέλλομεν, νέαν πατέρα καὶ μητέρα οὐκ εἶναι πλὴν τὴν κατοικίζουσαν αὐτὴν πόλιν, οὐκ ἀγνοῶν ὅτι πολλαὶ τῶν ἀποικισθεισῶν διάφοροι ταῖς κατοικισάσαις πολλάκις ἔνιαι γεγόνασί τε καὶ ἔσονται. νῦν μὴν ἐν τῷ παρόντι, καθάπερ παῖς, εἰ καί ποτε μέλλει διάφορος εἶναι τοῖς γεννήσασιν, ἔν γε τῇ παρούσῃ παιδείας ἀπορίᾳ ζέργει τε καὶ ζέργεται ὑπὸ τῶν γεννησάντων, καὶ φεύγων ἀεὶ πρὸς τοὺς οἰκείους ἀναγκαίους μόνους εὑρίσκει ξυμμάχους· ἃ δὴ νῦν φημὶ Κνωσίοις διὰ τὴν ἐπιμέλειαν πρὸς τὴν νέαν πόλιν καὶ τῇ νέᾳ πρὸς Κνωσὸν ὑπάρχειν ἑτοίμως γεγονότα. λέγω δέ, καθάπερ εἶπον νῦν δή, δὶς γὰρ τό γε καλὸν ῥηθὲν οὐδὲν βλάπτει, Κνωσίους δεῖν ἐπιμεληθῆναι πάντων τούτων κοινῇ, προσελομένους τῶν εἰς τὴν ἀποικίαν ἀφικομένων τοὺς πρεσβυτάτους τε καὶ ἀρίστους εἰς δύναμιν, ἑλομένους μὴ ἔλαττον ἑκα-

Athen. Quare, cum nos id non lateat, ne silentio praetereamus: sed, quomodo fiat, perspicue declaremus; quamvis ego nihil in praesentia, nisi hoc unum necessarium atque perutile habeam dicere. *Cli.* Quidnam? *Athen.* Equidem civitatis huius, quam condituri sumus, neminem aut patrem aut matrem esse aio, praeter civitatem illam, quae coloniam mittit. nec ignoro fuisse multas ac fore colonias, a civitatibus, quae miserunt, discidio distractas. quemadmodum vero erga parentes se gerit filius, qui, quamvis adversaturus illis quandoque sit, in ipsa tamen pueritiae indigentia genitores diligit ac vicissim diligitur, et ad suos semper refugiens in his solis praesidium reperit: ita quoque novam arbitror civitatem erga curatores eius Gnosios et Gnosios erga civitatem novam affici. repeto igitur, quod modo dixi. non enim nocet bis dicere, quod bene dicitur. oportet, ut Gnosii horum omnium curam suscipiant, et de colonis viros seniores atque

τὸν ἀνδρῶν· καὶ αὐτῶν Κνωσίων ἕξωσαν ἑκατὸν ἕτεροι. τούτους δὲ ἐλθόντας φημὶ δεῖν εἰς τὴν καινὴν πόλιν συνεπιμεληθῆναι ὅπως αἵ τε ἀρχαὶ καταξῶσι κατὰ νόμους καταξᾶσαί τε δοκιμασθῶσι· γενομένων δὲ τούτων τὴν μὲν Κνωσὸν τοὺς Κνωσίους οἰκεῖν, τὴν δὲ νέαν πόλιν αὐτὴν αὐτὴν πειρᾶσθαι σώζειν τε καὶ εὐτυχεῖν. οἱ δὲ δὴ γενόμενοι τῶν ἑπτὰ καὶ τριάκοντα νῦν τε καὶ εἰς τὸν ἔπειτα ξύμπαντα χρόνον ἐπὶ τοῖσδε ἡμῖν ῥῄσθωσαν· πρῶτον μὲν φύλακες ἕξωσαν τῶν νό-
o μων, ἔπειτα τῶν γραμμάτων ὧν ἂν ἕκαστος ἀπογράψῃ τοῖς ἄρχουσι τὸ πλῆθος τῆς αὐτῶν οὐσίας, πλὴν ὁ μὲν μέγιστον τίμημα ἔχων τεττάρων μνῶν, ὁ δὲ τὸ δεύτερον τριῶν, ὁ δὲ τρίτος δυεῖν μναῖν, μνᾶς δὲ ὁ τέταρτος. ἐὰν δέ τις ἕτερον φαίνηταί τι παρὰ τὰ γεγραμμένα κεκτημένος, δημόσιον μὲν ἕξω τὸ τοιοῦτον ἅπαν, πρὸς τούτῳ δὲ δίκην ὑπεχέτω τῷ βουλομένῳ μετιέναι μὴ καλὴν μηδ' εὐώνυμον ἀλλ' αἰσχράν, ἐὰν ἁλίσκηται διὰ τὸ κέρδος τῶν νόμων καταφρονῶν. αἰσχροκερδείας οὖν αὐτὸν γραψάμενος ὁ βουληθεὶς ἐπεξ ἴτω τῇ δίκῃ ἐν
o αὐτοῖς τοῖς νομοφύλαξιν· ἐὰν δ' ὁ φεύγων ὄφλῃ, τῶν κοινῶν κτημάτων μὴ μετεχέτω, διανομὴ δὲ ὅταν τῇ πόλει γίγνηταί τις, ἄμοιρος ἕξω πλήν γε τοῦ κλήρου, 755

optimos non pauciores quam centum deligant, deque ipsis Gnosiis alios centum, quos in novam civitatem profectos, oportere arbitror operam dare, ut magistratus secundum leges constituantur et statuti comprobentur. his factis, Gnosum Gnosii redeant: nova vero civitas se ipsam servare ac feliciter vivere conetur. qui autem in septem et triginta virorum numero computati sunt, et nunc et postea semper istas res curent. primo quidem legum custodiam habeant: deinde etiam tabularum, ubi quisque magnitudinem sui census conscripserit. sitque maximus census minarum quatuor: secundus trium: duarum tertius: quartus unius. Quod si quis plus, quam in tabella scriptum dederit, habere deprehendatur; quod superest, publicum fiat: praeterea reus sit volentis eum tanquam infamem accusare. quando propter lucrum spernere leges inveniatur. atque eum, quicunque voluerit, turpis lucri nomine apud legum custodes accuset. et qui damnatus erit, publicarum possessionum sit expers: ac si qua bonorum in civitate distributio fiat, nihil praeter sortem primam assequi possit: damnatumque ipsum esse,

γεγράφθω δὲ ὡφληκώς, ἕως ἂν ζῇ, ὅπου πᾶς ὁ βουλόμενος αὐτὰ ἀναγνώσεται. μὴ πλέον δὲ εἴκοσιν ἐτῶν νομοφύλαξ ἀρχέτω, φερέσθω δ' εἰς τὴν ἀρχὴν μὴ ἔλαττον ἢ πεντήκοντα γεγονὼς ἐτῶν· ἑξηκοντούτης δὲ ἐνιχθεὶς δέκα μόνον ἀρχέτω ἔτη, καὶ κατὰ τοῦτον τὸν λόγον, ὅπως, ἄν τις πλέον ὑπερβὰς ἑβδομήκοντα ζῇ, μηκέτι ἐν τούτοις τοῖς ἄρχουσι τὴν τηλικαύτην ἀρχὴν ὡς ἄρξων διανοηθήτω.

Τὰ μὲν οὖν περὶ τῶν νομοφυλάκων ταῦτα εἰρήσθω προστάγματα τρία, προϊόντων δὲ εἰς τοὔμπροσθε τῶν νόμων ἕκαστος προστάξει τούτοις τοῖς ἀνδράσιν| ὧν τινῶν αὐτοὺς δεῖ πρὸς τοῖς νῦν εἰρημένοις προσεπιμελεῖσθαι· νῦν δ' ἐξῆς ἄλλων ἀρχῶν αἱρέσεως πέρι λέγοιμεν ἄν. δεῖ γὰρ δὴ τὰ μετὰ ταῦτα στρατηγοὺς αἱρεῖσθαι, καὶ τούτοις εἰς τὸν πόλεμον οἷόν τινας ὑπηρεσίας ἱππάρχους καὶ φυλάρχους καὶ τῶν πεζῶν φυλῶν κοσμητὰς τῶν τάξεων, οἷς πρέπον ἂν εἴη τοῦτ' αὐτὸ τοὔνομα μάλιστα, οἷον καὶ οἱ πολλοὶ ταξιάρχους αὐτοὺς ἐπονομάζουσι. τούτων δὴ στρατηγοὺς μὲν ἐξ αὐτῆς τῆς πόλεως ταύτης οἱ νομοφύλακες προβαλλέσθων, αἱρείσθων δ' ἐκ τῶν προβληθέντων πάντες οἱ τοῦ πολέμου κοινωνοὶ γενόμενοί τε ἐν ταῖς ἡλικίαις καὶ γιγνόμενοι ἑκάστοτε. ἐὰν δέ τις ἄρα

quamdiu vivit, ibi scribatur, ubi, quicunque voluerit, possit legere. custos autem legum non plus quam annos viginti hunc habeat magistratum: nec pauciores natus quam quinquaginta eum gerat. ac si sexagesimum aetatis annum agens magistratum hunc nactus est, solum praesit decennium: hac utique ratione, ut qui septuagesimum annum excesserit, tantum magistratum non teneat. haec igitur tria de legum custodibus praecepta sint. proficientibus vero legibus, quivis poterit his viris praecipere, quorum maxime curam praeter ea, quae modo diximus, habere eos oporteat. nunc vero nos deinceps de aliorum magistratuum delectu dicamus. Post haec duces exercitus eligendi sunt, eorumque ministri in bello, magistri equitum, tribuni militum peditumque ordinatores, quos merito multorum more praefectos ordinum nuncupabimus. igitur ipsi custodes legum huiusmodi exercitus duces futuros aliquos civitatis huius cives proponant: suffragium ineant omnes, qui bellis in aetate convenienti interfuerunt, aut iam intersunt. quod si quis aliquem a nullo propositum

δοκῇ τινὶ τῶν μὴ προβεβλημένων ἀμείνων εἶναι τῶν προβληθέντων τινός, ἐπονομάσας ἀνθ' ὅτου ὃν τινα προβάλλεται, τοῦτ' αὐτὸ ὀμνὺς ἀντιπροβαλλέσθω τὸν ἕτερον· ὁπότερος δ' ἂν δόξῃ διαχειροτονούμενος, εἰς τὴν αἵρεσιν ἐγκρινέσθω. τρεῖς δέ, οἷς ἂν ἡ πλείστη χειροτονία γίγνηται, τούτους εἶναι στρατηγούς τε καὶ ἐπιμελητὰς τῶν κατὰ πόλεμον, δοκιμασθέντων καθά περ οἱ νομοφύλακες. ταξιάρχους δὲ αὐτοῖσι προβάλλεσθαι μὲν τοὺς αἱρεθέντας στρατηγοὺς δώδεκα, ἑκάστῃ φυλῇ ταξίαρχον· τὴν δ' ἀντιπροβολὴν εἶναι, καθά περ τῶν στρατηγῶν ἐγίγνετο, τὴν αὐτὴν καὶ περὶ τῶν ταξιαρχῶν καὶ τὴν ἐπιχειροτονίαν καὶ τὴν κρίσιν. τὸν δὲ ξύλλογον τοῦτον ἐν τῷ παρόντι, πρὶν πρυτάνεις τε καὶ βουλὴν ἡρῆσθαι, τοὺς νομοφύλακας συλλέξαντας εἰς χωρίον ὡς ἱερώτατόν τε καὶ ἱκανώτατον καθίσαι χωρὶς μὲν τοὺς ὁπλίτας, χωρὶς δὲ τοὺς ἱππέας, τρίτον δ' ἐφεξῆς τούτοις πᾶν ὅσον ἐμπολέμιον· χειροτονούντων δὲ στρατηγοὺς μὲν καὶ ἱππάρχους πάντες, ταξιάρχους 766
δὲ οἱ τὴν ἀσπίδα τιθέμενοι. φυλάρχους δὲ αὖ τούτοις πᾶν τὸ ἱππικὸν αἱρείσθω, ψιλῶν δὲ ἢ τοξοτῶν ἢ τινος ἄλλου τῶν ἐμπολεμίων ἡγεμόνας οἱ στρατηγοὶ ἑαυτοῖς καθισάντων. ἱππάρχων δὴ κατάσασις ἂν ἡμῖν ἔτι

proposito aliquo praestantiorem existimet, liceat ei loco eius alium nominare, si modo prius, quod ita iudicet, iureiurando confirmaverit. et nominatus maiore suffragiorum numero deligatur. tres autem, quibus favetur plurimum, duces exercitus bellicarumque rerum curatores, quemadmodum custodes legum, comprobentur, qui praefectos ordinum duodecim, unum cuilibet tribui nominent. pronominatio autem et suffragium designatioque et iudicium ita in his fiat, quemadmodum in exercitus ducibus. comitia vero in praesentia, antequam creetur consilium et praefecti consilio deligantur, custodes legum in sanctissimo sufficientissimoque loco habeant: ubi seorsum pedites et equites sedeant, tertioque deinceps ceteri, quicunque in armis versantur. et in eligendis quidem ductoribus et magistris equitum, omnes suffragium ineant, in praefectis ordinum solummodo qui scuta ferunt: in tribunis militum equites omnes. at levis armaturae aut sagittariorum ceterorumque huiusmodi praefectos ipsi duces exercitus sibi con-

ἔθνει προθύμως κατοικιεῖν δέκατος αὐτός, ὡς φῄς, τὲ
752 νῦν, ἐγὼ δ' αὖ σοὶ ξυλλήψεσθαι κατὰ τὴν παροῦσαν
ἡμῖν τὰ νῦν μυθολογίαν. οὔκουν δή που λέγων γε ἂν
μῦθον ἀκέφαλον ἐκὼν καταλίποιμι· πλανώμενος γὰρ
ἂν ἁπάντῃ τοιοῦτος ὢν ἄμορφος φαίνοιτο.

ΚΛ. Ἄριστ' εἴρηκας, ὦ ξένε.

ΑΘ. Οὐ μόνον γε, ἀλλὰ καὶ δράσω κατὰ δύναμιν
οὕτως.

ΚΛ. Πάνυ μὲν οὖν ποιῶμεν ᾗ περ καὶ λέγομεν.

ΑΘ. Ἕξαι ταῦτ', ἂν θεὸς ἐθέλῃ καὶ γήρως ἐπι- 10
κρατῶμεν τό γε τοσοῦτον.

ΚΛ. Ἀλλ' εἰκὸς ἐθέλειν.

ΑΘ. Εἰκὸς γὰρ οὖν. ἑπόμενοι δὲ αὐτῷ λάβωμεν
καὶ τόδε.

ΚΛ. Τὸ ποῖον;

ΑΘ. Ὡς ἀνδρείως καὶ παρακεκινδυνευμένως ἐν
τῷ νῦν ἡ πόλις ἡμῖν ἔσαι κατῳκισμένη.

ΚΛ. Περὶ τί βλέπων καὶ ποῖ μάλιστα αὐτὸ εἰρη-
κας τὰ νῦν;

ΑΘ. Ὡς εὐκόλως καὶ ἀφόβως ἀπείροις ἀνδράσι 20
νομοθετοῦμεν, ὅπως δέξονταί ποτε τοὺς νῦν τεθέντας
νόμους. δῆλον δὲ τό γε τοσοῦτον, ὦ Κλεινία, παντὶ
σχεδὸν καὶ τῷ μὴ πάνυ σοφῷ, τὸ μὴ ῥᾳδίως γε αὐ-
τοὺς μηδένας προσδέξασθαι κατ' ἀρχάς, εἰ δὲ μείναι-

tatis Cretensibus instituendae officium libenti animo suscepisti, ac decimus es in hoc opere, ut ipse dicis: et ego tibi auxilium praesenti confabulatione afferre promisi. quare sermonem hunc nostrum sine capite restare non patiar. nam si ita vagaretur, deformis omnibus appareret. *Cli.* Optime dixisti, hospes. *Athen.* Immo etiam sic pro viribus faciam. *Cli.* Faciamus sic prorsus, ut dicimus. *Athen.* Faciemus utique, si Deus voluerit, sic, ut etiam senectam in hac parte superemus. *Cli.* At Deum velle credendum est. *Athen.* Credendum profecto. quare ipsum sequentes hoc etiam dicamus. *Cli.* Quidnam? *Athen.* Quam audacter simul atque periculose modo civitatis habitatio nobis constituetur. *Cli.* Quorsum haec? *Athen.* Quia facile et intrepide rudibus hominibus leges damus, utque ipsas suscipiant, iubemus: cum omnibus ferme, o Clinia, etiam non multum sapientibus, perspicuum sit, neminem leges novas facile suscepturum. si ve-

μέν πως τοσοῦτον χρόνον, ἕως οἱ γευσάμενοι παῖδες τῶν νόμων καὶ ξυντραφέντες ἱκανῶς ξυνήθεις τε αὐτοῖς γενόμενοι τῶν ἀρχαιρεσιῶν τῇ πόλει πάσῃ κοινωνήσειαν· γενομένου γε μὴν οὗ λέγομεν, εἴ πέρ τινι τρόπῳ καὶ μηχανῇ γίγνοιτο ὀρθῶς, πολλὴν ἔγωγε ἀσφάλειαν ἡγοῦμαι καὶ μετὰ τὸν τότε παρόντα χρόνον ἂν γενέσθαι τοῦ μεῖναι τὴν παιδαγωγηθεῖσαν οὕτω πόλιν.

ΚΛ. Ἔχει γοῦν λόγον.

ΑΘ. Ἴδωμεν τοίνυν πρὸς τοῦτο εἴ πῃ τινα πόρον ἱκανὸν πορίζοιμεν ἂν κατὰ τάδε. φημὶ γάρ, ὦ Κλεινία, Κνωσίους χρῆναι τῶν ἄλλων διαφερόντως Κρητῶν μὴ μόνον ἀφοσιώσασθαι περὶ τῆς χώρας ἣ νῦν κατοικίζεται, συντόνως δ' ἐπιμεληθῆναι τὰς πρώτας ἀρχὰς εἰς δύναμιν, ὅπως ἂν ὡς ἀσφαλέστατα καὶ ἄριστα. τὰς μὲν οὖν ἄλλας καὶ βραχύτερον ἔργον, νομοφύλακας δ' ἂν ἡμῖν πρώτους αἱρεῖσθαι ἀναγκαιότατον ἁπάσῃ σπουδῇ.

ΚΛ. Τίνα οὖν ἐπὶ τούτῳ πόρον καὶ λόγον ἀνευρίσκομεν;

ΑΘ. Τόνδε. φημί, ὦ παῖδες Κρητῶν, χρῆναι Κνωσίους διὰ τὸ πρεσβεύειν τῶν πολλῶν πόλεων κοινῇ μετὰ τῶν ἀφικομένων εἰς τὴν ξυνοίκησιν ταύτην ἐξ αὐτῶν τε καὶ ἐκείνων αἱρεῖσθαι τριάκοντα μὲν καὶ ἑπτὰ

ro tamdiu exspectaremus, donec legibus instituti pueri, unaque et diu sub eisdem legibus conversati, suffragia universae civitati ferre possint, atque id pro viribus recte fieret, certe et tunc et in posterum procul ab errore sic instructa civitas permaneret. *Cli.* Sic ratio monet. *Athen.* Perspiciamus ergo, si modum quendam ad haec commodum ita ferre possimus. Gnosios oportet, o Clinia, prae ceteris Cretensibus non solum quasi libando inchoare, quam nunc rempublicam conditis: sed omni studio providere, ut quam tutissime atque optime primi magistratus constituantur. In aliis quidem constituendis opera brevior: legum autem custodes ante alios creare summa diligentia necessarium est. *Cli.* Qua via istud rationeque faciemus? *Athen.* Hac, o Cretenses, inquam. Oportet Gnosios, quando multarum ipsi civitatum primi sunt, communiter cum his, qui in eandem convenere coloniam, a se ipsis et ab illis septem et triginta viros

τοὺς πάντας, ἐννέα δὲ καὶ δέκα ἐκ τῶν ἐποικησάντων, τοὺς δὲ ἄλλους ἐξ αὐτῆς Κνωσοῦ. τούτους δ' οἱ Κνώσιοι τῇ πόλει σοι δόντων, καὶ αὐτὸν σέ, πολίτην εἶναι ταύτης τῆς ἀποικίας καὶ ἕνα τῶν ὀκταικαίδεκα, πείσαντες ἢ τῇ μετρίᾳ δυνάμει βιασάμενοι.

ΚΛ. Τί δῆτα οὐ καὶ σύ τε καὶ ὁ Μέγιλλος, ὦ ξένε, ἐκοινωνησάτην ἡμῖν τῆς πολιτείας;

ΑΘ. Μέγα μέν, ὦ Κλεινία, φρονοῦσιν αἱ Ἀθῆναι, μέγα δὲ καὶ ἡ Σπάρτη, καὶ μακρὰν ἀποικοῦσιν ἑκάτεραι· σοὶ δὲ κατὰ πάντα ἐμμελῶς ἔχει καὶ τοῖς ἄλλοις οἰκιαῖς κατὰ ταὐτά, ὥς περ τὰ περὶ σοῦ νῦν λεγόμενα. ὡς μὲν οὖν γένοιτ' ἂν ἐπιεικέστατα ἐκ τῶν ὑπαρχόντων ἡμῖν τὰ νῦν, εἰρήσθω· προελθόντος δὲ χρόνου καὶ μεινάσης τῆς πολιτείας αἵρεσις αὐτῶν ἔξω τοιάδε τις. πάντες μὲν κοινωνούντων τῆς τῶν ἀρχόντων αἱρέσεως ὁπόσοι περ ἂν ὅπλα ἱππικὰ ἢ πεζικὰ τιθῶνται καὶ πολέμου κεκοινωνήκωσιν ἐν ταῖς σφετέραις αὐτῶν τῆς ἡλικίας δυνάμεσι· ποιεῖσθαι δὲ τὴν αἵρεσιν ἐν ἱερῷ ὅ'περ ἂν ἡ πόλις ἡγῆται τιμιώτατον, φέρειν δ' ἐπὶ τὸν τοῦ θεοῦ βωμὸν ἕκαστον εἰς πινάκιον γράψαντα τοὔνομα πατρόθεν καὶ φυλῆς καὶ δήμου ὁπόθεν ἂν δημοτεύηται, παρεγγράφειν δὲ καὶ τὸ αὑτοῦ κατὰ ταὐ-

eligere: novem quidem decemque ex eorum numero, qui coloniam habitabunt, ex Gnoso ipsa reliquos. hos utique Gnosii tuae dent civitati, te quoque ipsum, ut huius coloniae civem et unum de octo decemque viris. haec aut persuadendo aut vi mediocriter cogendo faciant. *Cli.* Quid vero? nonne et tu, hospes, et Megillus iste reipublicae huius nobiscum participes? *Athen.* Magni, o Clinia, Athenienses, magni quoque Lacedaemonii se faciunt: et longe utrique incolunt. tibi autem omnia commode se habent: et habitatoribus aliis similiter, secundum ea, quae de te modo dicta sunt: et quae tibi atque illis hac tempestate convenientissime fieri possunt, exposita. progressu autem temporis, et republica permanente, huiusmodi magistratuum designatio fiat. quicunque arma sive equites sive pedites ferre possunt, bellisque in aetatis suae ordine interfuerunt, suffragium ineant: comitiaque in templo habeantur, quod praestantissimum civitas ducat. unusquisque autem in ara Dei nomen suum et patris et tribus et gentis in tabula scriptum deponat: liceatque cuique, si velit,

τὰ οὕτως ὄνομα. τῷ βουλομένῳ δ' ἐξέσω τῶν πινακίων ὅ τί περ ἂν φαίνηται μὴ κατὰ νοῦν αὐτῷ γεγραμμένον, ἀνελόντα εἰς ἀγορὰν θεῖναι μὴ ἔλαττον τριάκοντα ἡμερῶν. τὰ δὲ τῶν πινακίων κριθέντα ἐν πρώτοις μέχρι τριακοσίων δεῖξαι τοὺς ἄρχοντας ἰδεῖν πάσῃ τῇ πόλει, τὴν δὲ πόλιν ὡσαύτως ἐκ τούτων φέρειν πάλιν ὃν ἂν ἕκαστος βούληται, τοὺς δὲ τὸ δεύτερον ἐξ αὐτῶν προκριθέντας ἑκατὸν δεῖξαι πάλιν ἅπασι. τὸ δὲ τρίτον φερέτω μὲν ἐκ τῶν ἑκατὸν ὁ βουληθεὶς ὃν ἂν βούληται, διὰ τομίων πορευόμενος· ἑπτὰ δὲ καὶ τριάκοντα, οἷς ἂν πλεῖσαι γένωνται ψῆφοι, κρίναντες ἀποφηνάντων ἄρχοντας. Τίνες οὖν, ὦ Κλεινία καὶ Μέγιλλε, πάντα ἡμῖν ταῦτ' ἐν τῇ πόλει καταζήσουσι ἀρχῶν τε περὶ καὶ τῶν δοκιμασιῶν αὐτῶν; ἆρα ἐννοοῦμεν ὡς ταῖς πρῶτον οὕτω καταζευγνυμέναις πόλεσιν ἀνάγκη μὲν εἶναί τινας, οἵ τινες δὲ εἶεν ἂν πρὸς πασῶν τῶν ἀρχῶν γεγονότες οὐκ ἔξι; δεῖ μὴν ἅμως γέ πως, καὶ ταῦτα οὐ φαύλους ἀλλ' ὅτι μάλιστα ἄκρους. ἀρχὴ γὰρ λέγεται μὲν ἥμισυ παντὸς ἐν ταῖς παροιμίαις ἔργου, καὶ τό γε καλῶς ἄρξασθαι πάντες ἐγκωμιάζομεν ἑκάστοτε· τὸ δ' ἔξι τε, ὡς ἐμοὶ φαίνεται, πλέον ἢ τὸ ἥμισυ καὶ οὐδεὶς αὐτὸ καλῶς γενόμενον ἐγκεκωμίακεν ἱκανῶς. 754

quamcunque tabulam non recte scriptam suspicabitur, in loco publico ponere, ubi non minus quam triginta dies permaneat. trecentasque tabulas sic approbatas universae civitati magistratus ostendant: quae, quos velit de istis, iterum et accipiat et reiiciat. centumque ita secundo delecti rursus omnibus ostendantur: tertio vero nominet de centum viris quilibet, quemcunque voluerit. septem autem trigintaque viri eos, qui pluribus delecti suffragiis sunt, magistratus declarent. quinam igitur, o Clinia Megilleque, haec omnia de magistratibus eorumque probatione in civitate constituent? num intelligimus, in civitatibus sic ab initio conciliatis praeesse aliquos oportere? qui vero ex omnibus magistratibus deligantur, in eis nequaquam reperiuntur. cum tamen eos esse oporteat non viles quosdam, sed summos viros atque praestantes. principium enim dimidium totius operis esse proverbio dicitur: atque eum, qui bene coepit, omnes laudamus. mihi autem hoc plus quam dimidium esse videtur, rectumque principium nunquam satis ab aliquo laudatum fuisse. *Cli.* Recte loqueris.

ΚΛ. Ὀρθότατα λέγεις.

ΑΘ. Μὴ τοίνυν γιγνώσκοντές γε παρῶμεν αὐτὸ ἄῤῥητον, μηδὲν διασαφήσαντες ἡμῖν αὐτοῖς τίνα ἔξει τρόπον. ἐγὼ μὲν οὖν οὐδαμῶς εὐπορῶ πλήν γε ἑνὸς εἰπεῖν πρὸς τὸ παρὸν ἀναγκαίου καὶ ξυμφέροντος λόγου.

ΚΛ. Τίνος δή;

ΑΘ. Φημὶ ταύτῃ τῇ πόλει, ἣν οἰκίζειν μέλλομεν, οἷον πατέρα καὶ μητέρα οὐκ εἶναι πλὴν τὴν κατοικίζουσαν αὐτὴν πόλιν, οὐκ ἀγνοῶν ὅτι πολλαὶ τῶν κατοικισθεισῶν διάφοροι ταῖς κατοικισάσαις πολλάκις ἔνιαι γεγόνασί τε καὶ ἔσονται. νῦν μὴν ἐν τῷ παρόντι, καθά περ παῖς, εἰ καί ποτε μέλλει διάφορος εἶναι τοῖς γεννήσασιν, ἔν γε τῇ παρούσῃ παιδείας ἀπορίᾳ ζέργει τε καὶ ζέργεται ὑπὸ τῶν γεννησάντων, καὶ φεύγων ἀεὶ πρὸς τοὺς οἰκείους ἀναγκαίους μόνους εὑρίσκει ξυμμάχους· ἃ δὴ νῦν φημὶ Κνωσίοις διὰ τὴν ἐπιμέλειαν πρὸς τὴν νέαν πόλιν καὶ τῇ νέᾳ πρὸς Κνωσὸν ὑπάρχειν ἑτοίμως γεγονότα. λέγω δέ, καθά περ εἶπον νῦν δή, ὃς γὰρ τό γε καλὸν ῥηθὲν οὐδὲν βλάπτει, Κνωσίους δεῖν ἐπιμεληθῆναι πάντων τούτων κοινῇ, προσελομένους τῶν εἰς τὴν ἀποικίαν ἀφικομένων τοὺς πρεσβυτάτους τε καὶ ἀρίστους εἰς δύναμιν, ἑλομένους μὴ ἔλαττον ἑκα-

Athen. Quare, cum nos id non lateat, ne silentio praetereamus: sed, quomodo fiat, perspicue declaremus; quamvis ego nihil in praesentia, nisi hoc unum necessarium atque perutile habeam dicere. *Cli.* Quidnam? *Athen.* Equidem civitatis huius, quam condituri sumus, neminem aut patrem aut matrem esse aio, praeter civitatem illam, quae coloniam mittit. nec ignoro fuisse multas ac fore colonias, a civitatibus, quae miserunt, discidio distractas. quemadmodum vero erga parentes se gerit filius, qui, quamvis adversaturus illis quandoque sit, in ipsa tamen pueritiae indigentia genitores diligit ac vicissim diligitur, et ad suos semper refugiens in his solis praesidium reperit: ita quoque novam arbitror civitatem erga curatores eius Gnosios et Gnosios erga civitatem novam affici. repeto igitur, quod modo dixi. non enim nocet bis dicere, quod bene dicitur. oportet, ut Gnosii horum omnium curam suscipiant, et de colonis viros seniores atque

τὸν ἀνδρῶν· καὶ αὐτῶν Κνωσίων ἕξωσαν ἑκατὸν ἕτεροι. τούτους δὲ ἐλθόντας φημὶ δεῖν εἰς τὴν καινὴν πόλιν συνεπιμεληθῆναι ὅπως αἵ τε ἀρχαὶ καταξῶσι κατὰ νόμους καταξάσαί τε δοκιμασθῶσι· γενομένων δὲ τούτων τὴν μὲν Κνωσὸν τοὺς Κνωσίους οἰκεῖν, τὴν δὲ νέαν πόλιν αὐτὴν αὐτὴν πειρᾶσθαι σώζειν τε καὶ εὐτυχεῖν. οἱ δὲ δὴ γενόμενοι τῶν ἑπτὰ καὶ τριάκοντα νῦν τε καὶ εἰς τὸν ἔπειτα ξύμπαντα χρόνον ἐπὶ τοῖσδε ἡμῖν ῥῄσθωσαν· πρῶτον μὲν φύλακες ἕξωσαν τῶν νό-
O μων, ἔπειτα τῶν γραμμάτων ὧν ἂν ἕκαστος ἀπογράψῃ τοῖς ἄρχουσι τὸ πλῆθος τῆς αὑτῶν οὐσίας, πλὴν ὁ μὲν μέγιστον τίμημα ἔχων τεττάρων μνῶν, ὁ δὲ τὸ δεύτερον τριῶν, ὁ δὲ τρίτος δυεῖν μναῖν, μνᾶς δὲ ὁ τέταρτος. ἐὰν δέ τις ἕτερον φαίνηταί τι παρὰ τὰ γεγραμμένα κεκτημένος, δημόσιον μὲν ἕω τὸ τοιοῦτον ἅπαν, πρὸς τούτῳ δὲ δίκην ὑπεχέτω τῷ βουλομένῳ μετιέναι μὴ καλὴν μηδ' εὐώνυμον ἀλλ' αἰσχράν, ἐὰν ἁλίσκηται διὰ τὸ κέρδος τῶν νόμων καταφρονῶν. αἰσχροκερδείας οὖν αὐτὸν γραψάμενος ὁ βουληθεὶς ἐπεξ τω τῇ δίκῃ ἐν
10 αὐτοῖς τοῖς νομοφύλαξιν· ἐὰν δ' ὁ φεύγων ὄφλῃ, τῶν κοινῶν κτημάτων μὴ μετεχέτω, διανομὴ δὲ ὅταν τῇ πόλει γίγνηταί τις, ἄμοιρος ἕω πλήν γε τοῦ κλήρου, 755

optimos non pauciores quam centum deligant, deque ipsis Gnosiis alios centum, quos in novam civitatem profectos, oportere arbitror operam dare, ut magistratus secundum leges constituantur et statuti comprobentur. his factis, Gnosum Gnosii redeant: nova vero civitas se ipsam servare ac feliciter vivere conetur. qui autem in septem et triginta virorum numero computati sunt, et nunc et postea semper istas res curent. primo quidem legum custodiam habeant: deinde etiam tabularum, ubi quisque magnitudinem sui census conscripserit. sitque maximus census minarum quatuor: secundus trium: duarum tertius: quartus unius. Quod si quis plus, quam in tabella scriptum dederit, habere deprehendatur; quod superest, publicum fiat: praeterea reus sit volentis eum tanquam infamem accusare, quando propter lucrum spernere leges inveniatur. atque eum, quicunque voluerit, turpis lucri nomine apud legum custodes accuset. et qui damnatus erit, publicarum possessionum sit expers: ac si qua bonorum in civitate distributio fiat, nihil praeter sortem primam assequi possit: damnatumque ipsum esse,

γεγράφθω δὲ ὡφληκώς, ἕως ἂν ζῇ, ὅπου πᾶς ὁ βουλόμενος αὐτὰ ἀναγνώσεται. μὴ πλέον δὲ εἴκοσιν ἐτῶν νομοφύλαξ ἀρχέτω, φερέσθω δ' εἰς τὴν ἀρχὴν μὴ ἔλαττον ἢ πεντήκοντα γεγονὼς ἐτῶν· ἑξηκοντούτης δὲ ἐνιχθεὶς δέκα μόνον ἀρχέτω ἔτη, καὶ κατὰ τοῦτον τὸν λόγον, ὅπως, ἄν τις πλέον ὑπερβὰς ἑβδομήκοντα ζῇ, μηκέτι ἐν τούτοις τοῖς ἄρχουσι τὴν τηλικαύτην ἀρχὴν ὡς ἄρξων διανοηθήτω.

Τὰ μὲν οὖν περὶ τῶν νομοφυλάκων ταῦτα εἰρήσθω προστάγματα τρία, προϊόντων δὲ εἰς τοὔμπροσθε τῶν νόμων ἕκαστος προστάξει τούτοις τοῖς ἀνδράσιν| ὧν τινῶν αὐτοὺς δεῖ πρὸς τοῖς νῦν εἰρημένοις προσεπιμελεῖσθαι· νῦν δ' ἐξῆς ἄλλων ἀρχῶν αἱρέσεως πέρι λέγοιμεν ἄν. δεῖ γὰρ δὴ τὰ μετὰ ταῦτα στρατηγοὺς αἱρεῖσθαι, καὶ τούτοις εἰς τὸν πόλεμον οἷόν τινας ὑπηρεσίας ἱππάρχους καὶ φυλάρχους καὶ τῶν πεζῶν φυλῶν κοσμητὰς τῶν τάξεων, οἷς πρέπον ἂν εἴη τοῦτ' αὐτὸ τοὔνομα μάλιστα, οἷον καὶ οἱ πολλοὶ ταξιάρχους αὐτοὺς ἐπονομάζουσι. τούτων δὴ στρατηγοὺς μὲν ἐξ αὐτῆς τῆς πόλεως ταύτης οἱ νομοφύλακες προβαλλέσθων, αἱρείσθων δ' ἐκ τῶν προβληθέντων πάντες οἱ τοῦ πολέμου κοινωνοὶ γενόμενοί τε ἐν ταῖς ἡλικίαις καὶ γιγνόμενοι ἑκάστοτε. ἐὰν δέ τις ἄρα

quamdiu vivit, ibi scribatur, ubi, quicunque voluerit, possit legere. custos autem legum non plus quam annos viginti hunc habeat magistratum: nec pauciores natus quam quinquaginta eum gerat. ac si sexagesimum aetatis annum agens magistratum hunc nactus est, solum praesit decennium: hac utique ratione, ut qui septuagesimum annum excesserit, tantum magistratum non teneat. haec igitur tria de legum custodibus praecepta sint. proficientibus vero legibus, quivis poterit his viris praecipere, quorum maxime curam praeter ea, quae modo diximus, habere eos oporteat. nunc vero nos deinceps de aliorum magistratuum delectu dicamus. Post haec duces exercitus eligendi sunt, eorumque ministri in bello, magistri equitum, tribuni militum peditumque ordinatores, quos merito multorum more praefectos ordinum nuncupabimus. igitur ipsi custodes legum huiusmodi exercitus duces futuros aliquos civitatis huius cives proponant: suffragium ineant omnes, qui bellis in aetate convenienti interfuerunt, aut iam intersunt. quod si quis aliquem a nullo propositum

δοκῇ τινὶ τῶν μὴ προβεβλημένων ἀμείνων εἶναι τῶν προβληθέντων τινός, ἐπονομάσας ἀνθ' ὅτου ὄν τινα προβάλλεται, τοῦτ' αὐτὸ ὀμνὺς ἀντιπροβαλλέσθω τὸν ἕτερον· ὁπότερος δ' ἂν δόξῃ διαχειροτονούμενος, εἰς τὴν αἵρεσιν ἐγκρινέσθω. τρεῖς δέ, οἷς ἂν ἡ πλείστη χειροτονία γίγνηται, τούτους εἶναι στρατηγούς τε καὶ ἐπιμελητὰς τῶν κατὰ πόλεμον, δοκιμασθέντων καθά περ οἱ νομοφύλακες. ταξιάρχους δὲ αὐτοῖσι προβάλλεσθαι μὲν τοὺς αἱρεθέντας στρατηγοὺς δώδεκα, ἑκάστῃ φυλῇ ταξίαρχον· τὴν δ' ἀντιπροβολὴν εἶναι, καθά περ τῶν στρατηγῶν ἐγίγνετο, τὴν αὐτὴν καὶ περὶ τῶν ταξιαρχῶν καὶ τὴν ἐπιχειροτονίαν καὶ τὴν κρίσιν. τὸν δὲ ξύλλογον τοῦτον ἐν τῷ παρόντι, πρὶν πρυτάνεις τε καὶ βουλὴν ἡρῆσθαι, τοὺς νομοφύλακας συλλέξαντας εἰς χωρίον ὡς ἱερώτατόν τε καὶ ἱκανώτατον καθίσαι χωρὶς μὲν τοὺς ὁπλίτας, χωρὶς δὲ τοὺς ἱππέας, τρίτον δ' ἐφεξῆς τούτοις πᾶν ὅσον ἐμπολέμιον· χειροτονούντων δὲ στρατηγοὺς μὲν καὶ ἱππάρχους πάντες, ταξιάρχους 766
δὲ οἱ τὴν ἀσπίδα τιθέμενοι. φυλάρχους δὲ αὖ τούτοις πᾶν τὸ ἱππικὸν αἱρείσθω, ψιλῶν δὲ ἢ τοξοτῶν ἤ τινος ἄλλου τῶν ἐμπολεμίων ἡγεμόνας οἱ στρατηγοὶ ἑαυτοῖς καθιστάντων. ἱππάρχων δὴ κατάστασις ἂν ἡμῖν ἔτι

proposito aliquo praestantiorem existimet, liceat ei loco eius alium nominare, si modo prius, quod ita iudicet, iureiurando confirmaverit. et nominatus maiore suffragiorum numero deligatur. tres autem, quibus favetur plurimum, duces exercitus bellicarumque rerum curatores, quemadmodum custodes legum, comprobentur, qui praefectos ordinum duodecim, unum cuilibet tribui nominent. pronominatio autem et suffragium designatioque et iudicium ita in his fiat, quemadmodum in exercitus ducibus. comitia vero in praesentia, antequam creetur consilium et praefecti consilio deligantur, custodes legum in sanctissimo sufficientissimoque loco habeant: ubi seorsum pedites et equites sedeant, tertioque deinceps ceteri, quicunque in armis versantur. et in eligendis quidem ductoribus et magistris equitum, omnes suffragium ineant, in praefectis ordinum solummodo qui scuta ferunt: in tribunis militum equites omnes. at levis armaturae aut sagittariorum ceterorumque huiusmodi praefectos ipsi duces exercitus sibi con-

λοιπὴ γίγνοιτο· τούτους οὖν προβαλλέσθωκ μὲν οἵ περ καὶ τοὺς στρατηγοὺς προὐβάλλοντο, τὴν δὲ αἵρεσιν καὶ τὴν ἀντιπροβολὴν τούτων τὴν αὐτὴν γίγνεσθαι καθάπερ ἡ τῶν στρατηγῶν ἐγίγνετο, χειροτονείτω δὲ τὸ ἱππικὸν αὐτοὺς ἐναντίον ὁρώντων τῶν πεζῶν, δύο δὲ οἷς ἂν πλείστη χειροτονία γίγνηται, τούτους ἡγεμόνας εἶναι πάντων τῶν ἱππευόντων. τὰς δὲ ἀμφισβητήσεις τῶν χειροτονιῶν μέχρι δυοῖν εἶναι· τὸ δὲ τρίτον ἐὰν ἀμφισβητῇ τις, διαψηφίζεσθαι τούτους οἷς περ τῆς χειροτονίας μέτρον ἑκάστοις ἔκαστον ἦν.

Βουλὴν δὲ εἶναι μὲν τριάκοντα δωδεκάδας, ἑξήκοντα δὲ καὶ τριακόσιοι γίγνοιντο ἂν πρέποντες ταῖς διανομαῖς· μέρη δὲ διανείμαντας τέτταρα κατὰ ἐνενήκοντα τὸν ἀριθμὸν τούτων ἐξ ἑκάστου τῶν τιμημάτων φέρειν ἐνενήκοντα βουλευτάς· πρῶτον μὲν ἐκ τῶν μεγίστων τιμημάτων ἅπαντας φέρειν ἐξ ἀνάγκης, ἢ ζημιοῦσθαι τὸν μὴ πειθόμενον τῇ δοξάσῃ ζημίᾳ· ἐπειδὰν δ' ἐνεχθῶσι, τούτους μὲν κατασημήνασθαι, τῇ δὲ ὑστεραίᾳ φέρειν ἐκ τῶν δευτέρων τιμημάτων κατὰ ταυτὰ καθάπερ τῇ πρόσθεν, τρίτῃ δ' ἐκ τῶν τρίτων τιμημάτων φέρειν μὲν τὸν βουλόμενον, ἐπάναγκες δὲ εἶναι τοῖς τῶν τριῶν τιμημάτων, τὸ δὲ τέταρτόν τε καὶ σμικρότατον ἐλεύθερον ἀφεῖσθαι τῆς ζημίας ὃς ἂν αὐ-

stituant. restat magistrorum equitum designatio. hos igitur illi nominent, qui ductores etiam exercitus nominarunt: suffragiumque feratur similiter. similiter quoque comparatio pronominando fiat. ferant vero suffragium praesentibus peditibus equites. atque duo, qui maiori suffragiorum numero delecti sunt, omnibus praesint equitibus. pronominationem autem bis fieri liceat. tertio, si quis dubitet, illi suffragio iudicent, qui comitiorum modum in singulos statuere. consilium triginta constet duodenariis. nam distributio huic per sexaginta trecentosque viros convenit. et in quatuor partes per nonaginta distribuatur, ita ut a censibus singulis consiliarii nonaginta ferantur. et primum quidem necessario ferant omnes, qui maximo censu sunt: et qui ferre supersederit, pro arbitrio condemnetur. postquam vero delati sunt, conscribantur. sequenti die a secundo censu eodem pacto ferantur: tertia a tertio ferat, quicunque velit. necessarium vero sit istud trium censuum viris: quartus autem minimusque census a poena sit liber, si quis eo-

τῶν μὴ βούληται φέρειν. τετάρτῃ δὲ φέρειν μὲν ἐκ τοῦ τετάρτου καὶ σμικροτάτου τιμήματος ἅπαντας, ἀζήμιον δ' εἶναι τὸν ἐκ τοῦ τετάρτου καὶ τρίτου τιμήματος, ἐὰν ἐνεγκεῖν μὴ βούληται· τὸν δ' ἐκ τοῦ δευτέρου καὶ πρώτου μὴ φέροντα ζημιοῦσθαι, τὸν μὲν ἐκ τοῦ δευτέρου τριπλασίᾳ τῆς πρώτης ζημίας, τὸν δ' ἐκ τοῦ πρώτου τετραπλασίᾳ. πέμπτῃ δὲ ἡμέρᾳ τὰ κατασημανθέντα ὀνόματα ἐξενεγκεῖν μὲν τοὺς ἄρχοντας ἰδεῖν πᾶσι τοῖς πολίταις, φέρειν δ' ἐκ τούτων αὖ πάντα ἄνδρα ἢ ζημιοῦσθαι τῇ πρώτῃ ζημίᾳ. ὀγδοήκοντα δὲ καὶ ἑκατὸν ἐκλέξαντας ἀφ' ἑκάστων τῶν τιμημάτων, τοὺς ἡμίσεις τούτων ἀποκληρώσαντας δοκιμάσαι, τούτους δ' εἶναι τὸν ἐνιαυτὸν βουλευτάς.

Ἡ μὲν αἵρεσις οὕτω γιγνομένη μέσον ἂν ἔχοι μοναρχικῆς καὶ δημοκρατικῆς πολιτείας, ἧς ἀεὶ δεῖ μεσεύειν τὴν πολιτείαν· δοῦλοι γὰρ ἂν καὶ δεσπόται οὐκ 757
ἄν ποτε γένοιντο φίλοι, οὐδὲ ἐν ἴσαις τιμαῖς διαγορευόμενοι φαῦλοι καὶ σπουδαῖοι. τοῖς γὰρ ἀνίσοις τὰ ἴσα ἄνισα γίγνοιτ' ἄν, εἰ μὴ τυγχάνοι τοῦ μέτρου. διὰ γὰρ ἀμφότερα ταῦτα στάσεών αἱ πολιτεῖαι πληροῦνται. παλαιὸς γὰρ λόγος ἀληθὴς ὤν, ὡς ἰσότης φιλότητα ἀπεργάζεται, μάλα μὲν ὀρθῶς εἴρηται καὶ ἐμμελῶς, ἢ

rum ferre noluerit. quarta die, ex quarto minimoque censu omnes ferant, hac conditione, ut si quis ex tertio vel quarto censu non tulerit, minime damnetur. si vero quispiam primi secundive census ferre neglexerit, condemnetur: ita ut, qui secundi census est, in triplo primi damni condemnetur; qui vero primi est, in quadruplo. die quinta magistratus ad omnes cives descripta efferant nominum: de quibus omnes ferant. qui noluerit, primo damno condemnetur. eorum vero, qui ex omnibus censibus electi fuerint, dimidium, hoc est centum octuaginta, sorte ad annui senatus ordinem comprobetur. sic utique magistratuum creatio facta, inter unius et populi potestatem erit media: quarum medium tenere semper oportet rempublicam. servi enim et domini amici nunquam erunt: nec probi et improbi, si aequalibus afficiantur honoribus. inaequalibus enim aequalia inaequalia fiunt, nisi mensuram accipiant. nam propter haec utraque seditionibus replentur res publicae. verus enim priscus ille sermo, ab aequalitate amicitiam procreari, recte admodum et concinne fertur. quoniam vero non satis apertum est, quaenam sit

τις δ' ἐξί ποτε ἰσότης ἡ τοῦτο αὐτὸ δυναμένη, διὰ τὸ μὴ σφόδρα σαφὴς εἶναι σφόδρα ἡμᾶς διαταράττει. δυοῖν γὰρ ἰσοτήτοιν οὔσαιν, ὁμωνύμοιν μέν, ἔργῳ δὲ εἰς πολλὰ σχεδὸν ἐναντίαιν, τὴν μὲν ἑτέραν εἰς τὰς τιμὰς πᾶσα πόλις ἱκανὴ παραγαγεῖν καὶ πᾶς νομοθέτης, τὴν μέτρῳ ἴσην καὶ ϛαθμῷ καὶ ἀριθμῷ, κλήρῳ ἀπευθύνων εἰς τὰς διανομὰς αὐτήν· τὴν δὲ ἀληθεσάτην καὶ ἀρίϛην ἰσότητα οὐκέτι ῥᾴδιον παντὶ ἰδεῖν. Διὸς γὰρ δὴ κρίσις ἐξί, καὶ τοῖς ἀνθρώποις ἀεὶ σμικρὰ μὲν ἐπαρκεῖ, πᾶν δὲ ὅσον ἂν ἐπαρκέσῃ πόλεσιν ἢ καὶ ἰδιώταις, πάντ' ἀγαθὰ ἀπεργάζεται· τῷ μέν γὰρ μείζονι πλείω, τῷ δὲ ἐλάττονι σμικρότερα νέμει, μέτρια διδοῦσα πρὸς τὴν αὐτῶν φύσιν ἑκατέρῳ, καὶ δὴ καὶ τιμὰς μείζοσι μὲν πρὸς ἀρετὴν ἀεὶ μείζους, τοῖς δὲ τοὐναντίον ἔχουσιν ἀρετῆς τε καὶ παιδείας τὸ πρέπον ἑκατέροις ἀπονέμει κατὰ λόγον. ἔϛι γὰρ δή που καὶ τὸ πολιτικὸν ἡμῖν ἀεὶ τοῦτ' αὐτὸ τὸ δίκαιον· οὗ καὶ νῦν ἡμᾶς ὀρεγομένους δεῖ καὶ πρὸς ταύτην τὴν ἰσότητα, ὦ Κλεινία, ἀποβλέποντας τὴν νῦν φυομένην κατοικίζειν πόλιν. ἄλλην τε ἄν ποτέ τις οἰκίζῃ, πρὸς ταὐτὸ τοῦτο σκοπούμενον χρεὼν νομοθετεῖν, ἀλλ' οὐ πρὸς

aequalitas, qua id efficitur, iccirco nos valde turbamur. duae quippe sunt aequalitates, eodem quidem nomine appellatae, sed effectu in multis paene contrariae. et alteram omnis civitas legumque lator sorte disponendo potest in distribuendis honoribus adhibere, eam dico, quae numero, pondere et mensura est aequalis: sed verissimam optimamque aequalitatem non facile quis perspiciet. Iovis enim iudicium est, et hominibus quidem pauca semper suggeritur: quatenus autem suppetit, tam privatis, quam civitatibus, bona omnia reddit. haec sane maiori plura, minori panciora tribuit: utrisque videlicet secundum eorum naturam moderata. atqui et honores virtute maioribus semper maiores; minoribus autem virtute et disciplina minores, et utrisque secundum rationem, quod decet, impertit. ea enim certe nobis est civilis iustitia. hanc nos appetere debemus; atque ad hanc ipsam, o Clinia, aequalitatem respicere, dum hanc novam condimus et disponimus civitatem: et quisquis aliam instituit, eodem debet in legibus ferendis aspicere. non autem ad paucos

ὀλίγους τυράννους ἢ πρὸς ἕνα ἢ καὶ κράτος δήμου τι, πρὸς δὲ τὸ δίκαιον ἀεί. τοῦτο δ' ἐξὶ τὸ νῦν δὴ λεχθέν, τὸ κατὰ φύσιν ἴσον ἀνίσοις ἑκάστοτε δοθέν. ἀναγκαῖόν γε μὴν καὶ τούτοις παρωνυμίοισί ποτε προσχρήσασθαι πόλιν ἅπασαν, εἰ μέλλει ζάσεων ἑαυτῇ μὴ προσκοινωνήσειν κατά τι μέρος. τὸ γὰρ ἐπιεικὲς καὶ ξύγγνωμον τοῦ τελέου καὶ ἀκριβοῦς παρὰ δίκην τὴν ὀρθὴν ἐξι παρατεθραυμένον, ὅταν γίγνηται. διὸ τῷ τοῦ κλήρου ἴσῳ ἀνάγκη προσχρήσασθαι δυσκολίας τῶν πολλῶν ἕνεκα, θεὸν καὶ ἀγαθὴν τύχην καὶ τότε ἐν εὐχαῖς ἐπικαλουμένους ἀπορθοῦν αὐτοὺς τὸν κλῆρον πρὸς τὸ δικαιότατον. οὕτω δὴ χρηξέον ἀναγκαίως μὲν τοῖν ἰσοτήτοιν ἀμφοῖν, ὡς δ' ὅτι μάλιξα ἐπ' ὀλιγίξοις τῇ ἑτέρᾳ, τῇ τῆς τύχης δεομένῃ. 758

Ταῦτα οὕτω διὰ ταῦτα, ὦ φίλοι, ἀναγκαῖον τὴν μέλλουσαν σώζεσθαι δρᾷν πόλιν. ἐπειδὴ δὲ ναῦς τε ἐν θαλάττῃ πλέουσα φυλακῆς ἡμέρας δεῖται καὶ νυκτὸς ἀεί, πόλις τε ὡσαύτως ἐν κλύδωνι τῶν ἄλλων πόλεων διαγομένη καὶ παντοδαπαῖσιν ἐπιβουλαῖς οἰκεῖ κινδυνεύουσα ἁλίσκεσθαι, δεῖ δὴ δι' ἡμέρας τε εἰς νύκτα

tyrannos vel ad unum vel populi potestatem, sed ad iustitiam semper inspiciendum. ea est, quam modo diximus, aequalis ipsius secundum naturam quotidie inaequalibus distributio. verumtamen necesse est, ut his duabus aequalitatibus in denominatione similibus civitas universa utatur, si tota velit procul ab omni seditione manere. aequabilitas enim illa laudabilis et aequa diiudicatio perfecti atque exacti, cum praeter rectum iudicium fit, violatur et frangitur. ideoque aequalitate sortis uti etiam necesse est ad multorum indignationem penitus devitandam. qua in re Deum bonamque fortunam precibus invocare oportet, ut sors ad id, quod est iustissimum, dirigatur. sic igitur necessario utrisque aequalitatibus uti debemus; sed in rebus admodum paucissimis ea aequalitate, cui fortuna opus est. haec ita ob hanc causam, o amici, necesse ab ea civitate, quae salutem sit consecutura, servari. quemadmodum vero navis in medio pelago die nocteque custodibus indiget: ita quoque civitas, in medio aliarum civitatum fluctu posita, variis subiecta seditionibus ac semper captivitatis periculo proxima, perpetua eget custodia. propterea et ea

καὶ ἐκ νυκτὸς συνάπτειν πρὸς ἡμέραν ἄρχοντας ἄρχουσι, φρουροῦντάς τε φρουροῦσι διαδεχομένους ἀεὶ καὶ παραδιδόντας μηδέποτε λήγειν· πλῆθος δὲ οὐ δυνατὸν ὀξέως οὐδέποτε οὐδὲν τούτων πράττειν. ἀναγκαῖον δὲ τοὺς μὲν πολλοὺς τῶν βουλευτῶν ἐπὶ τὸ πλεῖστον τοῦ χρόνου ἐᾶν ἐπὶ τοῖς αὑτῶν ἰδίοισι μένοντας εὐθημονεῖσθαι τὰ κατὰ τὰς αὑτῶν οἰκήσεις, τὸ δὲ δωδέκατον μέρος αὐτῶν ἐπὶ δώδεκα μῆνας νείμαντας ὃν ἐφ' ἑνὶ παρέχειν αὐτοὺς φύλακας, ἰόντι τέ τινί ποθεν ἄλλοθεν εἴτε καὶ ἐξ αὐτῆς τῆς πόλεως ἑτοίμως ἐπιτυχεῖν, ἄν τε ἀγγέλλειν βούληταί τις ἐάν τ' αὖ πυνθάνεσθαί τι τῶν ὧν προσήκει πόλει πρὸς πόλεις ἄλλας ἀποκρίνεσθαί τε καὶ ἐρωτήσασαν ἑτέρας ἀποδέξασθαι τὰς ἀποκρίσεις, καὶ δὴ καὶ τῶν κατὰ πόλιν ἑκάστοτε νεωτερισμῶν ἕνεκα παντοδαπῶν εἰωθότων ἀεὶ γίγνεσθαι, ὅπως ἂν μάλιστα μὲν μὴ γίγνωνται, γενομένων δὲ ὅτι τάχιστα αἰσθομένης τῆς πόλεως ἰαθῇ τὼ γενόμενον· διὸ ξυλλόγων τε ἀεὶ δεῖ τοῦτο εἶναι τὸ προκαθήμενον τῆς πόλεως κύριον καὶ διαλύσεων τῶν τε κατὰ νόμους τῶν τε ἐξαίφνης προσπιπτουσῶν τῇ πόλει. ταῦτα μὲν οὖν πάντα τὸ δωδέκατον ἂν μέρος τῆς βουλῆς εἴη τὸ διακοσμοῦν, τὰ ἕνδεκα ἀναπαυόμενον τοῦ ἐνιαυτοῦ μέρη. κοινῇ δὲ

die in noctem et ex nocte in diem succedere sibi invicem magistratus et custodes oportet, ut tradentium suscipientiumque custodiam successio nunquam desinat. quorum nihil multitudo celeriter facere potest. est autem necessarium, ut plurima consilii pars plurimum tempus permittatur in privatarum suarumque rerum administratione versari. duodecima vero pars eius, in menses duodecim distributione facta, alia post aliam sigillatim custodiat: quae unicuique, sive a civitate ipsa sive alibunde venienti, parata sit, seu nuntiare quicquam seu interrogare quispiam velit de his rebus, de quibus civitatem oporteat vel respondere ceteris civitatibus vel ab eis interrogationum responsiones accipere. novarum etiam gratia molitionum, quae saepe fieri solent, maxime quidem ne fiant, ac, si acciderint, ut quam celerrime sentiat civitas et remedium afferat: quod per coetum civitati praesidentium fieri semper oportet, ut et quae legibus et quae repente civitati difficultates accedunt, dissolvantur. haec omnia curet duodecima consilii pars, quietem in menses undecim habitura. quam quidem

μετὰ τῶν ἄλλων ἀρχῶν δεῖ τὰς φυλακὰς ταύτας φυλάττειν κατὰ πόλιν τοῦτο τὸ μόριον τῆς βουλῆς ἀεί.

Καὶ τὰ μὲν κατὰ πόλιν οὕτως ἔχοντα μετρίως ἂν εἴη διατεταγμένα· τῆς δὲ ἄλλης χώρας πάσης τίς ἐπιμέλεια καὶ τίς τάξις; ἆρα οὐχ ἡνίκα πᾶσα μὲν ἡ πόλις, σύμπασα δὲ ἡ χώρα κατὰ δώδεκα μέρη διανενέμηται, τῆς πόλεως αὐτῆς ὁδῶν καὶ οἰκήσεων καὶ οἰκοδομιῶν καὶ λιμένων καὶ ἀγορᾶς καὶ κρηνῶν καὶ δὴ καὶ τεμενῶν καὶ ἱερῶν καὶ πάντων τῶν τοιούτων ἐπιμε-
ο λητὰς δεῖ τινὰς ἀποδεδειγμένους εἶναι;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Λέγωμεν δὴ τοῖς μὲν ἱεροῖς νεωκόρους τε 759
καὶ ἱερέας καὶ ἱερείας δεῖν γίγνεσθαι· ὁδῶν δὲ καὶ οἰκοδομιῶν καὶ κόσμου τοῦ περὶ τὰ τοιαῦτα ἀνθρώπων τε, ἵνα μὴ ἀδικῶσι, καὶ τῶν ἄλλων θηρίων ἐν αὐτῷ τε τῷ τῆς πόλεως περιβόλῳ καὶ προαστείῳ, ὅπως ἂν τὰ προσήκοντα πόλεσι γίγνηται, ἑλέσθαι δεῖ τρία μὲν ἀρχόντων εἴδη, περὶ μὲν τὸ νῦν δὴ λεχθὲν ἀστυνόμους ἐπονομάζοντα, τὸ δὲ περὶ ἀγορᾶς κόσμον ἀγορανόμους,
ο ἱερῶν δὲ ἱερέας. οἷς μέν εἰσι πάτριαι ἱερωσύναι καὶ αἷς, μὴ κινεῖν· εἰ δέ, οἷον τὸ πρῶτον κατοικιζομένοις εἰκὸς γίγνεσθαι περὶ τὰ τοιαῦτα, ἢ μηδενὶ ἢ τισιν ὀλί-

custodiam haec consilii pars communiter cum aliis magistratibus in civitate semper agat oportet. atque urbana quidem probe hoc pacto ordinata erunt. totius autem reliquae regionis quae cura? quis ordo? an cum civitas tota et universa regio in partes duodecim sit divisa, in civitate quidem ipsa viarum, habitationum, aedificationum, portuum, fori, fontium, sacrorum locorum, templorum ceterorumque huiusmodi omnium constituere curatores oportet? *Cli.* Cur non? *Athen.* Dicamus igitur templis aedituos et sacerdotes, tam viros quam mulieres, praefici oportere, ad viarum autem aedificationumque exornandarum curam, ne aut homines iniurientur, aut ipsae ferae noceant, sed ut tam in ipso urbis ambitu quam in suburbiis, civitatibus consentanea quaeque gerantur, tres sunt magistratuum species eligendae. et rerum modo dictarum curatores appellentur aediles: qui vero fori venditionisque curam habebunt, rerum venalium curatores: sacrorum autem sacerdotes. et sacerdotia quidem, quae a parentibus per successionem seu viris sive mulieribus tradita sunt, nequaquam movenda. si vero aut nullis aut paucis aliqua

γοις, οἷς μὴ καθεξήκοι, καταστατέον ἱερέας τε καὶ ἱερείας νεωκόρους γίγνεσθαι τοῖς θεοῖς. Τούτων δὴ πάντων τὰ μὲν αἱρετὰ χρή, τὰ δὲ κληρωτὰ ἐν ταῖς καταστάσεσι γίγνεσθαι, μιγνύντας πρὸς φιλίαν ἀλλήλοις δῆμον καὶ μὴ δῆμον ἐν ἑκάστῃ χώρᾳ καὶ πόλει, ὅπως ἂν μάλιστα ὁμονοῶν εἴη. τὰ μὲν οὖν τῶν ἱερῶν τῷ θεῷ ἐπιτρέποντα αὐτῷ τὸ κεχαρισμένον γίγνεσθαι, κληροῦν οὕτω τῇ θείᾳ τύχῃ ἀποδιδόντα, δοκιμάζειν δὲ τὸν ἀεὶ λαγχάνοντα πρῶτον μὲν ὁλόκληρον καὶ γνήσιον, ἔπειτα ὡς ὅτι μάλιστα ἐκ καθαρευουσῶν οἰκήσεων, φόνου δὲ ἁγνὸν καὶ πάντων τῶν περὶ τὰ τοιαῦτα εἰς τὰ θεῖα ἁμαρτανομένων αὐτὸν καὶ πατέρα καὶ μητέρα κατὰ ταὐτὰ βεβιωκότας. ἐκ Δελφῶν δὲ χρὴ νόμους περὶ τὰ θεῖα πάντα κομισαμένους καὶ καταστήσαντας ἐπ' αὐτοῖς ἐξηγητὰς τούτοις χρῆσθαι. κατ' ἐνιαυτὸν δὲ εἶναι καὶ μὴ μακρότερον τὴν ἱερωσύνην ἑκάστην, ἔτη δὲ μὴ ἔλαττον ἑξήκοντα ἡμῖν εἴη γεγονὼς ὁ μέλλων καθ' ἱεροὺς νόμους περὶ τὰ θεῖα ἱκανῶς ἁγιεύσειν· ταῦτα δὲ καὶ περὶ τῶν ἱερείων ἔξω τὰ νόμιμα. τοὺς δὲ ἐξηγητὰς τρὶς φερέτωσαν μὲν αἱ τέτταρες φυλαὶ τέτταρας

huiusmodi sunt, quod accidere par est illis, qui in novae civitatis habitationem conveniunt: ubi haec desunt, sacerdotes tam viri quam mulieres, et aeditui constituendi sunt. quae omnia partim delectione, partim sorte fieri oportet. atque in omni regione civitateque plebs cum illis, qui extra plebem sunt, per amicitiam coniungenda, ut maxima sit in omnibus his consensio. et quae ad sacerdotum creationem attinent, Deo committenda sunt, ut, quemadmodum illi placet, ita divina fortuna, cui tributum id sit, sortes ferat. in eorum autem, qui sortis suffragium assecuti sunt, examinatione ille est comprobandus, qui integer sit atque legitimus, deinde a domo quam maxime munda, expers quoque caedis omniumque huiusmodi, quae adversus divinam rem committuntur: cuius et pater materque similiter vixerint. leges autem de rebus divinis a Delphis petantur, constituanturque illarum interpretes: atque his utendum. sacerdotium non diuturnius sit quam annuum. nec pauciores annos quam sexaginta natus sit, qui secundum sacras leges res divinas sufficienter est tractaturus. eademque de mulieribus sacris, quae et de viris, statuta intelligantur, interpretes autem ter quatuor ferant tribus ipsae quatuor, ex earum ordine unaquaeque tres: ac tri-

ἕκαστον ἐξ αὐτῶν, τρεῖς δὲ οἷς ἂν πλείστη γένηται ψῆφος δοκιμάσαντας ἐννέα πέμπειν εἰς Δελφοὺς ἀνελεῖν ἐξ ἑκάστης τριάδος ἕνα· τὴν δὲ δοκιμασίαν αὐτῶν καὶ τοῦ χρόνου τὴν ἡλικίαν εἶναι καθά περ τῶν ἱερέων. οὗτοι δὲ ἔχων ἐξηγηταὶ διὰ βίου· τὸν δέ γε λιπόντα προαιρεισθωσαν αἱ τέτταρες φυλαί, ὅθεν ἂν ἐκλίπῃ. Ταμίας δὲ δὴ τῶν τε ἱερῶν χρημάτων ἑκάστοις τοῖς ἱεροῖς καὶ τεμενῶν καὶ καρπῶν τούτων καὶ μισθώσεων κυρίους αἱρεῖσθαι μὲν ἐκ τῶν μεγίστων τιμημάτων τρεῖς εἰς τὰ μέγιστα ἱερά, δύο δ' εἰς τὰ σμικρότερα, πρὸς δὲ τὰ ἐμμελέστατα ἕνα· τὴν δ' αἵρεσιν τούτων καὶ τὴν δοκιμασίαν γίγνεσθαι καθά περ ἡ τῶν στρατηγῶν ἐγίγνετο. Καὶ τὰ μὲν αὖ περὶ τὰ ἱερὰ ταῦτα γιγνέσθω.

Ἀφρούρητον δὲ δὴ μηδὲν εἰς δύναμιν ἔχω. πόλεως μὲν οὖν αἱ φρουραὶ πέρι ταύτῃ γιγνέσθωσαν, στρατηγῶν ἐπιμελουμένων καὶ ταξιαρχῶν καὶ ἱππάρχων καὶ φυλάρχων καὶ πρυτανέων καὶ δὴ καὶ ἀγρονόμων καὶ ἀγορανόμων, ὁπόταν αἱρεθέντες ἡμῖν καταστῶσί τινες ἱκανῶς· τὴν δὲ ἄλλην χώραν φυλάττειν πᾶσαν κατὰ τάδε. δώδεκα μὲν ἡμῖν ἡ χώρα πᾶσα εἰς δύναμιν ἴσα μόρια νενέμηται, φυλὴ δὲ μία τῷ μορίῳ ἑκάστῳ ἐπι-

bus probatis, qui maiori suffragio delecti sunt, reliquos novem Delphos mittant, ut ex quaque trinitate unus oraculo diligatur. comprobatio ipsorum aetasque talis, qualis et sacerdotum dicta est. hi per totam vitam interpretandi et exponendi habeant potestatem. et in defuncti vicem quatuor tribus inde alium eligant, unde puer ille defecit. quaestores et asservatores sacrae pecuniae in templis singulis, qui lucorum agrorumque ipsis dedicatorum et fructuum conductionumque et locationum domini sint, tres de maximis censibus pro templis maximis eligantur: duo pro minoribus: pro mediis maximeque concinnis unus. qui non aliter quam duces exercitus eligantur et comprobentur. atque haec in rebus sacris, ut diximus, paragantur. Danda vero opera est, ut, quoad fieri potest, nihil sine custodia sit. civitatem quidem curent exercitus duces, ordinum praefecti, magistri equitum, tribuni, consilii principes, aediles atque censores, postquam electi suo ordine fuerint. reliqua regio ita custodiatur. duodecim in partes aequales pro viribus regio tota di-

κληρωθεῖσα κατ' ἐνιαυτὸν παρεχέτω πέντε οἷον ἀγρονόμους τε καὶ φυλάρχους, τούτοις δ' ἔξω καταλέξασθαι τῆς αὐτῶν φυλῆς ἑκάστῳ δώδεκα τῶν πέντε ἐκ τῶν νέων, μὴ ἔλαττον ἢ πέντε καὶ εἴκοσιν ἔτη γεγονότας, μὴ πλεῖον δὲ ἢ τριάκοντα. τούτοις δὲ διακληρωθήτω τὰ μόρια τῆς χώρας κατὰ μῆνα ἕκαστα ἑκάστοις, ὅπως ἂν πάσης τῆς χώρας ἔμπειροί τε καὶ ἐπιστήμονες γίγνωνται πάντες. δύο δ' ἔτη τὴν ἀρχὴν καὶ τὴν φρουρὰν γίγνεσθαι φρουροῖς τε καὶ ἄρχουσιν. ὅπως δ' ἂν τὸ πρῶτον λάχωσι τὰ μέρη, τοὺς τῆς χώρας τόπους μεταλλάττοντας ἀεὶ τὸν ἑξῆς τόπον ἑκάστου μηνὸς ἡγεῖσθαι τοὺς φρουράρχους ἐπὶ δεξιὰ κύκλῳ· τὸ δ' ἐπὶ δεξιὰ γιγνέσθω τὸ πρὸς ἕω. περιελθόντος δὲ τοῦ ἐνιαυτοῦ τῷ δευτέρῳ ἔτει, ἵνα ὡς πλεῖστοι τῶν φρουρῶν μὴ μόνον ἔμπειροι τῆς χώρας γίγνωνται κατὰ μίαν ὥραν τοῦ ἐνιαυτοῦ, πρὸς τῇ χώρᾳ δὲ ἅμα καὶ τῆς ὥρας ἑκάστης περὶ ἕκαστον τὸν τόπον τὸ γιγνόμενον ὡς πλεῖστοι καταμάθωσιν, οἱ τότε ἡγούμενοι πάλιν ἀφηγείσθωσαν εἰς τὸν εὐώνυμον ἀεὶ μεταβάλλοντες τόπον, ἕως ἂν τὸ δεύτερον διεξέλθωσιν ἔτος. τῷ τρίτῳ δὲ ἄλλους ἀγρονόμους αἱρεῖσθαι καὶ φρουράρχους τοὺς πέντε τῶν δώδεκα ἐπιμελητάς. ἐν δὲ δὴ ταῖς διατριβαῖς τῷ τόπῳ

visa fuit. una itaque tribus, parti cuilibet sorte data, quinque in annum quasi agrorum curatores tribuumque principes deligat: quorum quisque sua ex tribu duodecim iuvenes habeat, non minoris aetatis quam quinque et viginti annorum, neque maioris quam triginta. his singulis singulae regionis partes per sortem menstruo tempore tribuantur, ut totius regionis omnes peritiam habeant. biennio autem imperandi et custodiendi curam habeant principes et custodes. cum primum partes custodiendas sortiti sunt, per menses singulos loca permutent: ad proximum quemque locum, et ad dexteram primum, circulariter custodiae principes ducant. dexteram vero plagam appello, quae solem orientem spectat. deinde in altero anno ad sinistram commutentur, ne regionis quoad unum anni tempus solum periti sint, sed et quid in quolibet tempore in quacunque regionis parte contingat, agnoscant. tertio autem anno quinque alii agrorum et custodiae principes a primatibus tribuum deligantur, ipsorum duodecim curatores. cura vero et opera singulis in locis talis sit: primum,

ἐκάζῳ τὴν ἐπιμέλειαν εἶναι τοιάνδε τινά, πρῶτον μὲν ὅπως εὐερκὴς ἡ χώρα πρὸς τοὺς πολεμίους ὅτι μάλιζα ἔζαι, ταφρεύοντάς τε ὅσα ἂν τούτου δέῃ καὶ ἀποσκάπτοντας καὶ ἐν οἰκοδομήμασιν εἰς δύναμιν εἴργοντας τοὺς ἐπιχειροῦντας ὁτιοῦν τὴν χώραν καὶ τὰ κτήματα κακουργεῖν, χρωμένους δ' ὑποζυγίοις καὶ τοῖς οἰκέταις τοῖς ἐν τῷ τόπῳ ἑκάζῳ πρὸς ταῦτα, δι' ἐκείνων ποι- 761
οῦντας, ἐκείνοις ἐπιζατοῦντας, τῶν οἰκείων ἔργων αὐτῶν ἀργίας ὅτι μάλιζα ἐκλεγομένους. δύζβατα δὲ δὴ πάντα ποιεῖν τοῖς ἐχθροῖς, τοῖς δὲ φίλοις ὅτι μάλιζα
5 εὔβατα ἀνθρώποις τε καὶ ὑποζυγίοις καὶ βοσκήμασιν, ὁδῶν τε ἐπιμελουμένους, ὅπως ὡς ἡμερώταται ἔκαζαι γίγνωνται, καὶ τῶν ἐκ Διὸς ὑδάτων, ἵνα τὴν χώραν μὴ κακουργῇ, μᾶλλον δ' ὠφελῇ ῥέοντα ἐκ τῶν ὑψηλῶν εἰς τὰς ἐν τοῖς ὄρεσι νάπας ὅσαι κοῖλαι, τὰς ἐκροὰς αὐτῶν εἴργοντας οἰκοδομήμασί τε καὶ ταφρεύμασιν, ὅπως ἂν τὰ παρὰ τοῦ Διὸς ὕδατα καταδεχόμεναι καὶ πίνουσαι, τοῖς ὑποκάτωθεν ἀγροῖς τε καὶ τόποις πᾶσι νάματα καὶ πρήνας ποιοῦσαι, καὶ τοὺς αὐ-
10 χμηροτάτους τόπους πολυύδρους τε καὶ εὐύδρους ἀπεργάζωνται· τά τε πηγαῖα ὕδατα, ἐάν τέ τις ποταμὸς ἐάν τε καὶ κρήνη ᾖ, κοσμοῦντες φυτεύμασί τε καὶ οἰκοδομήμασιν εὐπρεπέζερα καὶ συνάγοντες μεταλλείαις νά-

ut quam maxime adversus hostium impetum regio munita sit, foveis, ubicunque opus sit, effossis, turribusque et claustris pro viribus circumductis, nocere volentes arceant. ad haec utique facienda subiugalibus servisque indigenis utantur, quando minime in suis operibus occupantur: nonnullos ipsis praeficientes loca omnia ita disponant, ut per ea difficile transire inimici possint, amici vero homines, pecudes, iugalia facile; quibus maxime pervia regio fiat. diligenterque procurent, ut pluviales aquae non solum non noceant, verum etiam conferant, ab altis montibus cavas in valles fluentes: ubi foveis parietibusque stagnare eas cogant, ut illic alveis pluviales aquae combibitae, inferioribus locis agrisque omnibus scatebras fontesque aquarum efficiant, locaque isto modo siccissima humore multo salubrique irrigent. fontes autem et fluvios arboribus aedificationibusque exornent. lucos quin etiam iugi irrigatione, et dedicatos Diis agros aquis

ματα πάντα ἄφθονα ποιῶσιν ὑδρείας τε καθ' ἑκάσας τὰς ὥρας, εἴ τί που ἄλσος ἢ τέμενος περὶ ταῦτα ἀνειμένον ᾖ, τὰ ῥεύματα ἀφιέντες εἰς αὐτὰ τὰ τῶν θεῶν ἱερὰ κοσμῶσι. πανταχῇ δὲ ἐν τοῖς τοιούτοις γυμνάσια χρὴ κατασκευάζειν τοὺς νέους αὐτοῖς τε καὶ τοῖς γέρουσι γεροντικὰ λουτρὰ θερμὰ παρέχοντας, ὕλην παρατιθέντας αὖην καὶ ξηρὰν ἄφθονον, ἐπ' ὀνήσει καμνόντων τε νόσοις καὶ πόνοις τετρυμένα γεωργικοῖς σώματα δεχομένους εὐμενῶς, ἰατροῦ δ' ἔξιν μὴ πάνυ σοφοῦ βελτίονα συχνῷ. Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα πάντα κόσμος τε καὶ ὠφέλεια τοῖς τόποις γίγνοιτ' ἂν μετὰ παιδιᾶς οὐδαμῇ ἀχαρίτου· σπουδὴ δὲ περὶ ταῦτα ἥδε ἔχω. τοὺς ἑξήκοντα ἑκάσους τὸν αὑτῶν τόπον φυλάττειν μὴ μόνον πολεμίων ἕνεκα ἀλλὰ καὶ τῶν φίλων φασκόντων εἶναι. γειτόνων δὲ καὶ τῶν ἄλλων πολιτῶν ἢν ἄλλος ἄλλον ἀδικῇ, δοῦλος ἢ ἐλεύθερος, δικάζοντας τῷ ἀδικεῖσθαι φάσκοντι, τὰ μὲν σμικρὰ αὐτοὺς τοὺς πέντε ἄρχοντας, τὰ δὲ μείζονα μετὰ τῶν δώδεκα τοὺς ἑπτακαίδεκα δικάζειν μέχρι τριῶν μνῶν, ὅσα ἂν ἕτερος ἑτέρῳ ἐπικαλῇ. δικαστὴν δὲ καὶ ἄρχοντα ἀνυπεύθυνον οὐδένα δικάζειν καὶ ἄρχειν δεῖ πλὴν τῶν τὸ τέλος ἐπιτιθέντων οἷον βασιλέων. καὶ δὴ

immissis pinguefacere curent, et metallis humorem scatebrasque adhibeant: atque ita et abundantia omnia et templa Deorum reddant ornatiora. ubique autem in istis gymnasia iuvenes, tam sibi commoda quam senibus, praeparent, calidis balneis constitutis: et copiose siccis appositis lignis, ut et remedium aegrotantibus et lenimen labore defessis benevole afferatur. quae sane curatio longe melior est, quam medici parum periti medela. haec omnia ceteraque huiusmodi his locis ornamento utilitatique sunt, grato quodam cum ludo. summatim autem circa haec studium huiusmodi sit. sexaginta viri singuli adscriptum sibi locum custodiant, non hostium causa solum, sed eorum etiam qui se amicos dicunt. et si quis inter vicinos ac cives, seu servus sive liber, alicui iniuriam inferat, iudicent in parvis quidem ipsi quinque principes: in maioribus autem decem et septem viri una cum duodecim, usque ad minas tres, de quocunque alter de altero conqueritur. nemo autem iudex magistratusve sit, qui gesti officii sui rationem non referat: praeter eos, qui regum instar finem rebus

καὶ τοὺς ἀγρονόμους τούτους, ἐὰν ὑβρίζωσί τι περὶ 762
τοὺς ὧν ἐπιμελοῦνται, προστάξεις τε προστάττοντες
ἀνίσους καὶ ἐπιχειροῦντες λαμβάνειν τε καὶ φέρειν τῶν
ἐν ταῖς γεωργίαις μὴ πείσαντες, καὶ ἐὰν δέχωνταί τι
κολακείας ἕνεκα διδόντων ἢ καὶ δίκας ἀδίκως διανέ-
μωσι, ταῖς μὲν θωπείαις ὑπείκοντες ὀνείδη φερέσθω-
σαν ἐν πάσῃ τῇ πόλει, τῶν δὲ ἄλλων ἀδικημάτων ὅ τι
ἂν ἀδικῶσι τοὺς ἐν τῷ τόπῳ, τῶν μέχρι μνᾶς ἐν τοῖς
κωμήταις καὶ γείτοσιν ὑπεχέτωσαν ἑκόντες δίκας, τῶν
δὲ μειζόνων ἑκάστοτε ἀδικημάτων ἢ καὶ τῶν ἐλαττόνων,
ἐὰν μὴ θέλωσιν ὑπέχειν πιστεύοντες τῷ μεθίστασθαι
κατὰ μῆνας εἰς ἕτερον ἀεὶ τόπον φεύγοντες ἀποφευ-
ξεῖσθαι, τούτων πέρι λαγχάνειν μὲν ἐν ταῖς κοιναῖς
δίκαις τὸν ἀδικούμενον, ἐὰν δ' ἕλῃ, τὴν διπλασίαν
πραττέσθω τὸν ὑποφεύγοντα καὶ μὴ ἐθελήσαντα ὑπο-
σχεῖν ἑκόντα τιμωρίαν. Διαιτάσθων δὲ οἵ τε ἄρχον-
τες οἵ τε ἀγρονόμοι τὰ δύο ἔτη τοιόνδε τινὰ τρόπον.
πρῶτον μὲν δὴ καθ' ἑκάστους τοὺς τόπους εἶναι ξυσσίτια,
ἐν οἷς κοινῇ τὴν δίαιταν ποιητέον ἅπασιν· ὃ δὲ ἀποσυ-
σιτήσας κἂν ἡντιναοῦν ἡμέραν ἢ νύκτα ἀποκοιμηθεὶς
μὴ τῶν ἀρχόντων ταξάντων ἢ πάσης τινὸς ἀνάγκης
ἐπιπεσούσης, ἐὰν ἀποφήνωσιν αὐτὸν οἱ πέντε καὶ

imponunt. atque et agrorum curatores, si quid adversus eos, quorum habent curam, contumeliose gerant, inaequaliter onera inferentes, aut vi aliquid ab agricolis accipientes, sive adulatorum largitionibus, quibus iudicium corrumpatur, muneribus quidem, adulationibusque capti, opprobrio per universam urbem afficiantur: in aliis autem iniuriis usque ad minam sponte sua vicinis colonisque dent mulctam. quod si nolunt in maioribus vel minoribus iniuriis, quod debent, persolvere, quia sperent, cum de loco ad locum per singulos menses transeant, iudicium ac poenam effugere: in communi iudicio accusentur: et, qui damnabitur, duplum reddat ei, quem iniuria oppressit. vivant autem tam principes quam ceteri curatores agrorum biennium hoc pacto. Primum quidem omnibus communia singulis in locis habeantur convivia, quibuscunque defuerit, etiam si uno die aut una nocte excubarit, cum nec princeps ita ordinaverit neque necessitas ulla coegerit: si quinque viri eum damnent, scribant

γράψαντες θῶσιν ἐν ἀγορᾷ καταλελυκότα τὴν φρουράν, ὀνείδη τε ἐχέτω τὴν πολιτείαν ὡς προδιδοὺς τὸ ἑαυτοῦ μέρος, κολαζέσθω τε πληγαῖς ὑπὸ τοῦ συντυγχάνοντος καὶ ἐθέλοντος κολάζειν ἀτιμωρήτως. τῶν δὲ ἀρχόντων αὐτῶν ἐάν τίς τι δρᾷ τοιοῦτον αὐτός, ἐπιμελεῖσθαι μὲν τοῦ τοιούτου πάντας τοὺς ἑξήκοντα χρεών, ὃ δὲ αἰσθόμενός τε καὶ πυθόμενος μὴ ἐπεξιὼν ἐν τοῖς αὐτοῖς ἐνεχέσθω νόμοις καὶ πλείοσι τῶν νέων ζημιούσθω· περὶ τὰς τῶν νέων ἀρχὰς ἠτιμάσθω πάσας. τούτων δὲ οἱ νομοφύλακες ἐπίσκοποι ἀκριβεῖς ἔσ- 10
σαν, ὅπως ἢ μὴ γίγνηται τὴν ἀρχὴν ἢ γιγνόμενα τῆς ἀξίας δίκης τυγχάνῃ. δεῖ δὴ πάντ' ἄνδρα διανοεῖσθαι περὶ ἁπάντων ἀνθρώπων ὡς ὁ μὴ δουλεύσας οὐδ' ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου, καὶ καλλωπίζεσθαι χρὴ τῷ καλῶς δουλεῦσαι μᾶλλον ἢ τῷ καλῶς ἄρξαι, πρῶτον μὲν τοῖς νόμοις, ὡς ταύτην τοῖς θεοῖς οὖσαν δουλείαν, ἔπειτα τοῖς πρεσβυτέροις τε καὶ ἐντίμως βεβιωκόσι τοὺς νέους. μετὰ δὲ ταῦτα τῆς καθ' ἡμέραν διαίτης δεῖ τῆς ταπεινῆς καὶ ἀπόρου γεγευμένον εἶναι τὰ δύο ἔτη ταῦτα τὸν τῶν ἀγρονόμων γεγονότα. ἐπει- 20
δὰν γὰρ δὴ κατάλεγῶσιν οἱ δώδεκα, ξυνελθόντες μετὰ
63 τῶν πέντε βουλευέσθωσαν ὡς οἷόν περ οἰκέται οἰχ

que in foro deseruisse custodiam, magnis afficiatur opprobriis, utpote qui, quantum in se est, rempublicam prodidit: et a quocunque obviam facto volentique caedere impune caedatur. omnes autem sexaginta viri observent, ne de principibus aliquis quicquam tale committat: et qui sensit audivitque, si non accusaverit, similiter eademque lege reus sit, qua qui peccavit, et acriori iuvenum censura punitus in omnibus iuvenum magistratibus contemnatur. atque haec quidem omnia custodes legum diligenter praevideant: primo quidem, ne fiant: deinde, ut facta, prout ius postulat, puniantur. existimare de omnibus hominibus id quisque debet, quod, qui nunquam servivit, is laude dignus esse dominus nunquam poterit. ideoque gloriari quemque oportet magis, quod bene serviverit, quam quod bene fuerit dominatus: primum quidem legibus: quibus qui servit, Diis servit, deinde senioribus, qui honeste vixerunt. postremo totum hoc biennium custodes agrorum humillimum tenuissimumque victum agant. itaque duodecim viri cum quinque congregati inter se consultent, quasi alios servos non habituri. nam agricolis quidem co-

ἔξουσιν αὐτοῖς ἄλλους οἰκέτας τε καὶ δούλους, οὐδ' ἐκ τῶν ἄλλων γεωργῶν τε καὶ κωμητῶν τοῖς ἐκείνων ἐπὶ τὰ ἴδια χρήσονται ὑπηρετήματα διακόνοις, ἀλλὰ μόνον ὅσα εἰς τὰ δημόσια· τὰ δ' ἄλλα αὐτοὶ δι' αὑτῶν διανοηθήτωσαν ὡς βιωσόμενοι διακονοῦντές τε καὶ διακονούμενοι ἑαυτοῖς, πρὸς δὲ τούτοις πᾶσαν τὴν χώραν διεξερευνώμενοι θέρους καὶ χειμῶνος σὺν τοῖς ὅπλοις φυλακῆς τε καὶ γνωρίσεως ἕνεκα πάντων ἀεὶ τῶν τόπων. κινδυνεύει γὰρ οὐδενὸς ἔλαττον μάθημα εἶναι δι' ἀκριβείας ἐπίστασθαι πάντας τὴν αὑτῶν χώραν· οὐδὴ χάριν κυνηγέσια καὶ τὴν ἄλλην θήραν οὐχ ἧττον ἐπιτηδεύειν δεῖ τὸν ἡβῶντα ἢ τῆς ἄλλης ἡδονῆς ἅμα καὶ ὠφελείας τῆς περὶ τὰ τοιαῦτα γιγνομένης πᾶσι. τούτους οὖν αὐτούς τε καὶ τὸ ἐπιτήδευμα εἴ τέ τις ἁρπτοὺς εἴτε ἀγρονόμους εἴθ' ὅ τι καλῶν χαίρει τοῦτο προσαγορεύων, προθύμως πᾶς ἀνὴρ εἰς δύναμιν ἐπιτηδευέτω, ὅσοι μέλλουσι τὴν αὑτῶν πόλιν ἱκανῶς σώζειν.

Τὸ δὲ μετὰ τοῦτο ἀρχόντων αἱρέσεως ἀγορανόμων περί καὶ ἀσυνόμων ἦν ἡμῖν ἑπόμενον. ἔποιντο δ' ἂν ἀγρονόμοις γε ἀσυνόμοι τρεῖς ἑξήκοντα οὗσοι, τριχῇ δώδεκα μέρη τῆς πόλεως διαλαβόντες, μιμούμενοι ἐκείνους, τῶν τε ὁδῶν ἐπιμελούμενοι τῶν κατὰ τὸ ἄζυ

lonisque non in proprio ministerio, sed in publico solum utantur. in ceteris sic cogitent, ut servientes sibi ipsis victuri: aestate praeterea atque hieme semper armati regionem omnem lustraturi: ut custodiant diligentius, dum loca omnia noverint. nulla quippe cognitione minor haec esse videtur, qua exquisite ab omnibus regio universa cognoscitur. atque huius gratia non minus quam voluptatis utilitatisque alterius, adolescentes alendis canibus et reliquae venationi dare operam debent. hos ipsos studio etiam illo uti oportet, quod ab occultando a nonnullis appellatur: sed sive sic, sive agri custodia sit nominanda, sive quomodocunque aliter quisquam velit, oportet, ut qui civitatis suae salutem exoptant, in ea se re pro viribus diligenter exerceant. sequitur, ut de censorum aedilium que electione dicamus. sexaginta illos curatores agrorum tres sequuntur aediles, tripartito duodecim partes urbis complexi: qui sane illos imitantur, via-

καὶ τῶν ἐκ τῆς χώρας λεωφόρων εἰς τὴν πόλιν ἀεὶ τεταμένων καὶ τῶν οἰκοδομιῶν, ἵνα κατὰ νόμους γίγνωνται πᾶσαι, καὶ δὴ καὶ τῶν ὑδάτων, ὁπόσ' ἂν αὐτοῖς πέμπωσι καὶ παραδιδῶσιν οἱ φρουροῦντες τεθεραπευμένα, ὅπως εἰς τὰς κρήνας ἱκανὰ καὶ καθαρὰ πορευόμενα κοσμῇ τε ἅμα καὶ ὠφελῇ τὴν πόλιν. δεῖ δὴ καὶ τούτους δυνατούς τε εἶναι καὶ σχολάζοντας τῶν κοινῶν ἐπιμελεῖσθαι· διὸ προβαλλέσθω μὲν πᾶς ἀνὴρ ἐκ τῶν μεγίστων τιμημάτων ἀσυνόμων ὃν ἂν βούληται, διαχειροτονηθέντων δὲ καὶ ἀφικομένων εἰς ἓξ οἷς ἂν πλεῖσται γίγνωνται, τοὺς τρεῖς ἀποκληρωσάντων οἷς τούτων ἐπιμελές· δοκιμασθέντες δὲ ἀρχόντων κατὰ τοὺς τεθέντας αὐτοῖς νόμους. Ἀγορανόμους δ' ἑξῆς τούτοις αἱρεῖσθαι μὲν ἐκ τῶν δευτέρων καὶ πρώτων τιμημάτων πέντε, τὰ δ' ἄλλα αὐτῶν γίγνεσθαι τὴν αἵρεσιν καθά περ ἡ τῶν ἀσυνόμων, δέκα ἐκ τῶν ἄλλων χειροτονηθέντας τοὺς πέντε ἀποκληρῶσαι, καὶ δοκιμασθέντας αὐτοὺς ἄρχοντας ἀποφῆναι. χειροτονείτω δὲ πᾶς πάντα· ὃ δὲ μὴ θέλων, ἐὰν εἰσαγγελθῇ πρὸς τοὺς ἄρχοντας, ζημιούσθω πεντήκοντα δραχμαῖς πρὸς τῷ κακὸς εἶναι δοκεῖν. ἴτω δ' εἰς ἐκκλησίαν καὶ τὸν κοινὸν

rum urbis curam habent, vulgariumque itinerum, quae a regione in urbem tendunt: aedificationum quoque, ut secundum leges omnes fiant: aquarum praeterea, quas custodes deduci in urbem curant: ut in fontes quam liquidissimae sufficientesque ducantur, ac civitatem invent pariter et exorment. oportet hos esse tales, ut, intermissa suorum cura, otium habeant ad publica procuranda. quapropter quisque a maximo censu, quem velit, aedilem futurum nominet: et de sex, qui suffragio ceteros superabunt, tres sorte deligant, quibus curae ista sint. denique comprobati magistratum secundum praescriptas sibi leges peragant. censores deinceps, rerum venalium curatores, a primo secundoque censu quinque deligantur: eorumque electio eodem ferme modo, quo aedilium, transigatur. quippe de decem, qui ceteros suffragio superarint, quinque sorte designentur, et comprobati magistratus declarentur. nominet autem quemlibet unusquisque. qui autem nolle accusabitur, drachmis quinquaginta damnetur, atque etiam iniquus existimetur. comitia communemque coetum,

ξύλλογον ὃ βουλόμενος, ἐπάναγκες δ' ἔξω τῷ τῶν δευτέρων καὶ πρώτων τιμημάτων, δέκα δραχμαῖς ζημιουμένῳ ἐὰν μὴ παρὼν ἐξετάζηται τοῖς ξυλλόγοις. τρίτῳ δὲ τιμήματι καὶ τετάρτῳ μὴ ἐπάναγκες, ἀλλὰ ἀζήμιος ἀφείσθω, ἐὰν μή τι παραγγείλωσιν οἱ ἄρχοντες πᾶσιν ἢ τινος ἀνάγκης ξυνιέναι. τοὺς δὲ δὴ ἀγορανόμους τὸν περὶ τὴν ἀγορὰν κόσμον διαταχθέντα ὑπὸ νόμων φυλάττειν καὶ ἱερῶν καὶ κρηνῶν ἐπιμελεῖσθαι τῶν κατ' ἀγοράν, ὅπως μηδὲν ἀδικῇ μηδείς, τὸν ἀδικοῦντα δὲ κολάζειν, πληγαῖς μὲν καὶ δεσμοῖς δοῦλον καὶ ξένον, ἐὰν δ' ἐπιχώριος ὢν τις περὶ τὰ τοιαῦτα ἀκοσμῇ, μέχρι μὲν ἑκατὸν δραχμῶν νομίσματος αὐτοὺς εἶναι κυρίους διαδικάζοντας, μέχρι δὲ διπλασίου τούτου κοινῇ μετὰ ἀσυνόμων ζημιοῦν δικάζοντας τῷ ἀδικοῦντι. τὰ αὐτὰ δὲ καὶ ἀσυνόμοις ἔξω ζημιώματά τε καὶ κολάσεις ἐν τῇ ἑαυτῶν ἀρχῇ, μέχρι μὲν μνᾶς αὐτοὺς ζημιοῦντας, τὴν διπλασίαν δὲ μετὰ ἀγορανόμων.

Μουσικῆς δὲ τὸ μετὰ τοῦτο καὶ γυμναστικῆς ἄρχοντας καθίσασθαι πρέπον ἂν εἴη, διττοὺς ἑκατέρων, τοὺς μὲν παιδείας αὐτῶν ἕνεκα, τοὺς δὲ ἀγωνιστικῆς. παιδείας μὲν βούλεται λέγειν ὁ νόμος γυμνασίων καὶ

quicunque velit, ingrediatur: atque ad id primi secundique census omnes cogantur. porro qui de his abfuerit, decem damnetur drachmis. tertii vero quartique census homines non cogantur: iccirco, qui non interfuit, indemnis sit: nisi forte principes, urgente quadam necessitate, adesse omnibus edixerint. est autem censorum officium, fori ordinem legibus statutum servare: fontium quoque et templorum, quae in eo loco sunt, curam habere, ut ne quis illic iniuriose quicquam agat: et si quis fecerit, servus quidem et peregrinus verberibus et vinculis poenas luat, civis autem censoribus drachmis centum iure censorio condemnetur. maiori vero mulcta, usque ad huius duplam, isti, nisi aediles quoque adsint, condemnare non possint. eadem quoque aedilibus in proprio magistratu mulctandi et puniendi conditio sit. nam usque ad minam condemnandi ipsi habeant potestatem: ad duplam vero mulctam censorum simul auctoritas requiratur. Post haec musicae et gymnasticae magistratus duplices utriusque facultatis constituantur: alii disciplinae, alii exercitationis causa. Qui disciplinae praesunt, gymnasiorum doctrinarumque ornatum

διδασκαλείων ἐπιμελητὰς κόσμου καὶ παιδεύσεως ἅμα καὶ τῆς περὶ ταῦτα ἐπιμελείας τῶν φοιτήσεών τε πέρι καὶ οἰκήσεων ἀῤῥένων καὶ θηλειῶν κορῶν, ἀγωνίας δὲ ἔν τε τοῖς γυμνικοῖς καὶ περὶ τὴν μουσικὴν ἀθλοθέτας ἀθληταῖς, διττοὺς αὖ τούτους, περὶ μουσικὴν μὲν ἑτέρους, περὶ ἀγωνίαν δ' ἄλλους. ἀγωνιστικῆς μὲν οὖν ἀνθρώπων τε καὶ ἵππων τοὺς αὐτούς, μουσικῆς δὲ ἑτέρους μὲν τοὺς περὶ μονῳδίαν τε καὶ μιμητικήν, οἷον ῥαψῳδῶν καὶ κιθαρῳδῶν καὶ αὐλητῶν καὶ πάντων τῶν τοιούτων ἀθλοθέτας ἑτέρους πρέπον ἂν εἴη γίγνεσθαι, τῶν δὲ περὶ χορῳδίαν ἄλλους. πρῶτον δὴ περὶ τὴν τῶν χορῶν παιδιὰν παίδων τε καὶ ἀνδρῶν καὶ θηλειῶν κορῶν ἐν ὀρχήσεσι καὶ τῇ τάξει τῇ ἁπάσῃ γιγνομένῃ μουσικῇ τοὺς ἄρχοντας αἱρεῖσθαί που χρεών· ἱκανὸς δὲ εἷς ἄρχων αὐτοῖς, μὴ ἔλαττον τετταράκοντα γεγονὼς ἐτῶν. ἱκανὸς δὲ καὶ περὶ μονῳδίαν εἷς, μὴ ἔλαττον ἢ τριάκοντα γεγονὼς ἐτῶν, εἰσαγωγεύς τε εἶναι καὶ τοῖς ἀμελλωμένοις τὴν διάκρισιν ἱκανῶς ἀποδιδούς. τὸν δὴ χορῶν ἄρχοντα καὶ διαθετῆρα αἱρεῖσθαι χρὴ τοιόνδε τινὰ τρόπον. ὅσοι μὲν φιλοφρόνως ἐσχήκασι περὶ τὰ τοιαῦτα, εἰς τὸν ξύλλογον ἴτωσαν, ἐπιζήμιοι

et discendi ordinem curent: operamque dent, ut tam mares quam feminae in adolescentia honeste ad ista proficiscantur, honeste etiam commorentur. Exercitationis curam habeant in gymnastica et musica ipsi athlothetae, qui munera imponunt atque declarant athletis, ipsis scilicet certatoribus. atque hi similiter duplices esse debent: circa musicam alii, alii circa circa gymnasticam. et in gymnastica quidem iidem pariter in hominum equorumve certaminibus: in musica vero alii in monodia, id est cantu et oratione funebri, et imitatione ipsa. sicut rhapsodorum, eorum scilicet, qui decantatorium componunt carmen, citharistarum, tibicinum ceterorumque talium: alii in chori cantu. primum igitur in chori ludo, ubi viri, pueri et puellae tripudio ceterisque musicae modis exercentur, principes eligendi. unus autem illis sufficit princeps non pauciores quam quadraginta annos natus. unum quoque in monodia sufficere arbitramur, qui triginta annos expleverit, qui et introducat homines in certamen, eisque sufficienter cognoscat et iudicet. at vero principem ordinatoremque chori sic oportet eligere. qui huic rei vacant, in concilium proficiscantur, mulcta imposi-

ἐὰν μὴ ἴωσι· τούτου δὲ οἱ νομοφύλακες κριταί· τοῖς δ' ἄλλοις, ἐὰν μὴ βούλωνται, μηδὲν ἐπάναγκες ἔχω. καὶ τὴν προβολὴν δὴ τὸν αἱρούμενον ἐκ τῶν ἐμπείρων ποιητέον, ἔν τε τῇ δοκιμασίᾳ κατηγόρημα ἓν τοῦτ' ἔχω καὶ ἀπηγόρημα, τῶν μὲν ὡς ἄπειρος ὁ λαχών, τῶν δ' ὡς ἔμπειρος. ὃς δ' ἂν εἷς ἐκ προχειροτονηθέντων δέκα λάχῃ, δοκιμασθεὶς τὸν ἐνιαυτὸν τῶν χορῶν ἀρχέτω κατὰ νόμον. κατὰ ταὐτὰ δὲ τούτοις καὶ ταύτῃ ὁ λαχὼν τὸν ἐνιαυτὸν ἐκεῖνον τῶν ἀφικομένων εἰς κρίσιν μο-
O νῳδιῶν τε καὶ συναυλιῶν, ἀρχέτω εἰς τοὺς κριτὰς ἀποδιδοὺς ὁ λαχὼν τὴν κρίσιν. Μετὰ δὲ ταῦτα χρεὼν ἀγωνίας ἀθλοθέτας αἱρεῖσθαι τῆς περὶ τὰ γυμνάσια ἵππων τε καὶ ἀνθρώπων ἐκ τῶν τρίτων τε καὶ ἔτι τῶν δευτέρων τιμημάτων. εἰς δὲ τὴν αἵρεσιν ἔχω μὲν ἐπάναγκες τοῖς τρισὶ πορεύεσθαι τιμήμασι, τὸ σμικρότατον δὲ ἀζήμιον ἀφείσθω. τρεῖς δ' ἔχωσαν οἱ λαχόντες, τῶν προχειροτονηθέντων μὲν εἴκοσι, λαχόντων δὲ ἐκ τῶν εἴκοσι τριῶν, οὓς ἂν καὶ ψῆφος ἡ τῶν δοκιμαζόντων δοκιμάσῃ. ἐὰν δέ τις ἀποδοκιμασθῇ καθ' ἡντιναοῦν ἀρχῆς λῆξιν
O καὶ κρίσιν, ἄλλους ἀνθαιρεῖσθαι κατὰ ταὐτὰ καὶ τὴν δοκιμασίαν ὡσαύτως αὐτῶν πέρι ποιεῖσθαι. Λοιπὸς δὲ ἄρχων περὶ τὰ προειρημένα ἡμῖν ὁ τῆς παιδείας ἐπι-

ta, nisi accesserint: huius rei legum custodes iudices sint: ceteros, si nolint, nemo cogat. nominent etiam, qui periti sunt: et in comprobatione una haec approbatio reprobatioque habeatur, quod peritus vel imperitus sit qui designatur. qui vero ex designatis decem ceteros suffragio superaverit, et deinde comprobatus fuerit, unus annuo tempore choro secundum legem praesit. similiter etiam in monodia et tibicinio designatio fiat, electioque et comprobatio: et qui assecutus fuerit, eodem modo a iudicibus confirmatus, anno praesit. Deinceps auctores declaratoresque munerum in exercitatione gymnastica, tam equorum quam hominum, a secundo tertioque censu ita constituantur. Comitia ingredi trium censuum homines compellantur: minimus autem census liber sit. et de viginti, qui prae ceteris suffragio designati fuerint, tres ante alios sorte electi principes declarentur, quos comprobantium suffragium confirmaverit. in cuiuscunque autem magistratus sorte atque iudicio, si quis reprobatus et repulsus fuerit, alius loco eius eodem ordine designetur et comprobetur. restat princeps, qui totius disciplinae in his, quae

μελητὴς πάσης θηλειῶν τε καὶ ἀῤῥένων. εἷς μὲν δὴ καὶ ὁ τούτων ἄρξων ἔξω κατὰ νόμους, ἐτῶν μὲν γεγονὼς μὴ ἔλαττον ἢ πεντήκοντα, παίδων δὲ γνησίων πατήρ, μάλιστα μὲν υἱέων καὶ θυγατέρων, εἰ δὲ μή, θάτερα· διανοηθήτω δὲ αὐτός τε ὁ προκριθεὶς καὶ ὁ προκρίνων ὡς οὖσαν ταύτην τὴν ἀρχὴν τῶν ἐν τῇ πόλει ἀκροτάτων ἀρχῶν πολὺ μεγίστην. παντὸς γὰρ δὴ φυτοῦ ἡ πρώτη βλάστη καλῶς ὁρμηθεῖσα πρὸς ἀρετὴν τῆς αὑτοῦ φύσεως κυριωτάτη τέλος ἐπιθεῖναι τὸ πρόσφορον, τῶν τε ἄλλων φυτῶν καὶ τῶν ζώων ἡμέρων καὶ ἀγρίων καὶ ἀνθρώπων. ἄνθρωπος δέ, ὡς φαμεν, ἥμερον, ὅμως μὴν παιδείας
766 μὲν ὀρθῆς τυχὸν καὶ φύσεως εὐτυχοῦς θειότατον ἡμερώτατόν τε ζῶον γίγνεσθαι φιλεῖ, μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφὲν ἀγριώτατον ὁπόσα φύσει γῆ. ὧν ἕνεκα οὐ δεύτερον οὐδὲ πάρεργον δεῖ τὴν παίδων τροφὴν τὸν νομοθέτην ἐᾶν γίγνεσθαι. πρῶτον δὲ ἄρξασθαι χρεὼν τὸν μέλλοντα αὐτῶν ἐπιμελήσεσθαι καλῶς αἱρεθῆναί τῶν ἐν τῇ πόλει ὃς ἂν ἄριστος εἰς πάντα ᾖ· τοῦτον κατὰ δύναμιν ὅτι μάλιστα αὐτοῖς καθιστάντα προστάτην καὶ ἐπιμελητήν. αἱ πᾶσαι τοίνυν ἀρχαὶ πλὴν

narravimus, tam feminarum quam marium curam habeat. unum quoque hunc secundum leges principem esse volumus, non pauciores natum annos quam quinquaginta, qui legitimos habeat filios utriusque sexus maxime: si vero minus, alterius sexus omnino. cogitare debet et qui eligit et qui eligitur, hunc magistratum omnium in civitate summorum magistratuum esse admodum praestantissimum. in omnibus quippe viventibus prima ipsa germina, si apte coeperint ad naturae suae virtutem, vim habent summam ad finem sibi debitum imponendum. quod et in plantis evenit et in brutis, tum silvestribus tum etiam mansuetis, et in hominibus. hominem autem mansuetum animal esse dicimus. porro si cum natura felici rectam quoque disciplinam fuerit assecutus, in divinissimum mansuetissimumque animal solet evadere: sin vero non satis aut non bene fuerit educatus, ferocissimum omnium, quae in terris nascuntur, animal redditur. quamobrem non debet legum conditor rem summopere necessariam, pueritiae educationem, postponere; sed operam dare in primis, si rem hanc diligenter est curaturus, ut omnium civium ad officia quaeque optimus vir eligatur, qui quam maxime pro viribus educandis pueris praeponatur. omnes igitur magistratus, prae-

βουλῆς καὶ πρυτάνεων εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν ἐλθοῦσαι φερόντων ψῆφον κρύβδην, τῶν νομοφυλάκων ὃν τιν' ἂν ἕκαστος ἡγῆται κάλλιστ' ἂν τῶν περὶ παιδείαν ἄρξαι γενομένων· ὧ δ' ἂν πλεῖσαι ψῆφοι ξυμβῶσι, δοκιμασθεὶς ὑπὸ τῶν ἄλλων ἀρχόντων τῶν ἑλομένων, πλὴν νομοφυλάκων ἀρχέτω ἔτη πέντε, ἕκτῳ δὲ κατὰ ταὐτὰ ἄλλον ἐπὶ ταύτην τὴν ἀρχὴν αἱρεῖσθαι.

Ἐὰν δέ τις δημοσίαν ἀρχὴν ἄρχων ἀποθάνῃ πρὶν ἐξήκειν αὐτῷ τὴν ἀρχὴν πλεῖον ἢ τριάκοντα ἐπιδεομένην ἡμερῶν, τὰν αὐτὸν τρόπον ἐπὶ τὴν ἀρχὴν ἄλλον καθιζάναι οἷς ἦν προσῆκόντως τοῦτο μέλον. καὶ ἐὰν ὀρφανῶν ἐπίτροπος τελευτήσῃ τις, οἱ προσήκοντες καὶ ἐπιδημοῦντες πρὸς πατρὸς καὶ μητρὸς μέχρι ἀνεψιῶν παίδων ἄλλον καθιζάντων ἐντὸς δέκα ἡμερῶν, ἢ ζημιούσθων ἕκαστος δραχμῇ τῆς ἡμέρας, μέχρι περ ἂν καταστήσωσι τὸν ἐπίτροπον.

Πᾶσα δὲ δή που πόλις ἄπολις ἂν γίγνοιτο ἐν ᾗ δικαστήρια μὴ καθεστῶτα εἴη κατὰ τρόπον· ἄφωνος δ' αὖ δικαστὴς ἡμῖν καὶ μὴ πλείω τῶν ἀντιδίκων ἐν ταῖς ἀνακρίσεσι φθεγγόμενος, καθάπερ ἐν ταῖς διαίταις, οὐκ ἄν ποτε ἱκανὸς γένοιτο περὶ τὴν τῶν δικαίων κρίσιν· ὧν ἕνεκα οὔτε πολλοὺς ὄντας ῥᾴδιον εὖ δικάζειν

ter senatum et quaestores, in Apollinis templum profecti suffragium clam legum custodibus ineant, deligentes singuli, quem optime puerorum disciplinae existimant praefuturum. et qui suffragio superabit, a magistratibus, qui delegerunt, exceptis videlicet legum custodibus, comprobatus, quinquennium praesit. et in sexto anno alius princeps similiter statuatur. si quis autem, in magistratu publico constitutus, pluribus quam triginta diebus, antequam munus suum peragat, e vita decesserit, illi, quibus id curae est, alium similiter eligant. sin autem orphanorum tutor mortem obierit, cognati atque affines ex utrisque parentibus, usque consobrinos et patrueles, qui praesentes sunt, alium intra dies decem constituant: alioquin drachma quotidie mulctentur singuli, quousque orphanis tutorem praeficiant. sed nulla civitas revera civitas erit, nisi debito ordine iudicia fuerint constituta. iudex autem mutus, qui nec instar arbitri aliquid plus quam litigantes dixerint, in causis discutiendis percunctatur, nunquam ad ius declarandum sufficiens erit. quapropter nec si multi sint,

οὔτε ὀλίγους φαύλους: σαφὲς δὲ ἀεὶ τὸ ἀμφισβητούμενον χρεὼν γίγνεσθαι παρ' ἑκατέρων, ὁ δὲ χρόνος ἅμα καὶ τὸ βραδὺ τό τε πολλάκις ἀνακρίνειν πρὸς τὸ φανερὰν γίγνεσθαι τὴν ἀμφισβήτησιν ξύμφορον· ὧν ἕνεκα πρῶτον μὲν εἰς γείτονας ἰέναι χρὴ τοὺς ἐπικαλοῦντας ἀλλήλοις καὶ τοὺς φίλους τε καὶ ξυνειδότας ὅτι μάλιστα τὰς ἀμφισβητουμένας πράξεις· ἐὰν δ' ἄρα
767 μὴ ἐν τούτοις τις ἱκανὴν κρίσιν λαμβάνῃ, πρὸς ἄλλο δικαστήριον ἴτω· τὸ δὲ τρίτον, ἂν τὰ δύο δικαστήρια μὴ δύνηται διαλλάξαι, τέλος ἐπιθέτω τῇ δίκῃ. Τρόπον δή 10
τινα καὶ τῶν δικαστηρίων αἱ καταστάσεις ἀρχόντων εἰσὶν αἱρέσεις· πάντα μὲν γὰρ ἄρχοντα ἀναγκαῖον καὶ δικαστὴν εἶναί τινων, δικαστὴς δὲ οὐκ ἄρχων καί τινα τρόπον ἄρχων οὐ πάνυ φαῦλος γίγνεται τὴν τόθ' ἡμέραν ᾗ περ ἂν κρίνων τὴν δίκην ἀποτελῇ. θέντες δὴ καὶ τοὺς δικαστὰς ὡς ἄρχοντας λέγωμεν τίνες ἂν εἶεν πρέποντες καὶ τίνων ἄρα δικασταὶ καὶ πόσοι ἐφ' ἕκαστον. πυριώτατον μὲν τοίνυν ἔξω δικαστήριον ὃ περ ἂν αὐτοὶ ἑαυτοῖς ἀποφήνωσιν ἕκαστοι, κοινῇ τινὰς ἑλόμενοι· δύο δὴ τῶν λοιπῶν ἔξω κριτήρια, τὸ μὲν ὅταν τίς τινα 20
ἰδιώτην ἰδιώτης, ἐπαιτιώμενος ἀδικεῖν αὐτόν, ἄγων

facile unquam bene iudicabunt, nec si pauci et ignavi. oportet autem semper, ut quod quaeritur ab utrisque, declaretur. tempus autem et mora frequensque inquisitio ad aperiendam controversiam conferunt. iccirco, qui litigant, ad vicinos primum et amicos, et maxime rei, de qua quaeritur, conscios se convertant. quod si per eos non sufficienter fuerit iudicatum, ad aliud iudicium proficiscantur. tertium vero, si per duo superiora reconciliati non fuerint, finem imponat. profecto iudiciorum constitutiones quodammodo magistratuum electiones sunt. omnem namque magistratum necesse est quorundam etiam esse iudicem. non tamen iudex omnis necessario est magistratus et princeps: quanquam iudex ea die, qua iudicium peragit, quodammodo magistratus est non vilis. igitur, quasi iudices ipsi magistratus aliqui sint, de his iam, qui quarumque rerum et quot in unaquaque re esse debeant, disseramus. augustissimum certe iudicium sit, quod sibimet aliqui praefecerunt, communi consensu iudicem eligentes. reliqua iudicia duo sint. alterum, quando privatus iniuriam a privato pati conqueritur, eumque in iudicium trahit: alterum,

εἰς δίκην βούληται διακριθῆναι, τὸ δ' ὁπόταν τὸ δημόσιον ὑπό τινος τῶν πολιτῶν ἠγῆταί τις ἀδικεῖσθαι καὶ βουληθῇ τῷ κοινῷ βοηθεῖν. λεκτέον δ' ὁποῖοί τ' εἰσὶ καὶ τίνες οἱ κριταί. πρῶτον δὴ δικαστήριον ἡμῖν γιγνέσθω κοινὸν ἅπασι τοῖς τὸ τρίτον ἀμφισβητοῦσιν ἰδιώταις πρὸς ἀλλήλους, γενόμενον τῇδέ πῃ. πάσας δὴ τὰς ἀρχάς, ὁπόσαι τε κατ' ἐνιαυτὸν καὶ ὁπόσαι πλείω χρόνον ἄρχουσιν, ἐπειδὰν μέλλῃ νέος ἐνιαυτὸς μετὰ θερινὰς τροπὰς τῷ ἐπιόντι μηνὶ γίγνεσθαι, ταύτης
O τῆς ἡμέρας τῇ πρόσθεν πάντας χρὴ τοὺς ἄρχοντας συνελθεῖν εἰς ἓν ἱερὸν καὶ τὸν θεὸν ὀμόσαντας οἷον ἀπάρξασθαι πάσης ἀρχῆς ἕνα δικαστήν, ὃς ἂν ἐν ἀρχῇ ἑκάστῃ ἄριστός τε εἶναι δόξῃ καὶ ἄριστ' ἂν καὶ ὁσιώτατα τὰς δίκας τοῖς πολίταις αὐτῷ τὸν ἐπιόντα ἐνιαυτὸν φαίνηται διακρίνειν. τούτων δὲ αἱρεθέντων γίγνεσθαι μὲν δοκιμασίαν ἐν τοῖς ἑλομένοις αὐτοῖς· ἐὰν δὲ ἀποδοκιμασθῇ τις, ἕτερον ἀνθαιρεῖσθαι κατὰ ταὐτά. τοὺς δὲ δοκιμασθέντας δικάζειν μὲν τοῖς ἄλλα δικαστήρια φυγοῦσι, τὴν δὲ ψῆφον φανερὰν φέρειν. ἐπηκόους δ' εἶ-
O ναι καὶ θεατὰς τούτων τῶν δικῶν ἐξ ἀνάγκης μὲν βουλευτὰς καὶ τοὺς ἄλλους ἄρχοντας τοὺς ἑλομένους αὐτούς, τῶν δὲ ἄλλων τὸν βουλόμενον. ἐὰν δέ τις ἐπαιτιᾶταί τινα ἑκόντα ἀδίκως κρῖναι τὴν δίκην, εἰς τοὺς

quando reipublicae iniuriam a civium aliquo fieri arbitratus aliquis communibus rebus auxiliari conatur. dicendum est igitur, quos et quales iudices esse oporteat. primum iudicium commune omnibus privatis, qui tertio inter se litigant, ita fiat: omnes magistratus, tam annui quam maioris temporis, pridie kalendas mensis illius, quo post aestivum solstitium novus incipit annus, in templum unum conveniant. ubi iureiurando interposito, a singulis magistratibus veluti quasdam Deo primitias offerentes, unum iudicem deligant, qui optimus esse et optime atque sanctissime iudicia illo anno redditurus civibus videatur. ac postquam iudices designati sunt, ab eisdem, qui designarunt, singuli comprobentur: et si quis reprobatus fuerit, alius similiter eligatur. comprobati illis, qui per praecedentia reconciliati non sunt, iudicia reddant et aperte suffragium ferant, audientibus spectantibusque necessario consultoribus reliquisque magistratibus, qui eos declaraverunt. de ceteris autem intersit pro arbitrio quisque. quod si quis aliquem iniustam sponte sententiam tulisse incuset, apud

νομοφύλακας ἰὼν κατηγορείτω· ὁ δὲ ὄφλων τὴν τοιαύτην δίκην ὑπεχέτω μὲν τοῦ βλάβους τῷ βλαφθέντι τὸ ἥμισυ τίνειν, ἐὰν δὲ μείζονος ἄξιος εἶναι δόξῃ ζημίας, προστιμᾶν τοὺς κρίναντας τὴν δίκην ὅ τι χρὴ πρὸς τούτῳ παθεῖν αὐτὸν ἢ ἀποτίνειν τῷ κοινῷ καὶ τῷ τὴν δίκην δικασαμένῳ. περὶ δὲ τῶν δημοσίων ἐγκλημάτων ἀναγκαῖον πρῶτον μὲν τῷ πλήθει μεταδιδόναι τῆς κρί-
768 σεως· οἱ γὰρ ἀδικούμενοι πάντες εἰσίν, ὁπόταν τις τὴν πόλιν ἀδικῇ, καὶ χαλεπῶς ἂν ἐν δίκῃ φέροιεν ἄμοιροι γιγνόμενοι τῶν τοιούτων διακρίσεων, ἀλλ' ἀρχήν τε εἶναι χρὴ τῆς τοιαύτης δίκης καὶ τελευτὴν εἰς τὸν δῆ- 10
μον ἀποδιδομένην, τὴν δὲ βάσανον ἐν ταῖς μεγίσαις ἀρχαῖς τρισίν, ἃς ἂν ὅ τε φεύγων καὶ ὁ διώκων ξυνομολογῆτον· ἐὰν δὲ μὴ δύνησθον κοινωνῆσαι τῆς ὁμολογίας αὐτοί, τὴν βουλὴν ἐπικρίνειν αὐτῶν τὴν αἵρεσιν ἑκατέρου. δεῖ δὲ δὴ καὶ τῶν ἰδίων δικῶν κοινωνεῖν κατὰ δύναμιν ἅπαντας· ὁ γὰρ ἀκοινώνητος ὢν ἐξουσίας τοῦ συνδικάζειν ἡγεῖται τὸ παράπαν τῆς πόλεως οὐ μέτοχος εἶναι. διὰ ταῦτ' οὖν δὴ καὶ κατὰ φυλὰς ἀναγκαῖον δικαστήριά τε γίγνεσθαι καὶ κλήρῳ δικαζὰς ἐκ τοῦ παραχρῆμα ἀδιαφθόρους ταῖς δεήσεσι δικάζειν· τὸ δὲ τέλος κρίνειν 20
πάντων τῶν τοιούτων ἐκεῖνο τὸ δικαστήριον ὃ φαμεν εἶς

legum custodes hoc faciat: et qui damnatus fuerit, dimidiam damni partem iniuriam passo persolvat. si autem mulcta digna maiore videatur: iudices ipsi, qui condemnarunt, quid aut pati aut reddere debet, vel reipublicae vel iniuriam passo, cognoscant. in publicis autem accusationibus necesse est inprimis multitudinem iudicii participem facere. nam quando adversus civitatem peccatur, omnibus infertur iniuria. ideoque merito graviter patiuntur, nisi ad iudicandum ipsi etiam admittantur. sed et principium iudicii huius et finis deferri ad populum debet, examen autem et approbatio ad tres maximos magistratus, de quibus conveniant litigantes. at si convenire nequeant, consilium ipsum electionem utriusque cognoscat et iudicet. oportet praeterea privatorum iudiciorum omnes pro viribus participes esse. nam qui a iudicandi potestate omnino repellitur, is a civitate se prorsus existimat alienum. his de causis per ipsas quoque tribus necesse est iudicia fieri, iudicesque sorte statim incorruptos precibus iudicare. et demum iudicium illud cuncta definiat, quod interne-

γε ἀνθρωπίνην δύναμιν ὡς οἷόν τε ἀδιαφθορώτατα παρεσκευάσθαι τοῖς μὴ δυναμένοις μήτε ἐν τοῖς γείτοσι μήτε ἐν τοῖς φυλετικοῖς δικαστηρίοις ἀπαλλάττεσθαι.

Νῦν δὴ περὶ μὲν δικαστήρια ἡμῖν, ἃ δή φαμεν οὔθ' ὡς ἀρχὰς οὔθ' ὡς μὴ ῥᾴδιον εἰπόντα ἀναμφισβητήτως εἰρηκέναι, περὶ μὲν ταῦτα οἷον περιγραφή τις ἔξωθεν περιγεγραμμένη τὰ μὲν εἴρηκε, τὰ δ' ἀπολείπει σχεδόν· πρὸς γὰρ τέλει νομοθεσίας ἡ δικῶν ἀκριβὴς νόμων θέσις ἅμα καὶ διαίρεσις ὀρθότατα γίγνοιτ' ἂν μακρῷ. ταύταις μὲν οὖν εἰρήσθω πρὸς τῷ τέλει περιμένειν ἡμᾶς, αἱ δὲ περὶ τὰς ἄλλας ἀρχὰς κατάστασεις σχεδὸν τὴν πλείστην εἰλήφασι νομοθεσίαν. τὸ δὲ ὅλον καὶ ἀκριβὲς περὶ ἑνός τε καὶ πάντων τῶν κατὰ πόλιν καὶ πολιτικὴν πᾶσαν διοικήσεων οὐκ ἔξι γενέσθαι σαφὲς, πρὶν ἂν ἡ διέξοδος ἀπ' ἀρχῆς τά τε δεύτερα καὶ τὰ μέσα καὶ πάντα μέρη τὰ ἑαυτῆς ἀπολαβοῦσα πρὸς τέλος ἀφίκηται. νῦν μὴν ἐν τῷ παρόντι μέχρι τῆς τῶν ἀρχόντων αἱρέσεως γενομένης τελευτὴ μὲν τῶν ἔμπροσθεν αὕτη γίγνοιτ' ἂν ἱκανή, νόμων δὲ θέσεως ἀρχὴ καὶ ἀναβολῶν ἅμα καὶ ὄκνων οὐδὲν ἔτι δεομένη.

ΚΛ. Πάντως μοι κατὰ νοῦν, ὦ ξένε, τὰ ἔμπρο-

ratum omnino, quoad humanis in rebus fieri potest, esse debere diximus, ad eas lites determinandas, quae nec per vicinos neque per contribules dirimi potuerunt. verum de iudiciis, quae magistratus esse nec affirmare nec negare facile sine controversia quisquam poterit, haec quasi exterius circumducta descriptio nonnulla complexa est, nonnulla etiam reliquisse videtur. nam iudicialium legum exacta positio atque partitio longe rectius in calce ferendarum legum locabitur. quare ad idem tempus has differamus. ceteri autem magistratus maxima iam ex parte dispositi sunt. tota vero atque perfecta civilium dispensatio, sive ad unum sive ad omnes pertineat, non antea liquido declarari poterit, quam tractatio ipsa, principia et sequentia, media omnesque partes suas complexa, ad exitum usque pervenerit. quae quidem in praesentia usque ad magistratuum creationem progressa, ut antecedentium finis sufficiens est, ita ferendarum legum principium nec moram aut segnitiem amplius patitur. *Cli.* Quamvis supe-

σθεν εἰρηκώς, τὴν ἀρχὴν νῦν τελευτῇ προσάψας περὶ τῶν τε εἰρημένων καὶ τῶν μελλόντων ῥηθήσεσθαι, ταῦτα ἔτι μᾶλλον ἐκείνων εἴρηκας φιλίως.

769 ΑΘ. Καλῶς τοίνυν ἂν ἡμῖν ἡ πρεσβυτῶν ἔμφρων παιδιὰ μέχρι δεῦρ' εἴη τὰ νῦν διαπεπαισμένη.

ΚΛ. Καλὴν τὴν σπουδὴν ἔοικας δηλοῦν τῶν ἀνδρῶν.

ΑΘ. Εἰκός γε. τόδε δ' ἐννοήσωμεν, εἰ σοὶ δοκεῖ καθά περ ἐμοί.

ΚΛ. Τὸ ποῖον δή; καὶ περὶ τίνων; 10

ΑΘ. Οἶσθ' ὅτι καθά περ ζωγράφων οὐδὲν πέρας ἔχειν ἡ πραγματεία δοκεῖ περὶ ἑκάστων τῶν ζώων, ἀλλ' ἢ τοῦ χραίνειν ἢ ἀποχραίνειν, ἢ ὅ τι δή ποτε καλοῦσι τὸ τοιοῦτον οἱ ζωγράφων παῖδες, οὐκ ἄν ποτε δοκεῖ παύσασθαι κοσμοῦσα, ὥστε ἐπίδοσιν μηκέτ' ἔχειν εἰς τὸ καλλίω τε καὶ φανερώτερα γίγνεσθαι τὰ γεγραμμένα.

ΚΛ. Σχεδὸν ἐννοῶ ἀκούων καὶ αὐτὸς ταῦτα ἃ λέγεις, ἐπεὶ ἐντριβής γε οὐδαμῶς γέγονα τῇ τοιαύτῃ τέχνῃ. 20

ΑΘ. Καὶ οὐδέν γε ἐβλάβης. χρησώμεθά γε μὴν τῷ νῦν παρατυχόντι περὶ αὐτῆς ἡμῖν λόγῳ τὸ τοιόνδε, ὡς εἴ ποτέ τις ἐπινοήσειε γράψαι τε ὡς κάλλιστον ζῷον

riora omnia ex animo meo dixeris, hospes, multo tamen gratius in praesentia mihi id contigit, quod cum dictorum exitu dicendorum initium coniunxisti. *Athen.* Belle igitur prudens seniorum ludus hucusque nobis sit perlusus. *Cli.* Pulchrum sane studium virorum significare videris. *Athen.* Consentaneum est. verum animadvertamus, si hoc tibi quoque, ut mihi, videtur. *Cli.* Quidnam? et quibus de rebus? *Athen.* An nescis idem in hac re, quod in pictorum facultate, contingere? illa quippe nullum in pingendis animalibus terminum habere videtur: sed semper inumbrando et deumbrando, vel quomodocunque aliter a pictoribus id vocetur, exornare conatur, nec cessat unquam, non enim potest fieri, ut ad pulchriora expressioraque incrementum non habeatur. *Cli.* Intelligo ferme, audiens quae dicis. nullum enim huius artis usum habeo. *Athen.* Nihil tibi id obfuit. sed hac forte nobis allata similitudine sic utamur. si quis pulcherri-

καὶ τοῦτ' αὖ μηδέποτε ἐπὶ τὸ φαυλότερον ἀλλ' ἐπὶ τὸ βέλτιον ἴσχειν τοῦ ἐπιόντος ἀεὶ χρόνου, ξυννοεῖς ὅτι θνητὸς ὤν, εἰ μή τινα καταλείψει διάδοχον τοῦ ἐπανορθοῦν τε, ἐάν τι σφάλληται τὸ ζῶον ὑπὸ χρόνων, καὶ τὸ παραλειφθὲν ὑπὸ τῆς ἀσθενείας τῆς ἑαυτοῦ πρὸς τὴν τέχνην οἷός τε εἰς τὸ πρόσθεν ἕξαι φαιδρύνων ποιεῖν ἐπιδιδόναι, σμικρόν τινα χρόνον αὐτῷ πόνος παραμενεῖ πάμπολυς;

ΚΛ. Ἀληθῆ.

ΑΘ. Τί οὖν; ἆρ' οὐ τοιοῦτον δοκεῖ σοι τὸ τοῦ νομοθέτου βούλημα εἶναι; πρῶτον μὲν γράψαι τοὺς νόμους πρὸς τὴν ἀκρίβειαν κατὰ δύναμιν ἱκανῶς· ἔπειτα προϊόντος τοῦ χρόνου καὶ τῶν δοξάντων ἔργῳ πειρώμενον ἆρ' οἴει τινὰ οὕτως ἄφρονα γεγονέναι νομοθέτην, ὥστ' ἀγνοεῖν ὅτι πάμπολλα ἀνάγκη παραλείπεσθαι τοιαῦτα, ἃ δεῖ τινὰ ξυνεπόμενον ἐπανορθοῦν, ἵνα μηδαμῇ χείρων βελτίων δὲ ἡ πολιτεία καὶ ὁ κόσμος ἀεὶ γίγνηται περὶ τὴν ᾠκισμένην αὐτῷ πόλιν;

ΚΛ. Εἰκός, πῶς γὰρ οὔ; βούλεσθαι πάντα ὁντινοῦν τὸ τοιοῦτον;

ΑΘ. Οὐκοῦν εἴ τίς τινα μηχανὴν ἔχοι πρὸς τοῦτο ἔργῳ καὶ λόγοις, τίνα τρόπον διδάξειεν ἂν ἕτερον

mum animal pingere voluerit, quod non ad peius sed ad melius futuro semper tempore progrediatur, nonne vides, cum mortalis sit, nisi aliquem artis successorem reliquerit, qui, si quid vel tempore ex animali abolitum fuerit, instaurare, vel per imbecillitatem artis ab artifice praetermissum adiicere possit atque ita fulgentius in dies animal reddere, laboriosum illud opus brevi tempore duraturum? *Cli.* Prorsus. *Athen.* An non legislatoris voluntas haec tibi esse videtur? principio quidem, ut leges sibi sufficienter et exquisite pro viribus conscribantur. deinde procedente tempore, et periculo rerum facto, putasne sic amentem legislatorem aliquem esse, ut ignoret necessarium esse talia sibi multa relinqui, quae emendatione successoris alicuius indigeant: ne peior quidem, sed melior respublica semper ornatiorque efficiatur? *Cli.* Probabile est. nam quomodo nolle id poterit? *Athen.* Quacunque igitur via poterit, tam re quam verbis, alium sive

εἴτε μείζονα εἴτε ἐλάττω περὶ τούτ᾽ ἔχειν ἔννοιαν, ὅπως χρὴ φυλάττειν καὶ ἐπανορθοῦν νόμους, οὐκ ἄν ποτε λέγων ἀπείποι τὸ τοιοῦτον πρὶν ἐπὶ τέλος ἐλθεῖν;

ΚΛ. Πῶς γὰρ ἄν;

77° *ΑΘ.* Οὐκοῦν ἐν τῷ νῦν παρόντι ποιητέον ἐμοὶ καὶ σφῶν τοῦτο;

ΚΛ. Τὸ ποῖον δὴ λέγεις;

ΑΘ. Ἐπειδὴ νομοθετεῖν μὲν μέλλομεν, ᾖρηνται δὲ ἡμῖν νομοφύλακες, ἡμεῖς δ᾽ ἐν δυσμαῖς τοῦ βίου, οἱ δ᾽ ὡς πρὸς ἡμᾶς νέοι, ἅμα μέν, ὡς φαμεν, δεῖ νο- 10
μοθετεῖν ἡμᾶς, ἅμα δὲ πειρᾶσθαι ποιεῖν καὶ τούτους αὐτοὺς νομοθέτας τε καὶ νομοφύλακας εἰς τὸ δυνατόν.

ΚΛ. Τί μήν; εἴ περ οἷοί τέ γ᾽ ἐσμὲν ἱκανῶς.

ΑΘ. Ἀλλ᾽ οὖν πειρατέα γε καὶ προθυμητέα.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Λέγωμεν δὴ πρὸς αὐτοὺς Ὦ φίλοι σωτῆρες νόμων, ἡμεῖς περὶ ἑκάστων ὧν τίθεμεν τοὺς νόμους πάμπολλα παραλείψομεν· ἀνάγκη γάρ· οὐ μὴν ἀλλ᾽ ὅσα γε μὴ σμικρὰ καὶ τὸ ὅλον εἰς δύναμιν οὐκ 20
ἀνήσομεν ἀπεριήγητον καθάπερ τινι περιγραφῇ. τοῦτο δὲ δεήσει συμπληροῦν ὑμᾶς τὸ περιηγηθέν. ὅποι δὲ βλέποντες δράσετε τὸ τοιοῦτον, ἀκούειν χρή. Μέγιλλος μὲν γὰρ καὶ ἐγὼ καὶ Κλεινίας εἰρήκαμέν τε αὐτὰ

maiorem sive minorem docebit, quomodo conservandae et corrigendae leges sunt, nec unquam in his dicendis defatigabitur, nisi ad finem perduxerit. *Cli.* Ita certe. *Athen.* Nonne id mihi et vobis in praesentia faciundum? *Cli.* Quid ais? *Athen.* Quoniam leges laturi sumus, et legum custodes creati sunt, nos autem ad occasum vitae appropinquamus, et custodes isti nobis iuniores sunt: oportet nos, ut diximus, leges ferre simul, atque istos tam legumlatores quam custodes quoad possumus facere. *Cli.* Quidni? dummodo id satis fieri queat. *Athen.* Verumtamen impensius annitamur. *Cli.* Nihil prohibet. *Athen.* Sic ergo ad eos dicamus: O amici, legum conservatores, permulta in singulis nos, qui leges ponimus, necessario relinquemus, quae tamen non parva erunt: immo et rem omnem pro viribus exteriore quadam circumscriptione significabimus, quam quidem impleri a nobis oportebit. quo vero id facturis vobis respiciendum est, audite. Megillus egoque et Clinia

ἀλλήλοις οὐκ ὀλιγάκις ὁμολογοῦμέν τε λέγεσθαι καλῶς· ὑμᾶς δὲ ἡμῖν βουλόμεθα ξυγγνώμονάς τε ἅμα καὶ μαθητὰς γίγνεσθαι, βλέποντας πρὸς ταῦτα εἰς ἃ περ ἡμεῖς ξυνεχωρήσαμεν ἀλλήλοις τὸν νομοφύλακά τε καὶ νομοθέτην δεῖν βλέπειν. ἦν δὲ ἡ συγχώρησις ἓν ἔχουσα κεφάλαιον, ὅπως ποτὲ ἀνὴρ ἀγαθὸς γίγνοιτ' ἂν τὴν ἀνθρώπῳ προσήκουσαν ἀρετὴν τῆς ψυχῆς ἔχων ἔκ τινος ἐπιτηδεύματος ἢ τίνος ἤθους ἢ ποιᾶς κτήσεως ἢ ἐπιθυμίας ἢ δόξης ἢ μαθημάτων ποτέ τινων, εἴτε ἄῤῥην τις τῶν ξυνοικούντων οὖσα ἡ φύσις εἴτε θήλεια, νέων ἢ γερόντων, ὅπως εἰς ταὐτὸν τοῦτο ὃ λέγομεν τεταγμένη σπουδὴ πᾶσα ἕξει διὰ παντὸς τοῦ βίου, τῶν δ' ἄλλων ὁπόσα ἐμπόδια τούτοις μηδὲν προτιμῶν φανεῖται μηδ' ὀρτιζοῦν, τελευτῶν δὲ καὶ πόλεως, ἐὰν ἀνάσατον ἀνάγκη φαίνηται γίγνεσθαι πρὶν ἐθέλειν δούλειον ὑπομείνασα ζυγὸν ἄρχεσθαι ὑπὸ χειρόνων, ἢ λείπειν φυγῇ τὴν πόλιν, ὡς πάντα τὰ τοιαῦτ' ἄρ' ἔσθ' ὑπομενετέον πάσχοντας πρὶν ἀλλάξασθαι πολιτείαν ἢ χείρους ἀνθρώπους πέφυκε ποιεῖν. ταῦτα ἡμεῖς τε ἔμπροσθεν ξυνωμολογησάμεθα, καὶ νῦν ὑμεῖς ἡμῶν εἰς ταῦτα ἑκάτερα βλέποντες ἐπαινεῖτε καὶ ψέγετε τοὺς 771
νόμους, ψέγετε μὲν ὅσοι μὴ ταῦτα δυνατοί, τοὺς δὲ

inter nos saepenumero diximus, et probe nos dixisse convenimus. vosque rogamus, ut et indulgere nobis et imitari quasi discipuli magistros velitis, ad ea ipsa respicientes, ad quae legum custodi et latori respiciendum concorditer nos consensimus. huius consensionis unum est caput, ut homo bonus efficiatur, habens virtutem animi hominis propriam, studio aliquo partam aut usu aut certa quadam adeptione, vel cupiditate vel opinione vel aliquo genere doctrinarum, seu masculus sit sive femina, sive iuvenis seu senex. atque ad hoc ipsum, quod dicimus, quisque per totam vitam omni studio tendat, cetera, quae impedimento huic rei sunt, negligens. pro patria praeterea, si necesse sit, mori paratus sit, antequam velit aut eversam videre civitatem, iugoque servitutis subiectam a peioribus gubernari, aut fuga ipsam deserere. quippe extrema omnia subeunda sunt potius, quam in eam gubernationem civitas commutanda, quae peiores solet homines facere. in his iam pridem nos consensimus: et nunc vos, ad haec utraque respicientes, laudate leges et vituperate. eas, inquam, vituperate, quae haec assequi minime possunt: eas autem, quae

δυνατοὺς ἀσπάζεσθέ τε καὶ φιλοφρόνως δεχόμενοι ζῆτε ἐν αὐτοῖς· τὰ δ' ἄλλα ἐπιτηδεύματα καὶ πρὸς ἄλλα τείνοντα τῶν ἀγαθῶν λεγομένων χαίρειν χρὴ προσαγορεύειν.

Ἀρχὴ δὲ ἔξω τῶν μετὰ ταῦτα ἡμῖν νόμων ἥδε τις, ἀφ' ἱερῶν ἠργμένη. τὸν ἀριθμὸν γὰρ δὴ δεῖ πρῶτον ἀναλαβεῖν ἡμᾶς τὸν τῶν πεντακισχιλίων καὶ τετταράκοντα, ὅσας εἶχέ τε καὶ ἔχει τομὰς προσφόρους ὅ τε ὅλος ἅμα καὶ ὁ κατὰ φυλάς, ὃ δὴ τοῦ παντὸς ἔθεμεν δωδεκατημόριον, ἓν καὶ εἴκοσιν εἰκοσάκις ὀρθότατα φύν. ἔχει δὲ διανομὰς δώδεκα μὲν ὁ πᾶς ἀριθμὸς ἡμῖν, δώδεκα δὲ καὶ ὁ τῆς φυλῆς. ἑκάστην δὴ τὴν μοῖραν διανοεῖσθαι χρεὼν ὡς οὖσαν ἱερὸν θεοῦ δῶρον, ἑπομένην τοῖς μησὶ καὶ τῇ τοῦ παντὸς περιόδῳ. διὸ καὶ πᾶσαν πόλιν ἄγει μὲν τὸ ξύμφυτον ἱεροῦν αὐτάς, ἄλλοι δὲ ἄλλων ἴσως ὀρθότερον ἐνείμαντό τε καὶ εὐτυχέστερον ἐθείσαν τὴν διανομήν. ἡμεῖς δὲ οὖν νῦν φαμὲν ὀρθότατα προῃρῆσθαι τὸν τῶν πεντακισχιλίων καὶ τετταράκοντα ἀριθμόν, ὃς πάσας τὰς διανομὰς ἔχει μέχρι τῶν δώδεκα ἀπὸ μιᾶς ἀρξάμενος· πλὴν ἑνδεκάδος. αὕτη δ' ἔχει σμικρότατον ἅμα· ἐπὶ θάτερα γάρ ὑγιὴς γίγνεται δυοῖν ἑξίαιν ἀπονεμηθείσαιν. ὡς

possunt, amate; libenterque illas amplexi in ipsis vitam agite. cetera vero studia, quae alio tendunt et ad vulgaria bona respiciunt, spernite. Sed initium sequentium legum hoc nobis sit a sacris exorsum. oportet primum repetere, quot numerus quinque millium, et quadraginta partitiones commodas habuit atque habet; tum totus ipse numerus, tum qui per tribus ipsas porrigitur, quem totius partem duodecimam posuimus, unam et viginti vigesies rectissime natam. atque ut totus numerus duodecim constat partibus, ita tribus ipsa in duodecim scindítur. singulas itaque partes sacrum esse Dei munus existimare debemus, cum et menses et circuitium universi sequantur. quapropter et civitatem omnem ducit, quod ipsis innatum est, ad eas sacrandas. alii forsan rectius quam alii partiti sunt, ac Diis partitiones suas felicius dedicarunt: nos autem nunc rectissime arbitramur quinque millium et quadraginta numerum elegisse, qui omnes ab una usque ad duodecim decisiones habet, undecimo numero solum excepto, qui minimo quodam remedio redintegratur. restituitur enim, si duae ad alteram partem domus accesserint. haec vera

δ' ἐξὶ ταῦτα ἀληθῶς ὄντα, κατὰ σχολὴν οὐκ ἂν πολὺς ἐπιδείξειε μῦθος. πιστεύσαντες δὴ τὰ νῦν τῇ παρούσῃ φήμῃ καὶ λόγῳ νείμωμέν τε ταύτην, καὶ ἑκάστῳ μοίρᾳ θεὸν ἢ θεῶν παῖδα ἐπιφημίσαντες, βωμούς τε καὶ τὰ τούτοις προσήκοντα ἀποδόντες, θυσιῶν πέρι ξυνόδους ἐπ' αὐτοῖς ποιώμεθα δύο τοῦ μηνός, δώδεκα μὲν τῇ τῆς φυλῆς διανομῇ, δώδεκα δὲ αὐτῷ τῷ τῆς πόλεως διαμερισμῷ, θεῶν μὲν δὴ πρῶτον χάριτος ἕνεκα καὶ τῶν περὶ θεούς, δεύτερον δὲ ἡμῶν αὐτῶν οἰκειότητός τε πέρι καὶ γνωρίσεως ἀλλήλων, ὡς φαῖμεν ἄν, καὶ ὁμιλίας ἕνεκα πάσης. πρὸς γὰρ δὴ τὴν τῶν γάμων κοινωνίαν καὶ ξύμμιξιν ἀναγκαίως ἔχει τὴν ἄγνοιαν ἐξαιρεῖν, παρ' ὧν τέ τις ἄγεται καὶ ἃ καὶ οἷς ἐκδίδωσι, περὶ παντὸς ποιούμενον ὅτι μάλιστα τὸ μὴ σφάλλεσθαι μηδαμῶς ἐν τοῖς τοιούτοις κατὰ τὸ δυνατόν. τῆς οὖν τοιαύτης σπουδῆς ἕνεκα χρὴ καὶ τὰς παιδιὰς ποιεῖσθαι χορεύοντάς τε καὶ χορευούσας κόρους καὶ κόρας, καὶ ἅμα δὴ θεωροῦντάς τε καὶ θεωρουμένους μετὰ λόγου τε καὶ ἡλικίας τινὸς ἐχούσης εἰκυίας προφάσεις, γυμνοὺς καὶ γυμνὰς μέχρι περ αἰδοῦς σώφρονος ἑκάστων. τούτων δ' ἐπιμελητὰς πάντων καὶ κοσμητὰς τοὺς τῶν χορῶν ἄρχοντας γίγνεσθαι καὶ νομοθέτας μετὰ τῶν νομοφυλάκων, ὅσον ἂν ἡμεῖς ἐκλεί- 727

esse, sermo nequaquam prolixus in otio demonstraret. credentes igitur praesenti sermoni et rationi distribuamus, et unicuique parti Deum vel Deorum filium invocantes, aris ceterisque huiusmodi dedicatis, in sacrificiis conventus duos singulis mensibus faciamus, ut duodecim singularum tribuum et duodecim civitatis distributioni accommodentur. haec Deorum primo divinorumque colendorum gratia ita fiant: deinde amicitiae quoque et cognitionis alternae, et communis denique consuetudinis gratia, quae ad matrimonia conficienda summopere necessaria est: ut, sublata ignorantia, nemo in his, quoad fieri potest, decipiatur; sed quisque, cui collocat, et quam et a quibus ducit, agnoscat. serie admodum huius rei gratia ludi etiam chorique puellorum et puellarum simul fieri debent, nudatis corporibus, quatenus modestus pudor patitur, ut cum ratione in aetate convenienti conspiciant alterutrum atque conspiciantur. quae quidem omnia curent ornentque chori principes, et cum legum custodibus conditores, ut a nobis relicta suppleant. necesse namque, ut dixi-

πωμεν τάττοντας. ἀναγκαῖον δέ, ὃ περ εἴπομεν, περὶ τὰ τοιαῦτα πάντα ὅσα σμικρὰ καὶ πολλὰ νομοθέτην μὲν ἐκλείπειν, τοὺς δ' ἐμπείρους ἀεὶ κατ' ἐνιαυτὸν γιγνομένους αὐτῶν ἀπὸ τῆς χρείας μανθάνοντας τάττεσθαι καὶ ἐπανορθουμένους κινεῖν κατ' ἐνιαυτόν, ἕως ἂν ὅρος ἱκανὸς δόξῃ τῶν τοιούτων νομίμων καὶ ἐπιτηδευμάτων γεγονέναι. χρόνος μὲν οὖν μέτριος ἅμα καὶ ἱκανὸς γίγνοιτ' ἂν τῆς ἐμπειρίας δεκαέτηρος θυσιῶν τε καὶ χορειῶν, ἐπὶ πάντα καὶ ἕκαστα ταχθείς, ζῶντος μὲν τοῦ τάξαντος νομοθέτου κοινῇ, τέλος δὲ σχόντος αὐτὰς ἑκάστας τὰς ἀρχὰς εἰς τοὺς νομοφύλακας εἰσφερούσας τὸ παραλειπόμενον τῆς αὐτῶν ἀρχῆς ἐπανορθοῦσθαι, μέχρι περ ἂν τέλος ἔχειν ἕκαστον δόξῃ τοῦ καλῶς ἐξειργάσθαι· τότε δὲ ἀκίνητα θεμένους ἤδη χρῆσθαι μετὰ τῶν ἄλλων νόμων, οὓς ἔταξε κατ' ἀρχὰς ὁ θεὶς αὐτοῖς νομοθέτης, ὧν πέρι κινεῖν μὲν ἑκόντας μηδέποτε μηδένα· εἰ δέ τις ἀνάγκη δόξειέ ποτε καταλαβεῖν, πάσας μὲν τὰς ἀρχὰς χρὴ ξυμβούλους, πάντα δὲ τὸν δῆμον καὶ πάσας θεῶν μαντείας ἐπελθόντας, ἐὰν συμφωνῶσι πάντες, οὕτω κινεῖν, ἄλλως δὲ μηδέποτε μηδαμῶς, ἀλλὰ τὸν κωλύοντα ἀεὶ κατὰ νόμον κρατεῖν. Ὁπότε τις

mus, in his praesertim, quae multa parvaque sunt, nonnulla in prima positione legum praetermitti, quae magistratus sequentes, usu rerum commoniti, quotannis movebunt et corrigent: donec tempus illud advenerit, quo instituta haec discussa et approbata sufficienter fuisse videantur. tempus autem ad hoc periculum faciendum moderatum et sufficiens decennium erit, quoad sacra et choreas, ad omnia denique atque singula. quae quidem per experientiam emendatio, vivente legumlatore, communiter cum illo fiat. si decesserit, singuli magistratus ad legum custodes de sui magistratus defectu referant, emendentque, donec approbationis finem suum nacta singula videantur. tunc demum ratas has leges habeant, eisque una cum aliis, quas ab initio legislator conscripsit, utantur: in quibus nihil unquam sponte movebunt. si qua vero necessitas aliquando urgere videbitur, de hoc una consultent magistratus omnes et populus universus: et omnia Deorum petantur oracula. si horum omnium unus erit consensus, moveant: aliter vero nunquam; sed unus, qui prohibet, vin-

δὴν καὶ ὁπηνίκα τῶν πέντε καὶ εἴκοσι γεγονότων ἔτη σκοπῶν καὶ σκοπούμενος ὑπ᾽ ἄλλων κατὰ νοῦν ἑαυτῷ καὶ πρέποντα εἰς παίδων κοινωνίαν καὶ γένεσιν ἐξευρηκέναι πιστεύει, γαμείτω μὲν πᾶς ἐντὸς τῶν πέντε καὶ τριάκοντα ἐτῶν τὸ δὲ πρέπον καὶ τὸ ἁρμόττον ὡς χρὴ ζητεῖν, πρῶτον ἐπακουσάτω· δεῖ γάρ, ὥς φησι Κλεινίας, ἔμπροσθεν τοῦ νόμου προοίμιον οἰκεῖον ἑκάστῳ προτιθέναι.

ΚΛ. Κάλλιστα, ὦ ξένε, διεμνημόνευσας, ἔλαβές τε τοῦ λόγου καιρὸν καὶ μάλ᾽ ἐμοὶ δοκοῦντ᾽ εἶναι σύμμετρον.

ΑΘ. Εὖ λέγεις. Ὦ παῖ, τοίνυν φῶμεν ἀγαθῶν πατέρων φύντι, τοὺς παρὰ τοῖς ἔμφροσιν εὐδόξους 773
γάμους χρὴ γαμεῖν, οἵ σοι παραινοῖεν ἂν μὴ φεύγειν τὸν τῶν πενήτων μηδὲ τὸν τῶν πλουσίων διώκειν διαφερόντως γάμον, ἀλλ᾽ ἐὰν τἆλλα ἰσάζῃ, τὸν ὑποδεέστερον ἀεὶ τιμῶντα εἰς τὴν κοινωνίαν ξυνιέναι. τῇ τε γὰρ πόλει ξύμφορον ἂν εἴη ταύτῃ ταῖς τε ξυνιούσαις ἑστίαις· τὸ γὰρ ὁμαλὸν καὶ ξύμμετρον ἀκράτου μυρίῳ διαφέρει πρὸς ἀρετήν. κοσμίων τε πατέρων χρὴ προθυμεῖσθαι γίγνεσθαι κηδεχὴν τὸν αὐτῷ ξυνειδότα ἱταμώτερον ἅμα καὶ θᾶττον τοῦ δέοντος πρὸς πάσας τὰς πράξεις φερόμενον· τὸν δ᾽ ἐναντίως πεφυκότα ἐπὶ τἀ-

eat secundum legem. quandocunque igitur aliquis quinque et viginti annos iam natus, alios aspiciens ab aliisque aspectus, adinvenisse sibi credit convenientem animo suo atque decentem societatem ad communionem generationemque liberorum, intra quinque et triginta aetatis annos uxorem ducat. quo autem pacto decorum illud et aptum quaerendum sit, in primis audiat. oportet enim, ut ait Clinias, ante leges proprium singulis exordium ponere. *Cli.* Opportune meministi, hospes, tempusque commodum orationi cepisti. *Athen.* Probe loqueris. dicamus itaque sic: O fili, qui ex bonis parentibus ortus est, eas nuptias sequi debet, quas prudentes viri honestas ducunt. qui sane monerent, nec pauperum fugere neque divitum affinitatem sectari praecipue oportere: sed ceteris paribus pauperiorem semper honorare cumque ipso societatem inire. nam et civitati et familiis, quae iunguntur, id conducit. quippe quod moderatum est et mediocre, immoderato et excedente mirum in modum ad virtutem praestat. ergo quicunque ferocioris velociorisque, quam oportet, ad agendum animi sibi conscius est, is det operam oportet, ut tis compotes esse debent, quando non parvam ineunt vitae mu-

ναντία χρὴ πηδεύματα πορεύεσθαι. καὶ κατὰ παντὸς εἰς ἔξω μῦθος γάμου· τὸν γὰρ τῇ πόλει δεῖ συμφέροντα μνηστεύειν γάμον ἕκαστον, οὐ τὸν ἥδιστον αὐτῷ. φέρεται δέ πως πᾶς ἀεὶ κατὰ φύσιν πρὸς τὸν ὁμοιότατον αὑτῷ, ὅθεν ἀνώμαλος ἡ πόλις ὅλη γίγνηται χρήμασί τε καὶ τρόπων ἕξεσιν· ἐξ ὧν ἃ μὴ βουλόμεθα ξυμβαίνειν ἡμῖν, καὶ μάλιστα ξυμβαίνει ταῖς πλείσταις πόλεσι. ταῦτα δὴ διὰ λόγου μὲν νόμῳ προστάττειν, μὴ γαμεῖν πλούσιον πλουσίου μηδὲ πολλὰ δυνάμενον πράττειν ἄλλου τοιούτου, θάττους δὲ ἤθεσι πρὸς βραδυτέρους καὶ βραδυτέρους πρὸς θάττους ἀναγκάζειν τῇ τῶν γάμων κοινωνίᾳ πορεύεσθαι, πρὸς τῷ γελοῖα εἶναι θυμὸν ἂν ἀνεγείραι πολλοῖς· οὐ γὰρ ῥᾴδιον ἐννοεῖν ὅτι πόλιν εἶναι δεῖ δίκην κρατῆρος κεκραμένην, οὗ μαινόμενος μὲν οἶνος ἐγκεχυμένος ζεῖ, καλαζόμενος δὲ ὑπὸ νήφοντος ἑτέρου θεοῦ καλὴν κοινωνίαν λαβὼν ἀγαθὸν πῶμα καὶ μέτριον ἀπεργάζεται. τοῦτ' οὖν γιγνόμενον ἐν τῇ τῶν παίδων μίξει διορᾶν ὡς ἔπος εἰπεῖν δυνατὸς οὐδείς. τούτου δὴ χάριν ἐᾶν μὲν νόμῳ τὰ τοιαῦτα ἀναγκαῖον, ἐπᾴδοντα δὲ πείθειν πειρᾶσθαι τὴν τῶν παίδων ὁμαλότητα αὐτῶν αὐτοῖς τῆς τῶν γάμων ἰσό-

tura affectus est, contrariam sibi adsciscat affinitatem. sed una tandem sit communis ratio nuptiarum, ut quisque non incundissimum sibi, sed civitati utile ineat matrimonium. etenim singuli semper ad sibi simillimum natura feruntur. unde civitas tota et divitiis et moribus inaequalis quam maxime redditur: ex quibus, quae minime nobis evenire vellemus, maxime civitatibus plurimis accidunt. sed si haec per rationem lege sanciremus, ne dives divitis aut potens potentis in connubio societatem admittat cogeremusque velociores animo cum tardioribus, et tardiores contra cum velocioribus copulari: non modo ridicula nostra oratio videretur, sed et iram multitudini concitaret. non enim intellectu facile est, quod civitas similis esse debeat paterae, in qua merum, quod primo infusum bullit, statim alterius Dei sobrietate castigatum atque optime temperatum bonus et moderatus potus efficitur. quemadmodum vero id in mixta filiorum procreatione fiat: nemo, ut breviter dicam, potest conspicere. quamobrem non lege cogendi sed persuasione inducendi cives, ut aequalem temperatamque liberorum suorum generationem pluris faciant quam opulentissimae affinitatis aequalitatem.

τητος ἁπλήσου χρημάτων οὔσης περὶ πλείονος ἕκαστον ποιεῖσθαι, καὶ δι' ὀνείδους ἀποτρέπειν τὸν περὶ τὰ χρήματα ἐν τοῖς γάμοις ἐσπουδακότα, ἀλλὰ μὴ γραπτῷ νόμῳ βιαζόμενον. Περὶ γάμων δὴ ταῦτ' ἔχω παραμύθια λεγόμενα, καὶ δὴ καὶ τὰ ἔμπροσθε τούτων ῥηθέντα, ὡς χρὴ τῆς ἀειγενοῦς φύσεως ἀντέχεσθαι τῷ παῖδας παίδων καταλείποντα ἀεὶ τῷ θεῷ ὑπηρέτας ἀνθ' αὑτοῦ παραδιδόναι. πάντα οὖν ταῦτα καὶ ἔτι 774
πλείω τις ἂν εἴποι περὶ γάμων, ὡς χρὴ γαμεῖν, προ-
o οιμιαζόμενος ὀρθῶς. ἂν δ' ἄρα τις μὴ πείθηται ἑκών, ἀλλότριον δὲ αὑτὸν καὶ ἀκοινώνητον ἐν τῇ πόλει ἔχῃ καὶ ἄγαμος ὢν γένηται πεντεκαιτριακοντούτης, ζημιούσθω κατ' ἐνιαυτὸν ἕκαστον, ὁ μέγιστον μὲν τίμημα κεκτημένος ἑκατὸν δραχμαῖς, ὁ δὲ τὸ δεύτερον ἑβδομήκοντα, τρίτον δὲ ἑξήκοντα, ὁ δὲ τὸ τέταρτον τριάκοντα· τοῦτο δ' ἔχω τῆς Ἥρας ἱερόν. ὁ δὲ μὴ ἐκτίνων κατ' ἐνιαυτὸν δεκαπλάσιον ὀφειλέτω. πραττέσθω δὲ ὁ ταμίας τῆς θεοῦ, μὴ ἐκπράξας δὲ αὐτὸς ὀφειλέτω καὶ ἐν ταῖς εὐθύναις τοῦ τοιούτου λόγον ὑπεχέτω πᾶς. εἰς
o μὲν οὖν χρήματα ὁ μὴ θέλων γαμεῖν ταῦτα ζημιούσθω, τιμῆς δὲ παρὰ τῶν νεωτέρων ἄτιμος πάσης ἔχω, καὶ μηδεὶς ὑπακουέτω μηδὲν αὐτῷ ἑκὼν τῶν νέων·

et eum, qui in connubio pecuniis inhiat, non lege scripta arcere debemus, sed opprobriis et increpationibus absterrere. Ad nuptias igitur, ut decet, celebrandas et haec exhortantur et illa, quae in superioribus diximus, asserentes oportere filiorum filios relinquendo, nostros videlicet in divino ministerio successores, naturam assequi sempiternam. haec omnia atque etiam plura quis de nuptiis ineundis exordiendo recte diceret. si quis autem sponte non pareat, et alienus ab hoc consortio vivat in civitate, et sine connubio quinque et triginta egerit annos, singulis annis, si de maximo censu est, drachmis centum mulctetur: si de secundo, septuaginta: si de tertio, sexaginta: si de quarto, triginta. quae quidem pecunia Iunoni consecranda est. si quis autem singulis annis non persolverit, decuplum debeat. cuius pecuniae exactor sit Deae ipsius quaestor: ac nisi exegerit, ipse debeat: atque huius rationem referre quisque debeat. sed pecuniis quidem, qui nolit uxorem ducere, ita mulctetur: honore etiam sic. primum honores nullos a iunioribus consequatur, nec iuvenum ullus aliqua in re sponte ipsi obtemperet. deinde, si aliquem caedere

ἐὰν δὲ κολάζειν τινὰ ἐπιχειρῇ, πᾶς τῷ ἀδικουμένῳ βοηθείτω καὶ ἀμυνέτω, μὴ βοηθῶν δὲ ὁ παραγενόμενος δειλός τε ἅμα καὶ κακὸς ὑπὸ τοῦ νόμου πολίτης εἶναι λεγέσθω. Περὶ δὲ προικὸς εἴρηται μὲν καὶ πρότερον, εἰρήσθω δὲ πάλιν, ὡς ἴσα ἀντὶ ἴσων ἐξὶ τῷ μήτε λαμβάνοντι μήτ' ἐκδιδόντι διὰ χρημάτων ἀπορίαν γηράσκειν τοὺς πένητας· τὰ γὰρ ἀναγκαῖα ὑπάρχοντά ἐξι πᾶσι τῶν ἐν ταύτῃ τῇ πόλει, ὕβρις δὲ ἧττον γυναιξὶ καὶ δουλεία ταπεινὴ καὶ ἀνελεύθερος διὰ χρήματα τοῖς γήμασι γίγνοιτο ἄν. καὶ ὁ μὲν πειθόμενος ἓν τῶν καλῶν δρᾷ τοῦτ' ἄν· ὁ δὲ μὴ πειθόμενος ἀλλ' ἢ διδοὺς ἢ λαμβάνων πλέον ἢ πεντήκοντα ἄξια δραχμῶν ἐσθῆτος χάριν, ὁ μὲν μνᾶς, ὁ δὲ τριῶν ἡμιμναίων, ὁ δὲ δυεῖν μναῖν, ὅ τὸ μέγιστον τίμημα κεκτημένος, ὀφειλέτω μὲν τῷ δημοσίῳ τοσοῦτον ἕτερον, τὸ δὲ δοθὲν ἢ ληφθὲν ἱερὸν ἔστω τῆς Ἥρας τε καὶ τοῦ Διός, πρατόντων δὲ οἱ ταμίαι τούτοιν τοῖν θεοῖν, καθά περ ἐρρήθη τῶν μὴ γαμούντων πέρι τοὺς ταμίας ἐκπράττειν ἑκάστοτε τοὺς τῆς Ἥρας ἢ παρ' αὐτῶν ἑκάστους τὴν ζημίαν ἐκτίνειν. Ἐγγύην δὲ εἶναι κυρίαν πατρὸς μὲν πρῶτον, δευτέραν πάππου, τρίτην δὲ ἀδελφῶν ὁμοπα-

ausus fuerit, quilibet adversus ipsum insurgat, et ei auxilium ferat, qui accepit iniuriam. si quis autem praesens hoc non fecerit, tim dus malusque civis a legibus habeatur. De dote vero dictum est prius, et modo rursus dicatur, aequalia pro aequalibus esse: siquidem neque qui acceperit neque qui dederit, pecuniarum inopia consenescet. necessaria enim in hac civitate abunde omnibus sunt. mulieribus praeterea contumeliosus fastus minor erit: minor et viris humilis illiberalisque servitus. qui paruerit, unum sane hoc aget praeclare: qui vero non paruerit, aed aut dederit aut acceperit quod quinquaginta drachmas excedat vestimenti gratia. alius minam, alius tres semiminas, alius minas duas. et qui censum habet supremum, tantumdem rursus persolvat aerario: et quicquid datum fuerit vel acceptum, Iovi atque Iunoni consecretur. huius pecuniae exactores esse volumus horum Deorum quaestores: quemadmodum modo dictum fuit, cum de his, qui nuptias fugiunt, loqueremur, quod ab eis debetur, esse a Iunonis quaestoribus exigendum. qui si neglexerint, de suo persolvant. fideiussio autem primum patris firmissima sit: avi deinde: tertia fratrum eodem ex patre natorum. si nullus

τρίων· ἐὰν δὲ μηδὲ εἷς ᾖ τούτων, τὴν πρὸς μητρὸς μετὰ τοῦτο εἶναι κυρίαν ὡςαύτως· ἐὰν δ' ἄρα τύχῃ τις ἀήθης συμβαίνῃ, τοὺς ἐγγύτατα γένους ἀεὶ κυρίους εἶναι μετὰ τῶν ἐπιτρόπων. Ὅσα δὲ προτέλεια γάμων ἤ τις ἄλλη περὶ τὰ τοιαῦτα ἱερουργία μελλόντων ἢ γι- 775
γνομένων ἢ γεγονότων προσήκουσά ἐςι τελεῖσθαι, τοὺς ἐξηγητὰς ἐρωτῶντα χρὴ καὶ πειθόμενον ἐκείνοις ἔκαςον ἡγεῖσθαι πάντα ἑαυτῷ μετρίως γίγνεσθαι. Περὶ δὲ τῶν ἐξιάσεων, φίλους μὲν χρὴ καὶ φίλας μὴ πλείους πέντε
10 ἑκατέρων συγκαλεῖν, συγγενῶν δὲ καὶ οἰκείων ὡςαύτως τοσούτους ἄλλους ἑκατέρων· ἀνάλωμα δὲ μὴ γίγνεσθαι πλέον ἢ κατὰ τὴν οὐσίαν μηδενί, τῷ μὲν εἰς χρήματα μεγίςῳ μνᾶν, τῷ δ' ἥμισυ τοῦ τοσούτου, τῷ δ' ἐφεξῆς οὕτω, καθά περ ὑποβέβηκεν ἑκάςῳ τὸ τίμημα. καὶ τὸν μὲν πειθόμενον τῷ νόμῳ ἐπαινεῖν χρὴ πάντας, τὸν δὲ ἀπειθοῦντα κολαζόντων οἱ νομοφύλακες ὡς ἀπειρόκαλόν τε ὄντα καὶ ἀπαίδευτον τῶν περὶ τὰς νυμφικὰς Μούσας νόμων. πίνειν δὲ εἰς μέθην οὔτε ἄλλοθί που πρέπει, πλὴν ἐν ταῖς τοῦ τὸν οἶνον δόντος θεοῦ ἑορταῖς,
20 οὐδ' ἀσφαλές, οὔτ' οὖν δὴ περὶ γάμους ἐσπουδακότα. ἐν οἷς ἔμφρονα μάλιςα εἶναι πρέπει νύμφην καὶ νυμφίον μεταβολὴν οὐ σμικρὰν βίου μεταλλάττοντας, ἅμα

istorum superstes sit, tunc ex parte matris similiter fideiussio valeat. sin autem insolita contigerit desolatio, propinquiores agnati atque gentiles una cum tutoribus fideiubeant. si qua vero sacra initiatio aut divina alia expiatio ad futura vel praeterita vel praesentia in nuptiis agenda videatur, divinorum interpretes consulant: putentque, si illis paruerint, moderate singula peregisse. Ad nuptiale vero convivium non plures quam quinque amici et amicae quinque ex latere paterno vocentur: ex cognatis et propinquis totidem. impensa secundum divitias fiat. ditissimus minam expendat: alius semiminam: deincepsque proportione servata, quo decrescit census, descrescat similiter et impensa. qui legi paret, laudetur ab omnibus: sed eum, qui non obtemperat, damnent custodes legum, tanquam a decoro alienum legisque sponsalium Musarum prorsus ignarum. bibere vero ad ebrietatem usque neque alibi unquam decet, praeterquam in solemnitatibus eius Dei, qui largitus est vinum: nec tutum est, maxime vero connubio coniuncti, sponsus et sponsa, tunc mentquam quietissimorum parentum filiam ducat: et qui contra ma-

δὲ καὶ τὸ γεννώμενον ὅπως ὅτι μάλιστα ἐξ ἐμφρόνων ἀεὶ γίγνηται· σχεδὸν γὰρ ἄθηλον ὁποία νὺξ ἢ φῶς αὐτὸ γεννήσει μετὰ θεοῦ. καὶ πρὸς τούτοις δεῖ μὴ τῶν σωμάτων διαπεφυμένων ὑπὸ μέθης γίγνεσθαι τὴν παιδουργίαν, ἀλλ' εὐπαγὲς ἁπλανὲς ἡσυχαῖόν τε ἐν μοίρᾳ ξυνίστασθαι τὸ φυόμενον· ὁ δὲ διῳνωμένος αὐτός τε φέρεται πάντῃ καὶ φέρει, λυττῶν κατά τε σῶμα καὶ ψυχήν. σπείρειν οὖν παράφορος ἅμα καὶ κακὸς ὁ μεθύων, ὥστ' ἀνώμαλα καὶ ἄπιστα· καὶ οὐδὲν εὐθύπορον ἦθος οὐδὲ σῶμα ἐκ τῶν εἰκότων γεννῴη ποτ' ἄν. διὸ μᾶλλον μὲν ὅλον τὸν ἐνιαυτὸν καὶ βίον χρή, μάλιστα δὲ ὁπόσον ἂν γεννᾷ χρόνον, εὐλαβεῖσθαι καὶ μὴ πράττειν μήτε ὅσα νοσώδη ἐόντα εἶναι μήτε ὅσα ὕβρεως ἢ ἀδικίας ἐχόμενα· εἰς γὰρ τὰς τῶν γεννωμένων ψυχὰς καὶ σώματα ἀναγκαῖον ἐξομοργνύμενον ἐκτυποῦσθαι καὶ τίκτειν πάντῃ φαυλότερα· διαφερόντως δὲ ἐκείνην τὴν ἡμέραν καὶ νύκτα ἀπέχεσθαι τῶν περὶ τὰ τοιαῦτα· ἀρχὴ γὰρ καὶ θεὸς ἐν ἀνθρώποις ἱδρυμένη σώζει πάντα, τιμῆς ἐὰν τῆς προσηκούσης αὐτῇ παρ' ἑκάστου τῶν χρωμένων λαγχάνῃ. Νομίσαντα δ' εἶναι χρὴ τὸν γαμοῦντα ταῖν οἰκίαιν ταῖν ἐν τῷ κλήρῳ

tationem, praesertim ut ex quam maxime moderatis semper generatio fiat. ferme enim incertum est, quae nox aut dies cum Deo ipsam peragat. quare ut solidus, stabilis et quietus conceptus fiat, non oportet corporibus ebrietate diffusis dare operam liberis. qui autem vino refertus est, tam animae quam corporis rabie concitatus quovis et trahit et trahitur. iccirco ebrius, tanquam mente captus, ad serendum est inutilis. nempe verisimile est, eum foetus inaequales, instabiles, obliquos tam membris quam moribus, procreare. quamobrem per totam quidem vitam, et maxime quamdiu generationi vacat, abstinebit quisque, cavebitque ne faciat, vel quae suapte natura et sponte morbos inducunt, vel quae ad petulantiam iniuriamque declinant. haec enim in animos et corpora nascentium necessario translata illic imprimuntur, peioresque inde nascuntur. sed praecipue die illo ac nocte a talibus abstinendum. principium namque et numen hominibus insitum, si convenienti sibi a singulis munere ipsius utentibus honore afficiatur, omnia servat. Oportet autem alteram ex duabus sorte domibus, a parentibus separatum, quasi ad pul-

τὴν ἑτέραν οἷον νεοττῶν ἐγγέννησιν καὶ τροφήν, χω- 776
ρισθέντα ἀπὸ πατρὸς καὶ μητρὸς τὸν γάμον ἐκεῖ ποι-
εῖσθαι καὶ τὴν οἴκησιν καὶ τὴν τροφὴν αὐτοῦ καὶ τῶν
τέκνων. ἐν γὰρ ταῖς φιλίαις ἐὰν μὲν πόθος ἐνῇ τις,
πολλᾷ καὶ συνδεῖ πάντα ἤθη· κατακορὴς δὲ ξυνουσία
καὶ οὐκ ἴσχουσα τὸν διὰ χρόνου πόθον ἀπορρεῖν ἀλλή-
λων ποιεῖ ὑπερβολαῖς πλησμονῆς. ὧν δὴ χάριν μητρὶ
καὶ πατρὶ καὶ τοῖς τῆς γυναικὸς οἰκείοις παρέντας
χρὴ τὰς αὐτῶν οἰκήσεις, οἷον εἰς ἀποικίαν ἀφικομέ-
νους αὐτούς, ἐπισκοποῦντάς τε ἅμα καὶ ἐπισκοπουμέ-
νους οἰκεῖν, γεννῶντάς τε καὶ ἐκτρέφοντας παῖδας,
καθάπερ λαμπάδα τὸν βίον παραδιδόντας ἄλλοις ἐξ
ἄλλων, θεραπεύοντας ἀεὶ θεοὺς κατὰ νόμους.

Κτήματα δὲ τὸ μετὰ τοῦτο ποῖα ἄν τις κεκτημέ-
νος ἐμμελεζάτην οὐσίαν κεκτῆτο; τὰ μὲν οὖν πολλὰ
οὔτε νοῆσαι χαλεπὸν οὔτε κτήσασθαι, τὰ δὲ δὴ τῶν
οἰκετῶν χαλεπὰ πάντῃ. τὸ δ' αἴτιον οὐκ ὀρθῶς πως
καί τινα τρόπον ὀρθῶς περὶ αὐτῶν λέγομεν· ἐναντία
γὰρ ταῖς χρείαις καὶ κατὰ τὰς χρείας αὖ ποιούμεθα
περὶ δούλων καὶ τὰ λέγομενα.

ΜΕ. Πῶς δ' αὖ τοῦτο λέγομεν; οὐ γάρ πω μαν-
θάνομεν, ὦ ξένε, ὅ τι τὰ νῦν φράζεις.

lorum generationem educationemque, sponsum accipere, atque ibi nuptias celebrare, ubi sit cum liberis suis habitaturus. nam si quoddam in amicitiis desiderium inest, mores omnes quasi glutino quodam connectit et vincit: consuetudo autem satura, nec ullum habens per intermissionem temporis desiderium, alterum ab altero satietate disiungit. quapropter, parentibus utrisque affinibusque relictis, seorsum quasi ad coloniam proficiscantur, ac vicissim se ipsos respicientes habitent, liberos generando et educando: et vitam, quam ab aliis acceperunt, a se quasi taedas ardentes aliis tradant, Deos semper secundum leges colentes. post haec considerandum est, quarum rerum maxime honesta possessio sit. in plurimis quidem seu cognoscendis sive comparandis et possidendis nulla est difficultas. in servis autem istud omnino difficile. causa vero est, quia et recte quodammodo et non recte rursus de ipsis loquimur. nam et contra usum et iterum secundum usum de servis verba dicuntur. *Meg.* Quo pacto id dicimus? non enim intelligimus, hospes, quid modo dicere velis.

ΑΘ. Καὶ μάλα γε, ὦ Μέγιλλε, εἰκότως· σχεδὸν γὰρ πάντων τῶν Ἑλλήνων ἡ Λακεδαιμονίων εἵλωτεία πλείστην ἀπορίαν παράσχοιτ' ἂν καὶ ἔριν τοῖς μὲν ὡς εὖ, τοῖς δ' ὡς οὐκ εὖ γεγονυῖά ἐστιν. ἐλάττω δὲ ἥ τε Ἡρακλεωτῶν δουλεία τῆς τῶν Μαριανδυνῶν καταδουλώσεως ἔριν ἂν ἔχοι, τὸ Θετταλῶν τ' αὖ πενεστικὸν ἔθνος. εἰς ἃ καὶ πάντα τὰ τοιαῦτα βλέψαντας ἡμᾶς τί χρὴ ποιεῖν περὶ κτήσεως οἰκετῶν; ὃ δὴ παριὼν τῷ λόγῳ ἔτυχον εἰπών, καὶ σύ με εἰκότως τί ποτε φράζοιμι ἠρώτησας, τόδ' ἔστιν. ἴσμεν ὅτι που πάντες εἴποιμεν ἂν ὡς χρὴ δούλους ὡς εὐμενεστάτους ἐκτῆσθαι καὶ ἀρίστους· πολλοὶ γὰρ ἀδελφῶν ἤδη δοῦλοι καὶ υἱέων τισὶ κρείττους πρὸς ἀρετὴν πᾶσαν γενόμενοι σεσώκασι δεσπότας καὶ κτήματα τάς τε οἰκήσεις αὐτῶν ὅλας. ταῦτα γὰρ ἴσμεν που περὶ δούλων λεγόμενα.

ΜΕ. Τί μήν;

ΑΘ. Οὐκοῦν καὶ τοὐναντίον ὡς ὑγιὲς οὐδὲν ψυχῆς δούλης οὐδὲ πιστεύειν οὐδέποτ' οὐδὲν τῷ γένει δεῖ τὸν νοῦν κεκτημένον; ὁ δὲ σοφώτατος ἡμῖν τῶν ποιητῶν καὶ ἀπεφήνατο, ὑπὲρ τοῦ Διὸς ἀγορεύων, ὡς

777 ἥμισυ γάρ τε νόου, φησίν, ἀπαμείρεται εὐρύοπα Ζεύς
ἀνδρῶν οὓς ἂν δὴ κατὰ δούλιον ἦμαρ ἕλῃσι.

Athen. Non iniuria, o Megille. ferme enim illa Lacedaemoniorum servitus, quam ilotiam vocatis, prae ceteris Graecis maximam dubitationem et contentionem facit, cum aliis bene, aliis contra instituta videatur. Heraclidarum vero minorem, quam Mariandynorum: postremo servilis apud Thessalos turba. haec utique et huiusmodi omnia respicientibus quid de servorum possessione agendum est? hoc certe mihi nunc excidit, et tu merito me interrogasti, quid dicerem. hoc autem huiusmodi est: Scimus profecto, quod fateremur omnes, servos quam benivolentissimos atque optimos habendos esse. multi enim iam servi quibusdam meliores ad virtutem omnem, quam fratres et filii, domos et rem dominorum omnem, et dominos ipsos servarunt. haec de servis praedicari non ignoramus. *Meg.* Certe. *Athen.* Contra etiam dicitur, nihil in animo serviente integrum inesse, nec quicquam servorum generi esse credendum? quod et sapientissimus poëtarum testatur nobis, cum de Iove sic loquitur: *Dimidium mentis Iuppiter illis aufert, qui servitutis sorti subiecti sunt.* haec ita-

ταῦτα δὴ διαλαβόντες ἕκαστοι τοῖς διανοήμασιν οἱ μὲν πιστεύουσί τε οὐδὲν γένει οἰκετῶν, κατὰ δὲ θηρίων φύσιν κέντροις καὶ μάστιξιν οὐ τρὶς μόνον ἀλλὰ πολλάκις ἀπεργάζονται δούλας τὰς ψυχὰς τῶν οἰκετῶν· οἱ δ' αὖ τἀναντία τούτων δρῶσι πάντα.

ΜΕ. Τί μήν;

ΚΛ. Τί οὖν δὴ χρὴ ποιεῖν τούτων, ὦ ξένε, διαφερομένων οὕτω περὶ τῆς ἡμετέρας αὖ χώρας ἡμᾶς, τῆς τε κτήσεως ἅμα καὶ κολάσεως τῶν δούλων πέρι;

ΑΘ. Τί δ', ὦ Κλεινία; δῆλον ὡς ἐπειδὴ δύσκολόν ἐστι τὸ θρέμμα ἄνθρωπος καὶ πρὸς τὴν ἀναγκαίαν διόρισιν, τὸ δοῦλόν τε ἔργῳ διορίζεσθαι καὶ ἐλεύθερον καὶ δεσπότην, οὐδαμῶς εὔχρηστον ἐθέλει εἶναί τε καὶ γίγνεσθαι.

ΚΛ. Φαίνεται.

ΑΘ. Χαλεπὸν δὴ τὸ κτῆμα· ἔργῳ γὰρ πολλάκις ἐπιδέδεικται περὶ τὰς Μεσσηνίων συχνὰς εἰωθυίας ἀποστάσεις γίγνεσθαι, καὶ περί γε τὰς τῶν ἐκ μιᾶς φωνῆς πολλοὺς οἰκέτας κτωμένων πόλεις, ὅσα κακὰ ξυμβαίνει, καὶ ἔτι τὰ τῶν λεγομένων περιδίνων τῶν περὶ τὴν Ἰταλίαν γιγνομένων παντοδαπὰ κλοπῶν ἔργα τε καὶ παθήματα. πρὸς ἃ τις ἅπαντα βλέψας διαπορήσειε τί χρὴ δρᾶν περὶ ἁπάντων τῶν τοιούτων. δύο δὴ λείπε-

que adeo diversa de servis homines cogitantes, alii nihil generi servorum credunt, sed stimulis atque verberibus, quasi ferarum naturam, non ter tantum, sed saepius ministrorum animos serviles efficiunt: alii contra omnino faciunt. *Cli.* Ita est. sed cum tam diversa de servis homines sentiant, quid nobis, hospes, hac in nostra regione de possessione costigationeque servorum est agendum? *Athen.* Perspicuum mihi videtur, o Clinia, quando difficile domatur homo, et ad necessariam distinctionem servi a libero et domino re ipsa deduci aegre patitur, difficilem possessionem hominem esse. quod exemplo in crebris Messenorum rebellionibus patuit. civitates praeterea, quae multos eiusdem linguae servos habent, planum fecerunt, quot quantaque hinc mala sequantur. piratarum quoque furta et latrocinia, quae maxime circa Italiam abundabant, hinc oriuntur. quae omnia si quis animadvertat, quid de his faciendum sit, dubitabit. Duae igitur solummodo restant viae, ut, qui facile serviturі sunt, nec alus-

σθον μόνω μηχανά, μήτε πατριώτας ἀλλήλων εἶναι τοὺς μέλλοντας ῥᾷον δουλεύσειν ἀσυμφώνους τε εἰς δύναμιν ὅτι μάλιστα, τρέφειν δ' αὐτοὺς ὀρθῶς μὴ μόνον ἐκείνων ἕνεκα, πλέον δὲ αὑτῶν προτιμῶντας. ἡ δὲ τροφὴ τῶν τοιούτων μή τέ τινα ὕβριν ὑβρίζειν εἰς τοὺς οἰκέτας, ἧττον δέ, εἰ δυνατόν, ἀδικεῖν ἢ τοὺς ἐξ ἴσου. διάθηλος γὰρ ὁ φύσει καὶ μὴ πλαστῶς σέβων τὴν δίκην, μισῶν δὲ ὄντως τὸ ἄδικον ἐν τούτοις τῶν ἀνθρώπων ἐν οἷς αὐτῷ ῥᾴδιον ἀδικεῖν· ὃ περὶ τὰ τῶν δούλων οὖν ἤθη καὶ πράξεις γιγνόμενός τις ἀμίαντος τοῦ τε ἀνοσίου πέρι καὶ ἀδίκου σπείρειν εἰς ἀρετῆς ἔκφυσιν ἱκανώτατος ἂν εἴη. ταὐτὸν δ' ἐξ εἰπεῖν τοῦτο ὀρθῶς ἅμα λέγοντα ἐπί τε δεσπότῃ καὶ τυράννῳ καὶ πᾶσαν δυναστείαν δυναστεύοντι πρὸς ἀσθενέστερον ἑαυτοῦ. κολάζειν γε μὴν ἐν δίκῃ δούλους ἀεί, καὶ μὴ νουθετοῦντας ὡς ἐλευθέρους θρύπτεσθαι ποιεῖν. τὴν δὲ οἰκέτου πρόσρησιν χρὴ σχεδὸν ἐπίταξιν πᾶσαν γί-
779 γνεσθαι, μὴ προσπαίζοντας μηδαμῇ μηδαμῶς οἰκέταις, μήτ' οὖν θηλείαις μήτε ἄῤῥεσιν· ἃ δὴ πρὸς δούλους φιλοῦσι πολλοὶ σφόδρα ἀνοήτως θρύπτοντες χαλεπώτερον ἀπεργάζεσθαι τὸν βίον ἐκείνοις τε ἄρχεσθαι καὶ ἑαυτοῖς ἄρχειν.

Κλ. Ὀρθῶς λέγεις.

dem patriae sint, et, quam maxime fieri possit, inter se dissoni. educenturque recte, non solum ipsorum gratia, sed dominorum multo magis. est autem recta horum educatio, ut nulla ipsis contumelia inferatur: iniuriaque his multo minus, si fieri possit, quam aequalibus inferenda. liquido enim cognoscitur, qui natura, non ficte, iustitiam colit, oditque revera iniquitatem, cum cavet, ne iis iniuriam faciat, quibus facile potest. qui ergo circa mores actionesque servorum nihil unquam facit impie, nihil inique, atque ita in his se servat immaculatum, ad producendas virtutis fruges erit aptissimus. idem quoque de domino et tyranno omnique potentiore adversus imbecilliores recte dici potest. castigandi caedendique semper iure sunt servi, neque ita monendi ut liberi, ne molliores fiant. allocutio omnis ad servos quodammodo imperium sit: neque iocus ullus cum ipsis, seu feminis sive masculis habeatur. quod multi stulte facientes, dum delicatius eos nutriunt, difficiliorem vitam et sibi ad imperandum et illis ad obediendum reddunt. *Cli.* Recte loqueris. *Athen.* Hoc

ΑΘ. Οὐκοῦν ὅτε τις οἰκέταις κατεσκευασμένος εἰς δύναμιν εἴη πλήθει καὶ ἐπιτηδειότητι πρὸς ἑκάστας τὰς τῶν ἔργων παραβοηθείας, τὸ δὴ μετὰ τοῦτο οἰκήσεις χρὴ διαγράφειν τῷ λόγῳ.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Καὶ ξυμπάσης γε ὡς ἔπος εἰπεῖν ἔοικε τῆς οἰκοδομικῆς πέρι τήν γε δὴ νέαν καὶ ἀοίκητον ἐν τῷ πρόσθεν πόλιν ἐπιμελητέον εἶναι, τίνα τρόπον ἕκαστα ἕξει τούτων περί τε ἱερὰ καὶ τείχη. γάμων δ' ἦν ἔμπροσθεν ταῦτα, ὦ Κλεινία· νῦν δ' ἐπεί περ λόγῳ γίγνεται, καὶ μάλ' ἐγχωρεῖ ταύτῃ γίγνεσθαι τὰ νῦν· ἔργῳ μὴν ὅταν γίγνεται, ταῦτ' ἔμπροσθεν τῶν γάμων, ἐὰν θεὸς ἐθέλῃ, ποιήσαντες ἐκεῖνα ἤδη τότε ἐπὶ πᾶσι τοῖς τοιούτοις ἀποτελοῦμεν. νῦν δὲ μόνον ὅσον τινὰ τύπον αὐτῶν δι' ὀλίγων ἐπεξέλθωμεν.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Τὰ μὲν τοίνυν ἱερὰ πᾶσαν πέριξ τὴν τε ἀγορὰν χρὴ κατασκευάζειν, καὶ τὴν πόλιν ὅλην ἐν κύκλῳ πρὸς τοῖς ὑψηλοῖς τῶν τόπων, εὐερκείας τε καὶ καθαρότητος χάριν· πρὸς δὲ αὐτοῖς οἰκήσεις τε ἀρχόντων καὶ δικαστηρίων, ἐν οἷς τὰς δίκας ὡς ἱερωτάτοις οὔσι λήψονταί τε καὶ δώσουσι, τὰ μὲν ὡς ὁσίων πέρι, τὰ δὲ καὶ τοιούτων θεῶν ἱδρύματα· καὶ ἐν τούτοις δικα-

igitur pacto servos quisque et numero et facultate ad singula vitae ministeria aptos habeat. verum post haec habitationes oratione describendae sunt. *Cli.* Prorsus. *Athen.* Ad novam profecto civitatem et antea nullis hominibus habitatam in primis aedificia procuranda sunt, et modus templorum murorumque habendus. quae sane nuptias praecedere debebant, o Clinia. sed quoniam verbis nunc agitur, ita nimirum licet ponere. quando vero rem ipsam aggrediemur, haec ante nuptias, si Deus voluerit, collocantes, reliqua deinceps omnia peragemus. nunc autem tanquam in figura quadam haec breviter percurramus. *Cli.* Fiat. *Athen.* Urbs quidem tota in circulum in locis sublimibus deducatur, ut et munitior sit et mundior. templa circa forum struantur. iuxta haec magistratuum iudicumque palatia, in quibus, quasi sacratissimis, iustam et accipient et ferent sententiam: partim quidem tanquam de rebus sacris iudicaturi, partim vero tanquam iudicantium Deorum ibi sint delubra. ibi etiam iudicia-

ξήρια, ἐν οἷς αἵ τε τῶν φόνων πρέπουσαι δίκαι γίγνοιντ' ἂν καὶ ὅσα θανάτων ἄξια ἀδικήματα. περὶ δὲ τειχῶν, ὦ Μέγιλλε, ἔγωγ' ἂν τῇ Σπάρτῃ ξυμφεροίμην τὸ καθεύδειν ἐᾶν ἐν τῇ γῇ κατακείμενα τὰ τείχη καὶ μὴ ἐπανιςάναι, τῶνδε εἵνεκα. καλῶς μὲν καὶ ὁ ποιητικὸς ὑπὲρ αὐτῶν λόγος ὑμνεῖται, τὸ χαλκᾶ καὶ σιδηρᾶ δεῖν εἶναι τὰ τείχη μᾶλλον ἢ γήϊνα· τὸ δ' ἡμέτερον ἔτι πρὸς τούτοις γέλωτ' ἂν δικαίως πάμπολυν ὄφλοι, τὸ κατ' ἐνιαυτὸν μὲν ἐκπέμπειν εἰς τὴν χώραν τοὺς νέους, τὰ μὲν σκάψοντας, τὰ δὲ ταφρεύσοντας, τὰ δὲ καὶ διά τινων οἰκοδομήσεων εἴρξοντας τοὺς πολεμίους, ὡς δὴ τῶν ὅρων τῆς χώρας οὐκ ἐάσοντας ἐπιβαίνειν· τεῖχος δὲ περιβαλοίμεθα, ὃ πρῶτον μὲν πρὸς ὑγίειαν ταῖς πόλεσιν οὐδαμῶς συμφέρει, πρὸς δέ τινα μαλθακὴν ἕξιν ταῖς ψυχαῖς τῶν ἐνοικούντων εἰῶσε ποιεῖν, προκαλούμενον εἰς αὐτὸ καταφεύγοντας μὴ ἀμύνεσθαι τοὺς πολεμίους, 779 μηδὲ τῷ φρουρεῖν ἀεί τινας ἐν αὐτῇ νύκτωρ καὶ μεθ' ἡμέραν, τούτῳ τῆς σωτηρίας τυγχάνειν, τείχεσι δὲ καὶ πύλαις διανοεῖσθαι φραχθέντας τε καὶ καθεύδοντας σωτηρίας ὄντως ἕξειν μηχανάς, ὡς ἐπὶ τὸ μὴ πονεῖν γεγονότας, ἀγνοοῦντας δ' αὖ τὴν ῥᾳθυμίαν, ὡς ὄντως ἐςὶν ἐκ τῶν πόνων· ἐκ ῥᾳθυμίας δέ γε, οἶμαι, τῆς αἰσχρᾶς οἱ πόνοι καὶ ῥᾳθυμίας πεφύκασι γίγνεσθαι

ria domicilia, in quibus de homicidiis, ceterisque capitalibus iniuriis iudicatur. de muris autem, o Megille, Spartiatis ego consentio, murosque in solo iacere facile patiar. probe enim poëticum illud laudatur, quo aeneos et ferreos magis muros quam terreos condere ammonemur. apud nos vero id insuper valde ridiculum est, quod singulis annis in agrum iuvenes emittantur, qui caveis, foveis aedificiisque confectis longe hostes a finibus arceant. et muros quidem circumducimus: quod primum ad sanitatem civitatibus nihil confert: deinde animos civium demollire et enervare consuevit. efficiunt enim, ut facile intra eos se recipientes hostes minime fugent, putentque se non diurna nocturnaque custodia vigilantes, sed murorum septo et vallo dormientes salvos fore, quasi ad desidiam nati sint: ignorantes certe quietem a laboribus originem trahere, atque e turpi otio et negligentia nasci labores solere. verum si muris aliquibus muniendi

πάλιν· ἀλλ' εἰ δὴ τεῖχός γέ τι χρεὼν ἀνθρώποις εἶναι, τὰς οἰκοδομίας χρὴ τὰς τῶν ἰδίων οἰκήσεων οὕτως ἐξ ἀρχῆς βάλλεσθαι, ὅπως ἂν ᾖ πᾶσα ἡ πόλις ἓν τεῖχος, ὁμαλότητί τε καὶ ὁμοιότησιν εἰς τὰς ὁδοὺς πασῶν τῶν οἰκήσεων ἐχουσῶν εὐέρκειαν· ἰδεῖν τε οὐκ ἀηδὲς μιᾶς οἰκίας σχῆμα ἐχούσης αὐτῆς, εἴς τε τὴν τῆς φυλακῆς ῥᾳστώνην ὅλῳ καὶ παντὶ πρὸς σωτηρίαν γίγνοιτ' ἂν διάφορος. τούτων δέ, ἕως ἂν μὲν ᾖ τὰ κατ' ἀρχὰς οἰκοδομηθέντα, μέλειν μὲν μάλιστα τοῖς ἐνοικοῦσι πρέπον ἂν εἴη, τοὺς δὲ ἀστυνόμους ἐπιμελεῖσθαι καὶ προσαναγκάζοντας τὸν ὀλιγωροῦντα ζημιοῦντας, καὶ πάντων δὴ τῶν κατὰ τὸ ἄστυ καθαρότητός τ' ἐπιμελεῖσθαι, καὶ ὅπως ἰδιώτης μηδεὶς μηδὲν τῶν τῆς πόλεως μήτε οἰκοδομήμασι μήτε οὖν ὀρύγμασιν ἐπιλήψεται. καὶ δὴ καὶ ὑδάτων τῶν ἐκ Διὸς εὐροίας τούτους ἐπιμελεῖσθαι χρεών, καὶ ὅσα ἐντὸς πόλεως ἢ ὁπόσα ἔξω πρέπον ἂν οἰκεῖν εἴη. ταῦτα δὲ πάντα ξυνιδόντες ταῖς χρείαις οἱ νομοφύλακες ἐπινομοθετούντων καὶ τῶν ἄλλων ὁπόσα ἂν ὁ νόμος ἐκλείπῃ δι' ἀπορίαν. ὅτε δὲ ταῦτά τε καὶ τὰ περὶ ἀγορὰν οἰκοδομήματα καὶ τὰ περὶ τὰ γυμνάσια καὶ πάντα ὅσα διδασκαλεῖα κατεσκευασμένα περιμένει τοὺς φοιτητὰς καὶ θεατὰς θέατρα, πορευώμεθα ἐπὶ τὰ μετὰ τοὺς γάμους, τῆς νομοθησίας ἑξῆς ἐχόμενοι;

homines sunt, sic ab initio privatae domus quaeque condantur, ut tota urbs aequalitate et similitudine unus sit murus, habeantque domus omnes sic tutum ad vias aditum. quae certe dispositio et intuentibus erit grata, cum domus unius figuram tota civitas habeat, et ad custodiae facilitatem erit longe omnium commodissima. haec ita a principio construi, qui habitaturi sunt, cives maxime curent. aediles quoque provideant, et eos, qui negligunt, mulcta compellant. Curentque, ut urbs quam mundissima sit: nec a privatis unquam patiantur aut aedificando aut fodiendo publicum aliquid occupari. aquarum etiam pluvialium, ut abunde et facile defluant, curam habeant: item omnium, quaecunque vel in civitate vel extra sunt habitanda. sed haec omnia, et cetera, quae a legibus praetermissa sunt, legum custodes usu docti ordinent. postquam vero haec, et circa forum aedificia et gymnasia, et theatra spectantium, et docentium discentiumque domicilia disposita sunt, ad ea quae nuptias sequuntur, in ferendis legibus deinceps pergamus. *Cli.* Sic est faciendum.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Γάμοι μὲν τοίνυν ἡμῖν ἔχωσαν γεγονότες, ὦ Κλεινία· δίαιτα δὲ πρὸ παιδογονίας οὐκ ἐλάττων ἐνιαυσίας γίγνοιτ' ἂν τὸ μετὰ τοῦτο, ἣν δὴ τίνα τρόπον χρὴ ζῆν νυμφίον τε καὶ νύμφην ἐν πόλει διαφερούσῃ τῶν πολλῶν ἐσομένῃ; τὸ δὴ τῶν νῦν εἰρημένων ἐχόμενον εἰπεῖν οὐ πάντων εὐκολώτατον, ἀλλὰ ὄντων οὐκ ὀλίγων τῶν ἔμπροσθεν τοιούτων τοῦτο ἔτι ἐκείνων τῶν πολλῶν δυσχερέσερον ἀποδέχεσθαι τῷ πλήθει. τὸ γε μὴν δοκοῦν ὀρθὸν καὶ ἀληθὲς εἶναι πάντως ῥητέον, ὦ Κλεινία.

ΚΛ. Πάνυ μὲν οὖν.

780 *ΑΘ. Ὅς τις δὴ διανοεῖται πόλεσιν ἀποφαίνεσθαι νόμους πῇ τὰ δημόσια καὶ κοινὰ αὐτοὺς χρὴ ζῆν πράττοντας, τῶν δὲ ἰδίων ὅσον ἀνάγκη μηδὲ οἴεται δεῖν, ἐξουσίαν δὲ ἑκάστοις εἶναι κατὰ τὴν ἡμέραν ζῆν ὅπως ἂν ἐθέλῃ, καὶ μὴ πάντα διὰ τάξεως δεῖν γίγνεσθαι, προέμενος δὲ τὰ ἴδια ἀνομοθέτητα ἡγεῖται τά γε κοινὰ καὶ δημόσια ἐθελήσειν αὐτοὺς ζῆν διὰ νόμων, οὐκ ὀρθῶς διανοεῖται. τίνος δὴ χάριν ταῦτα εἴρηται; τοῦδε, ὅτι φήσομεν δεῖν ἡμῖν τοὺς νυμφίους μηδὲν διαφερόντως μηδὲ ἧττον ἐν ξυσσιτίοις τὴν δίαιταν ποιεῖσθαι τοῦ πρὸ τῶν γάμων χρόνου γενομένου. καὶ τοῦτο μὲν*

dum. *Athen.* De nuptiis igitur ita, ut diximus, o Clinia, res se habeat: post quas vivendi regula, quae filiorum procreationem praecedit, non brevior quam annui temporis, sequitur. sed qua ratione in praestantissima civitate sponsus sponsaque convivere debeant, facile dictu non est. immo vero, cum multa in superioribus difficilia sint, quae de his dicenda sunt, difficilius cunctis vulgus accipiet. quod tamen verum rectumque videtur, dicendum etiam, o Clinia. *Cli.* Dicendum omnino. *Athen.* Quicunque itaque publica solum atque communia censet legibus ordinanda, propria vero etiam, quae necessaria sunt, non curat, ac licentiam singulis quotidie vivendi, ut volunt, neque certo ordine putat omnia facienda, sed privatis neglectis, publica et communia secundum legem gesturos homines opinatur, non recte opinatur. quorsum haec? nempe quoniam oportere sponsos asseremus apud nos non minus nec aliter aliis temporibus, quam ante nuptias, in commessatione vivere. mira quippe res,

δὴ θαυμαστὸν ὂν ὅτε κατ' ἀρχὰς, πρῶτον ἐγένετο ἐν τοῖς παρ' ὑμῖν τόποις, πολέμου τινὸς αὐτό, ὡς γ' εἰκός, νομοθετήσαντος ἤ τινος ἑτέρου τὴν αὐτὴν δύναμιν ἔχοντος πράγματος ἐν ὀλιγανθρωπίαις ὑπὸ πολλῆς ἀπορίας ἐχομένοις· γευσαμένοις δὲ καὶ ἀναγκασθεῖσι χρήσασθαι τοῖς ξυσσιτίοις ἔδοξε μέγα διαφέρειν εἰς σωτηρίαν τὸ νόμιμον, καὶ κατέχη δὴ τρόπῳ τινὶ τοιούτῳ τὸ ἐπιτήδευμα ὑμῖν τὸ τῶν ξυσσιτίων.

ΚΛ. Ἔοικε γοῦν.

ΑΘ. Ὃ δὴ ἔλεγον, ὅτι θαυμαστὸν ὂν τοῦτό ποτε καὶ φοβερὸν ἐπιτάξαι τισὶ νῦν οὐχ ὁμοίως τῷ προστάττοντι δυσχερὲς ἂν εἴη νομοθετεῖν αὐτό. τὸ δ' ἑξῆς τούτῳ, πεφυκός τε ὀρθῶς ἂν γίγνεσθαι γιγνόμενον, νῦν τε οὐδαμῇ γιγνόμενον, ὀλίγου τε ποιοῦν τὸν νομοθέτην, τὸ τῶν παιζόντων, εἰς πῦρ ξαίνειν καὶ μυρία ἕτερα τοιαῦτα ἀνήνυτα ποιοῦντα δρᾶν, οὐ ῥᾴδιον οὔτ' εἰπεῖν οὔτ' εἰπόντα ἀποτελεῖν.

ΚΛ. Τί δὴ τοῦτο, ὦ ξένε, ἐπιχειρῶν λέγειν ἔοικας σφόδρα ἀποκνεῖν;

ΑΘ. Ἀκούοιτ' ἄν, ἵνα μὴ πολλὴ διατριβὴ γίγνηται περὶ τοῦτ' αὐτὸ μάτην. πᾶν μὲν γὰρ ὅ τί περ ἂν τάξεως καὶ νόμου μετέχον ἐν πόλει γίγνηται, πάντα ἀγαθὰ ἀπεργάζεται, τῶν δὲ ἀτάκτων ἢ τῶν κακῶς τα-

quando apud vos primum commessatio instituta est, visa fuit, quam vestri bello vel alia re huiusmodi in hominum calamitate coacti instituerunt, cumque propter necessitatem usi fuissent, pluriumque ad salutem conferre res visa periculo esset, legibusstatuta est. *Cli.* Videtur. *Athen.* Mirum igitur id fuit, imperantique primo arduum. quod nunc, si quis ita lege sancire aggrediatur, minus certe erit difficile factu. verum quod deinceps sequitur, et dictu et factu arduum est: quod quamvis nusquam fiat, tamen, si alicubi fieret, recte utique fieret: sed tale est, ut in eius descriptione legislator, sicuti ludentes, ignem discerpere et alia quaevis impossibilia aggredi videatur. *Cli.* Quid istud est, hospes, quod dicere adeo formidas? *Athen.* Audiatis iam, ne longiore vos mora frustra detineam. quicquid enim in civitate legis ordinisque est particeps, cuncta ex eo bene procedunt. quae vero ordine carent, vel male ordinata sunt,

χθέντων λύει τὰ πολλὰ τῶν εὖ τεταγμένων ἄλλα ἕτερα. οὗ δὴ καὶ νῦν ἐφέζηκε πέρι τὸ λεγόμενον. ὑμῖν γάρ, ὦ Κλεινία καὶ Μεγιλλε, τὰ μὲν περὶ τοὺς ἄνδρας ξυσσίτια καλῶς ἅμα καὶ ὃ περ εἶπον θαυμαστῶς καθέζηκεν ἐκ θείας τινὸς ἀνάγκης, τὸ δὲ περὶ τὰς γυναῖκας οὐδαμῶς ὀρθῶς ἀνομοθέτητον μεθεῖται
781 καὶ οὐκ εἰς τὸ φῶς ἧκται τὸ τῆς ξυσσιτίας αὐτῶν ἐπιτήδευμα, ἀλλ' ὃ καὶ ἄλλως γένος ἡμῶν τῶν ἀνθρώπων λαθραιότερον μᾶλλον καὶ ἐπικλοπώτερον ἔφυ, τὸ θῆλυ, διὰ τὸ ἀσθενές, οὐκ ὀρθῶς τοῦτο εἰξαντος τοῦ νομοθέ- 10
του δύστακτον ὂν ἀφείθη. διὰ δὲ τούτου μεθειμένου πολλὰ ὑμῖν παρέῤῥει, πολὺ ἄμεινον ἂν ἔχοντα εἰ νόμων ἔτυχεν ἢ τὰ νῦν· οὐ γὰρ ἥμισυ μόνον ἐστίν, ὡς δόξειεν ἄν, τὸ περὶ τὰς γυναῖκας ἀκοσμήτως περιορώμενον, ὅσῳ δὲ ἡ θήλεια ἡμῖν φύσις ἐστὶ πρὸς ἀρετὴν χείρων τῆς τῶν ἀῤῥένων, τοσούτῳ διαφέρει πρὸς τὸ πλέον ἢ διπλάσιον εἶναι. τοῦτ' οὖν ἐπαναλαβεῖν καὶ ἐπανορθώσασθαι καὶ πάντα συντάξασθαι κοινῇ γυναιξί τε καὶ ἀνδράσιν ἐπιτηδεύματα βέλτιον πρὸς πόλεως εὐδαιμονίαν. νῦν δὲ οὕτως ἧκται τὸ τῶν ἀνθρώπων 20
γένος οὐδαμῶς εἰς τοῦτο εὐτυχῶς, ὥστε οὐδὲ μνησθῆναι περὶ αὐτοῦ ἐν ἄλλοις γ' ἐστὶ τόποις καὶ πόλεσι νοῦν

ea etiam, quae bene sunt ordinata, confundunt. quod huic rei accidit. nam vobis, o Megille et Clinia, praeclare et ut dixi mirifice, ex divina quadam necessitate, virorum constituta est commessatio. feminarum autem commessatio non probe relicta, in tenebris iacet. quod quidem genus aliud hominum est et differens, nobisque occultius et versutius natura est propter imbecillitatem: atque ita minus ordinari potest. iccirco cessit legislator, neque recte praetermissit. hoc enim praetermisso multa nobis corrumpuntur: quae longe melius se haberent quam nunc, si hoc ipsum fuisset legibus ordinatum. non est enim res muliebris, si iacere inordinata relinquitur, humanarum rerum solum, ut videri posset, dimidium: sed quanto natura sua ineptior est ad virtutem quam virilis, tanto excedit, ut plus quam duplum esse videatur. repetendum igitur hoc et corrigendum, omniaque feminis cum viris communia ad civitatis felicitatem studia constituenda sunt. nunc vero sic infeliciter ad hoc humanum ducitur genus, ut non sit prudentis, huius rei mentionem in aliis regio-

ἔχοντος, ὅπου μηδὲ ξυσσίτια ὑπάρχει τὸ παράπαν δεδογμένα κατὰ πόλιν εἶναι. πόθεν δή τίς γε ἔργῳ μὴ καταγελάσῃ ἐπιχειρήσει γυναῖκας προσβιάζεσθαι τὴν σίτων καὶ ποτῶν ἀνάλωσιν φανερὰν θεωρεῖσθαι; τούτου γὰρ οὐκ ἔξιν ὅ τι χαλεπώτερον ἂν ὑπομείνειε τοῦτο τὸ γένος· εἰθισμένον γὰρ δεδυκὸς καὶ σκοτεινὸν ζῆν, ἀγόμενον δ' εἰς φῶς βίᾳ πᾶσαν ἀντίτασιν ἀντιτεῖνον πολὺ κρατήσει τοῦ νομοθέτου. τοῦτ' οὖν ἄλλοθι μέν, ὅ περ εἶπον, οὐδ' ἂν τὸν λόγον ὑπομείνειε τὸν ὀρθὸν ῥηθέντα ἄνευ πάσης βοῆς, ἐνθάδε δὲ ἴσως ἄν. εἰ δὴ δοκεῖ λόγου γ' ἕνεκα μὴ ἀτυχῆ τὸν περὶ πάσης τῆς πολιτείας γενέσθαι λόγον, ἐθέλω λέγειν ὡς ἀγαθόν ἐστι καὶ πρέπον, εἰ καὶ σφῷν ξυνδοκεῖ ἀκούειν· εἰ δὲ μή, ἐᾶν.

ΚΛ. Ἀλλ', ὦ ξένε, θαυμαστῶς τό γε ἀκοῦσαι νῷν πάντως που ξυνδοκεῖ.

ΑΘ. Ἀκούωμεν δή. θαυμάσητε δὲ μηδὲν ἐὰν ὑμῖν ἄνωθέν ποθεν ἐπιχειρεῖν δόξω· σχολῆς γὰρ ἀπολαύομεν καὶ οὐδὲν ἡμᾶς ἐστὶ τὸ κατεπεῖγον τὸ μὴ πάντῃ πάντως σκοπεῖν τὰ περὶ τοὺς νόμους.

ΚΛ. Ὀρθῶς εἴρηκας.

ΑΘ. Πάλιν τοίνυν ἐπὶ τὰ πρῶτα ἐπαναχωρήσω-

nibus et civitatibus facere, ubi nunquam commessationes publice conspectae sunt. unde igitur quisquam non ridicule ad manifestam cibi potusque assumptionem mulieres cogere posset? nihil est profecto, quod molestius laturum genus hoc videatur. nam cum timide et obscure degere consueverint, latorem legis in lucem conantem educere omni reluctatione repellent. hoc inquam genus alibi quidem, quemadmodum dixi, nec orationem ipsam recte dicentis sine ingenti reclamatione audiet: hic autem forsitan sustinebit. quare, si vobis quoque videtur, collocutionis gratia, ne disputatio de republica manca relinquatur, dicere volo, quam bona decensque res ista sit. si vobis placet, inquam: aliter vero dimittam. *Cli.* Mirum in modum, hospes, audire desideramus. *Athen.* Audiamus iam igitur. sed ne ammiremini, si rem altius repetere visus fuero. nam otio abundamus, neque aliud quicquam nos urget, quo minus omnia undique, quae ad leges spectant, consideremus. *Cli.* Recte loqueris. *Athen.* Prima itaque repetamus. Scire omnes oportet hominum generationem vel

μεν λεχθέντα. εὖ γὰρ δὴ τό γε τοσοῦτον χρὴ πάντ' ἄνδρα ξυννοεῖν, ὡς ἡ τῶν ἀνθρώπων γένεσις ἢ τὸ
782 παράπαν ἀρχὴν οὐδεμίαν εἴληχεν οὐδ' ἕξει ποτέ γε τελευτήν, ἀλλ' ἦν τε ἀεὶ καὶ ἔσαι πάντως, ἢ μῆκός τι τῆς ἀρχῆς ἀφ' οὗ γέγονεν ἀμήχανον ἂν χρόνον ὅσον γεγονὸς ἂν εἴη.

ΚΛ. Τί μήν;

ΑΘ. Τί οὖν; πόλεων συγχύσεις καὶ φθορὰς καὶ ἐπιτηδεύματα παντοῖα τάξεώς τε καὶ ἀταξίας καὶ βρώσεως καὶ πωμάτων τε ἅμα καὶ βρωμάτων ἐπιθυμήματα παντοδαπὰ πάντως καὶ περὶ πᾶσαν τὴν γῆν ἆρ' οὐκ οἰόμεθα γεγονέναι, καὶ τροφὰς ὡρῶν παντοίας, ἐν αἷς τὰ ζῶα μεταβάλλειν αὐτῶν παμπληθεῖς μεταβολὰς εἰκός;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Τί οὖν; πιστεύομεν ἀμπέλους τε φανῆναί πού ποτε πρότερον οὐκ οὔσας; ὡσαύτως δὲ καὶ ἐλάας καὶ τὰ Δήμητρός τε καὶ Κόρης δῶρα; Τριπτόλεμόν τέ τινα τῶν τοιούτων γενέσθαι διάκονον; ἐν ᾧ δὲ μηδὲ ταῦτα ἦν τῷ χρόνῳ, μῶν οὐκ οἰόμεθα τὰ ζῶα, καθά περ νῦν, ἐπὶ τὴν ἀλλήλων ἐδωδὴν τρέπεσθαι;

ΚΛ. Τί μήν;

ΑΘ. Τὸ δὲ μὴν θύειν ἀνθρώπους ἀλλήλους ἔτι καὶ νῦν παραμένον ὁρῶμεν πολλοῖς· καὶ τοὐναντίον

nullum prorsus unquam initium habuisse neque terminum habituram, sed fuisse omnino semper et fore: aut si coepit, inaestimabili iam ante nos temporis magnitudine incepisse. *Cli.* Plane. *Athen.* Nonne per omnem terram urbes multas conditas arbitramur atque destructas, et diversa praecessisse hominum studia, partim cum ordine partim etiam sine ordine? cibi item potusque et vescendi condiendique usus quam plurimos, et mutationes temporum varias, in quibus animalia diversis modis transmutata fuisse credendum? *Cli.* Nihil prohibet. *Athen.* Quid porro? vites putamus coepisse olim, cum non essent? similiterque olivas, et Cereris atque Proserpinae munera? quae Triptolemus aliquis ministraverit. animalia vero tempore, quo ista non erant, nonne sicuti modo, alterum ab altero devorabantur? *Cli.* Procul dubio. *Athen.* At vero quo ad sacrificia pertinet, homines ab hominibus sacrificari adhuc apud multos videmus: con-

ἀκούομεν ἐν ἄλλοις, ὅτε οὐδὲ βοὸς ἐτολμῶμεν γεύεσθαι θύματά τε οὐκ ἦν τοῖς θεοῖσι ζῶα, πέλανοι δὲ καὶ μέλιτι καρποὶ δεδευμένοι καὶ τοιαῦτα ἄλλα ἁγνὰ θύματα, σαρκῶν δ' ἀπείχοντο ὡς οὐχ ὅσιον ὂν ἐσθίειν οὐδὲ τοὺς τῶν θεῶν βωμοὺς αἵματι μιαίνειν, ἀλλὰ Ὀρφικοί τινες λεγόμενοι βίοι ἐγίγνοντο ἡμῖν τοῖς τότε, ἀψύχων μὲν ἐχόμενοι πάντων, ἐμψύχων δὲ τοὐναντίον πάντων ἀπεχόμενοι.

ΚΛ. Καὶ σφόδρα λεγόμενα ἃ γ' εἴρηκας, καὶ πιθανὰ πιστεύεσθαι.

ΑΘ. Πρὸς οὖν δὴ τί, εἴποι τις ἄν, ὑμῖν πάντ' ἐρρήθη τὰ νῦν;

ΚΛ. Ὀρθῶς ὑπέλαβες, ὦ ξένε.

ΑΘ. Καὶ τοίνυν, ἐὰν δύνωμαι, τὰ τούτοις ἑξῆς, ὦ Κλεινία, πειράσομαι φράζειν.

ΚΛ. Λέγοις ἄν.

ΑΘ. Ὁρῶ πάντα τοῖς ἀνθρώποις ἐκ τριττῆς χρείας καὶ ἐπιθυμίας ἠρτημένα, δι' ὧν ἀρετή τε αὐτοῖς ἀγομένοις ὀρθῶς καὶ τοὐναντίον ἀποβαίνει κακῶς ἀχθεῖσι. ταῦτα δ' ἐστὶν ἐδωδή μὲν καὶ πόσις εὐθὺς γενομένοις, ἣν περὶ ἅπασαν πᾶν ζῶον ἔμφυτον ἔρωτα ἔχον, μεσὸν οἴστρου τ' ἐστὶ καὶ ἀνηκουσίας τοῦ λέγοντος ἄλλο τι δεῖν πράττειν πλὴν τὰς ἡδονὰς καὶ ἐπιθυμίας τὰς πε-

trarium etiam de aliis audimus: sicuti quando nec bovillas quidem carnes gustare audebamus, nec animalia Diis immolabamus: sed liba et fructus melle madentes ceteraque huiusmodi sacrificia pura Diis offerebantur. carnibus autem abstinebant. nam vesci carnibus et Deorum aras polluere sanguine impium videbatur. ita Orphica quaedam vita tunc vigebat: inanimatis quippe omnibus vescebantur: et ab animalibus omnibus abstinebant. *Cli.* Feruntur haec passim, ut dicis, et valde credibilia sunt. *Athen.* Sed quorsum haec a nobis omnia dicta modo sint, forsan aliquis percontabitur. *Cli.* Probe, o hospes, id coniecisti. *Athen.* Propterea, si potero, Clinia, quae sequuntur deinceps, declarare conabor. *Cli.* Dic iam. *Athen.* Trina quadam indigentia atque cupiditate omnia hominibus dependere perspicio: in quibus si recte ducantur, virtus, sin contra, vitium nascitur. Harum duae sunt in animalibus statim natis, cibi potusque cupiditates, ad quae cum omne animal innatum habeat appetitum, impetu rapitur: nec verba illius auscultat, qui monet aliud agendum esse, quam ut horum cupiditates voluptatesque

περὶ ἅπαντα ταῦτα ἀποπληροῦντα λύπης τῆς ἀπάσης ἀεὶ δεῖν σφᾶς ἀπαλλάττειν· τρίτη δὲ ἡμῖν καὶ μεγίστη χρεία
783 καὶ ἔρως ἐξύστατος ὄζοπος μὲν ἅπτεται, διαπυρωτάτους δὲ τοὺς ἀνθρώπους μανίαις ἐπεργάζεται πάντως, ὃ περὶ τὴν τοῦ γένους σπορὰν ὕβρει πλείστῃ παόμενος. ἃ δὴ δεῖ τρία νοσήματα τρέποντα εἰς τὸ βέλτιζον παρὰ τὸ λεγόμενον ἥδιζον τρισὶ μὲν τοῖς μεγίζοις πειρᾶσθαι κατέχειν, φόβῳ καὶ νόμῳ καὶ τῷ ἀληθεῖ λόγῳ, προζρωμένους μέντοι Μούσαις τε καὶ ἀγωνίοισι θεοῖς σβεννύναι τὴν αὔξην τε καὶ ἐπιῤῥοήν. παίδων δὲ δὴ 10
γένεσιν μετὰ τοὺς γάμους θῶμεν, καὶ μετὰ γένεσιν τροφὴν καὶ παιδείαν. καὶ τάχ' ἂν οὕτω προϊόντων τῶν λόγων ὅ τε νόμος ἡμῖν ἕκαζος περαίνοιτο εἰς τοὔμπροσθεν ἐπὶ ξυσσίτια, ἡνίκα ἀφικόμενοι εἰς τὰς τοιαύτας κοινωνίας, εἴτε ἄρα γυναικῶν εἴτε ἀνδρῶν δεῖ μόνων γίγνεσθαι, προσμίξαντες αὐτοῖς ἐγγύθεν ἴσως μᾶλλον κατοψόμεθα, τά τε ἐπίπροσθεν αὐτῶν, ἔτι νῦν ὄντα ἀνομοθέτητα, τάξαντες αὐτὰ ἐπίπροσθεν ποιησόμεθα, καὶ ὅ περ ἐῤῥήθη νῦν δή, κατοψόμεθά τε αὐ- 20
τὰ ἀκριβέζερον μᾶλλόν τε τοὺς προσήκοντας αὐτοῖς καὶ πρέποντας νόμους ἂν θείημεν.

expleantur et dolores contrarii divitentur. tertia vero nobis indigentia ingens et cupiditas acutissima, quae ad propagationem generis inest, posterius quidem innascitur, sed ardentissimo furore et maxima petulantia homines urit et agitat. hi tres morbi, ad id quod iucundissimum dicitur rapientes, ab eo ad id quod optimum est, tribus maximis rebus vertendi sunt, timore, lege, vera ratione: quibuscum Musae et Dii certatorii adhibeantur, ut incrementum et affluentia hoc pacto exstinguantur. procreationem quidem liberorum post nuptias collocare debemus. post ipsam vero procreationem educationem et disciplinam. sic enim forsan, procedente oratione, lex quaeque in priora progressa, in commessationes denique perducetur, quando in coetus et communiones huiusmodi pervenerimus: atque utrum viris solis an etiam mulieribus hae communiones imperandae sint, tunc planius conspiciemus, cum propius accesserimus: et quae illas praecedere debent, necdum lege disposita sunt, suum digesta in ordinem, ipsis praeposuerimus. ita sane, ut modo dicebam, commessationes acutius inspiciemus, convenientioresque de illis leges trademus.

ΚΛ. Ὀρθότατα λέγεις.

ΑΘ. Φυλάξωμεν τοίνυν τῇ μνήμῃ τὰ νῦν δὴ λεχθέντα· ἴσως γάρ χρείαν ποτ' αὐτῶν πάντων ἕξομεν.

ΚΛ. Τὰ ποῖα δὴ διακελεύει;

ΑΘ. Ἃ τοῖς τρισὶ διωριζόμεθα ῥήμασι. βρῶσιν μὲν ἐλέγομέν που, καὶ δεύτερον πόσιν, καὶ ἀφροδισίων δέ τινα διαπτόησιν τρίτον.

ΚΛ. Πάντως, ὦ ξένε, μεμνησόμεθά που ὧν τὰ νῦν διακελεύει.

ΑΘ. Καλῶς. ἔλθωμεν δ' ἐπὶ τὰ νυμφικά, διδάξοντές τε αὐτοὺς πῶς χρὴ καὶ τίνα τρόπον τοὺς παῖδας ποιεῖσθαι, καὶ ἐὰν ἄρα μὴ πείθωμεν, ἀπειλήσοντές τισι νόμοις.

ΚΛ. Πῶς;

ΑΘ. Νύμφην χρὴ διανοεῖσθαι καὶ νυμφίον ὡς ὅτι καλλίστους καὶ ἀρίστους εἰς δύναμιν ἀποδειξομένους παῖδας τῇ πόλει. πάντες δ' ἄνθρωποι κοινωνοὶ πάσης πράξεως, ἡνίκα μὲν ἂν προσέχωσιν αὑτοῖς τε καὶ τῇ πράξει τὸν νοῦν, πάντα καλὰ καὶ ἀγαθὰ ἀπεργάζονται, μὴ προσέχοντες δὲ ἢ μὴ ἔχοντες νοῦν τἀναντία. προσεχέτω δὴ καὶ ὁ νυμφίος τῇ τε νύμφῃ καὶ τῇ παιδοποιίᾳ τὸν νοῦν, κατὰ ταὐτὰ δὲ καὶ ἡ νύμφη, τοῦτον τὸν χρόνον διαφερόντως ὃν ἂν μήπω παῖδες αὐτοῖς ὦσι γεγο-

Cli. Scite loqueris. *Athen.* Teneamus itaque memoria, quae modo dicta sunt. forte enim usui nobis quandoque erunt. *Cli.* Quae tenenda iubes? *Athen.* Ea, quae cibi, potus venerisque vocabulis appellavimus. *Cli.* Fiet omnino, hospes, ut iubes. *Athen.* Praeclare quidem. sed veniamus ad rem sponsalem, et sponsum ac sponsam, quomodo liberi procreandi sunt, doceamus: ac, nisi persuaserimus, legum quarundam positione minemur. *Cli.* Quo pacto? *Athen.* Cogitare omnino sponsus et sponsa debent, quo pacto quam pulcherrimos et optimos civitati liberos poterint procreare. omnes autem homines, qui communiter aliquid operantur, quandocunque et ad se invicem et opus ipsum intendunt animum, bene et pulchre omnia faciunt: si vero vel non habuerint mentem vel non adhibuerint, contra. quare sponsus ad sponsam procreationemque liberorum animum vertat; et sponsa similiter ad sponsum atque ad opus: in eo tempore praecipue, quo adhuc non genuerunt. harum rerum curam ha-

784 νότες. ἐπίσκοποι δ' ἔχωσαν τούτων ἃς εἰλόμεθα γυναῖκες, πλείους εἴτ' ἐλάττους, τοῖς ἄρχουσιν ὁπόσας ἂν δοκῇ προστάττειν τε καὶ ὁπόταν, πρὸς τὸ τῆς Εἰλειθυίας ἱερὸν ἑκάστης ἡμέρας ξυλλεγόμεναι μέχρι τρίτου μέρους ὥρας, οἱ δὴ συλλεχθεῖσαι διαγγελλόντων ἀλλήλαις εἴ τίς τινα ὁρᾷ πρὸς ἄλλ' ἄττα βλέποντα ἄνδρα ἢ καὶ γυναῖκα τῶν παιδοποιουμένων ἢ πρὸς τὰ τεταγμένα ὑπὸ τῶν ἐν τοῖς γάμοις θυσιῶν τε καὶ ἱερῶν γενομένων. ἡ δὲ παιδοποιία καὶ φυλακὴ τῶν παιδοποιουμένων δεκέτις ἔχω, μὴ πλείω δὲ χρόνον, ὅταν εὔροια ἢ τῆς γενέσεως. ἂν δὲ ἄγονοί τινες εἰς τοῦτον γίγνωνται τὸν χρόνον, μετὰ τῶν οἰκείων καὶ ἀρχουσῶν γυναικῶν διαζεύγνυσθαι κοινῇ βουλευομένους εἰς τὰ πρόσφορα ἑκατέροις. ἐὰν δ' ἀμφισβήτησίς τις γίγνηται περὶ τῶν ἑκατέροις πρεπόντων καὶ προσφόρων, δέκα τῶν νομοφυλάκων ἑλομένους, οἷς ἂν ἐπιτρέψωσιν οἵδε καὶ τάξωσι, τούτοις ἐμμένειν. εἰσιοῦσαι δ' εἰς τὰς οἰκίας τῶν νέων αἱ γυναῖκες, τὰ μὲν νουθετοῦσαι, τὰ δὲ καὶ ἀπειλοῦσαι παυόντων αὐτοὺς τῆς ἁμαρτίας καὶ ἀμαθίας. ἐὰν δ' ἀδυνατῶσι, πρὸς τοὺς νομοφύλακας ἰοῦσαι φραζόντων, οἱ δ' εἰργόντων. ἂν δὲ καὶ ἐκεῖνοί πως ἀδυνατήσωσι, πρὸς τὸ δημόσιον ἀποφηνάντων, ἀναγρά-

beant mulieres, sive plures seu pauciores, prout placuerit principibus, electae. quae quotidie in Lucinae congregentur, tertiam horae partem commoraturae: atque ibi aliis aliae nuntient, si quem virum mulieremve illorum, qui matrimonii copula astricti gignendi habent facultatem, alio intendere animum videant quam ad ea, quae in sacrificiis nuptiarum iussa fuerunt. procreatio autem liberorum et eorum, qui illi vacant, observatio decennium non excedat, quando adsit generandi foecunditas. si quae ad id tempus infoecundae perseveraverint, consilio cum propinquis et mulieribus harum rerum curatricibus habito, prout commodum utrisque est, disiungantur. si qua vero de utriusque commodis acciderit altercatio, decem de legum custodibus delecti, quos ipsi voluerint, cognoscant. sed et mulieres ipsae, iuvenum domos ingressae, partim monitis partim minis, ab inscitia ipsos et delicto depellant. quod si nequeant, legum custodibus nuntient, atque illi id curent. qui si prohibere non potuerint, rem ad populum

ψαντές τε καὶ ὁμόσαντες ἢ μὴν ἀδυνατεῖν τὸν καὶ τὸν βελτίω ποιεῖν· ὁ δὲ ἀναγραφεὶς ἄτιμος ἔστω, μὴ ἐλὼν ἐν δικαστηρίῳ τοὺς ἐγγράψαντας, τῶνδε· μήτε γὰρ εἰς γάμους ἴτω μήτε εἰς τὰς τῶν παίδων ἐπιτελεώσεις, ἂν δὲ ἴῃ, πληγαῖς ὁ βουληθεὶς ἀθῷος αὐτὸν κολαζέτω. τὰ αὐτὰ δὲ καὶ περὶ γυναικὸς ἔστω νόμιμα· τῶν ἐξόδων γὰρ τῶν γυναικείων καὶ τιμῶν καὶ τῶν εἰς τοὺς γάμους καὶ γενέσεις παίδων φοιτήσεων μὴ μετεχέτω, ἐὰν ἀκοσμοῦσα ὡσαύτως ἀναγραφῇ καὶ μὴ ἕλῃ τὴν δίκην. ὅταν δὲ δὴ παῖδας γεννήσωνται κατὰ νόμους, ἐὰν ἀλλοτρία τις περὶ τὰ τοιαῦτα κοινωνῇ γυναικὶ ἢ γυνὴ ἀνδρί, ἐὰν μὲν παιδοποιουμένοις ἔτι, τὰ αὐτὰ ἐπιζήμια αὐτοῖς ἔστω καθάπερ τοῖς ἔτι γεννωμένοις εἴρηται· μετὰ δὲ ταῦτα ὁ μὲν σωφρονῶν καὶ σωφρονοῦσα εἰς τὰ τοιαῦτα ἔστω πάντα εὐδόκιμος, ὁ δὲ τοὐναντίον ἐναντίως τιμάσθω, μᾶλλον δὲ ἀτιμαζέσθω. καὶ μετριαζόντων μὲν περὶ τὰ τοιαῦτα τῶν πλειόνων ἀνομοθέτητα σιγῇ κείσθω, ἀκοσμούντων δὲ νομοθετηθέντα ταύτῃ πραττέσθω κατὰ τοὺς τότε τεθέντας νόμους. βίου μὲν ἀρχὴ τοῦ παντὸς ἑκάστοις ὁ πρῶτος ἐνιαυτός· ὃν γεγράφθαι χρεὼν ἐν ἱεροῖσι πατρῴοις ζωῆς ἀρχὴν κόρῳ καὶ κόρῃ. παρα-

deferant, et scriptis errantium nominibus, iureiurando affirment se illos meliores facere non potuisse. Et qui scripto delatus est, nisi accusatores convicerit, infamis sit: nec nuptiis procreandisque liberis ulterius det operam. ac si id tentaverit, liceat cuilibet caedere ipsum impune. Eaedem sint et mulierum poenae. expertes enim muliebrium degant honorum: nec ad nuptias partusque liberorum profecto recipiantur, si in iudicium arcessitae damnatae etiam fuerint. si, postquam secundum leges filios procrearunt, alienae quisquam uxori coniungitur, vel mulier viro, illis scilicet adhuc generantibus, poenis eisdem subiaceant, quibus et dum ipsi gignebant. sed viri et mulieres, post liberorum procreationem caste viventes, in his omnibus summopere honorentur: qui contra, vituperentur. si contigerit, ut plures in rebus eiusmodi moderate se gerant, quae praecepimus, silentio sine scriptis legibus habeantur et fiant: sin autem plurimi se minime continebunt, legum conscriptione declarentur, et ad eorum normam de singulis huiusmodi iudicetur atque agatur. vitae totius initium primus annus omnibus est, quem in sacellis paternis, ut vivendi initium tam puero quam puellae, scriptum esse oportet.

γεγράφθω δ' ἐν τοίχῳ λελευκωμένῳ ἐν πάσῃ φρατρίᾳ τὸν ἀριθμὸν τῶν ἀρχόντων τῶν ἐπὶ τοῖς ἔτεσιν ἀριθμουμένων. τῆς δὲ φρατρίας ἀεὶ τοὺς ζῶντας μὲν γεγράφθαι πλησίον, τοὺς δ' ὑπεκχωροῦντας τοῦ βίου ἐξαλείφειν. γάμου δὲ ὅρον εἶναι κόρῃ μὲν ἀπὸ ἐκκαίδεκα ἐτῶν εἰς εἴκοσι, τὸν μακρότατον χρόνον ἀφωρισμένον, κόρῳ δὲ ἀπὸ τριάκοντα μέχρι τῶν πέντε καὶ τριάκοντα. εἰς δὲ ἀρχὰς γυναικὶ μὲν τετταράκοντα, ἀνδρὶ δὲ τριάκοντα ἔτη. πρὸς πόλεμον δὲ ἀνδρὶ μὲν εἴκοσι μέχρι τῶν ἑξήκοντα ἐτῶν· γυναικὶ δέ, ἣν ἄν δοκῇ χρείαν δεῖν χρῆσθαι πρὸς τὰ πολεμικά, ἐπειδὰν παῖδας γεννήσῃ, τὸ δυνατὸν καὶ πρέπον ἑκάσαις προστάττειν μέχρι τῶν πεντήκοντα ἐτῶν.

adscribatur autem in pariete dealbato in unaquaque tribu, ut, qui ad magistratus idonei sunt, annorum numero constet: et cuiusque tribus viventes homines proxime scribantur semper, et naturae cedentes similiter deleantur. nuptiarum tempus puellae sit a sextodecimo in vigesimum, idque sit longissimum tempus ad hoc institutum: masculo, a trigesimo ad quintum et trigesimum. magistratus tempus in mulieribus ultra quadragesimum sit annum. in viris ultra trigesimum. belli ab annis viginti ad sexaginta in viris: in mulieribus, postquam filios pepererunt, usque ad quinquagesimum aetatis annum. in quibus observandum est, ut ad eum belli usum potissimum, qui et possibilis eis sit et decens, accipiantur.




Stanford University Libraries
3 6105 124 430 229
PA
4279
A2
1816
v.3:2
Stanford University Libraries
Stanford, California
Return this book on or before date due.
MAR 28 1990